θεοτ. Παλάτιον ὤφθης πανευπρεπὲς
τοῦ παμβασιλέως
καὶ σωτῆρος καὶ λυτρωτοῦ·
τοῦτον οὖν δυσώπει, παναγία,
πλημμελημάτων δοθῆναί μοι ἄφεσιν.

ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*

Ῥύσασθέ με, ἅγιοι,
τῆς συνεχούσης με θλίψεως,
ἐκδυσωπῶ,
f. 185v καὶ ἀ||ρρωστημάτων
τῶν δεινῶς χειμαζόντων με.

Ἔστησαν τὰ ῥεύματα
τῆς ματαιότητος χάριτι
οἱ εὐκλεεῖς,
ὅθεν νοσημάτων
τὰς ἀβύσσους ξηραίνουσιν.

Πρόστητε, δεόμεθα,
τῆς ταπεινώσεως, ἅγιοι,
πάντων ἡμῶν
καὶ τῆς ἐν γεέννῃ
καταδίκης λυτρώσασθε.

θεοτ. Ὅλον με διάσωσον
περιστατούμενον πάθεσι
καὶ λογισμοῖς,
ἄχραντε παρθένε,
τὸν σωτῆρα κυήσασα.

heirm. γ' EE 224, n. 321, Joannis 25 μοι Mf 30 ξηραίνετε Mf
post odem γ' refert Pv κάθ., quod post odem ς' Mf praebet

34-35 Matth. 10,28

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*

Νυσταγμοῦ ἀμελείας με
καὶ τῆς ἁμαρτίας ὕπνου λυτρώσασθε
ἀκοιμήτοις παρακλήσεσι
πρὸς τὸν πάντων κτίστην,
ἀξιάγαστοι.

Τῶν ψυχῶν ἡμῶν τραύματα
καὶ τὰ τῶν σωμάτων ἀεὶ νοσήματα
ἰατρεύσατε, ἀνάργυροι,
τῶν πιστῶν προστάται
χρηματίζοντες.

f. 186 || Ὡς ναὸς χρηματίζοντες
πνεύματος ἁγίου, τοὺς ἐν ναῷ ὑμῶν
καταφεύγοντας, ἀνάργυροι,
δυσχερείας πάσης
ἐκλυτρώσασθε.

θεοτ. Συμπαθείᾳ σου, δέσποινα,
τὸν ἀσυμπαθῆ με καὶ ἀδιόρθωτον
οἰκτειρήσασα ἐλέησον
καὶ μελλούσης δόξης
καταξίωσον.

ᾠδὴ ε'. *Ὀρθρίζοντες βοῶμέν σοι, κύριε, σῶσον ἡμᾶς*

Ὀρθρίζοντες βοῶμέν σοι, κύριε· « ἱκεσίαις
τῶν ἀγαπησάντων σε
ῥῦσαι κινδύνων τοὺς δούλους σου ».

Γαστρὶ τῆς διανοίας τὸν φόβον θεοῦ λαβόντες,
θαυμάτων οἱ ἅγιοι
περιουσίαν ἐκύησαν.

heirm. δ' EE 225, n. 322, Cosmae 53 καταφεύγοντες Mf
heirm. ε' EE 226, n. 324, Germani

Δαιμόνων ἐπηρείας καὶ βλάβης δεινῶν ἀνθρώπων
ῥύσασθε, μακάριοι,
τοὺς εἰς ὑμᾶς καταφεύγοντας.

θεοτ. Ὁ πάντα ἐκ μὴ ὄντων ποιήσας ἐκ σοῦ σαρκοῦται,
f. 186v παρθένον τηρή||σας σε
καὶ μετὰ τόκον, πανύμνητε.

ᾠδὴ ϛ'. *Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον*

Ἡ ἔνθεος ξυνωρὶς τῶν ἁγίων
εἰς τὸν σύμπαντα διήκουσα κόσμον,
Δαμιανὸς
καὶ Κοσμᾶς, πᾶσαν νόσον
τῆς ἀνθρωπίνης ἐξαίρουσι φύσεως
καὶ σώζουσι τοὺς εἰς βυθὸν
ἀενάως κακῶν θαλαττεύοντας.

Τηκόμενος χαλεπαῖς ἀλγηδόσιν
ἀμετρήτοις τε βαλλόμενος πόνοις
καὶ πρὸς αὐτὰς
τοῦ θανάτου τὰς πύλας
νῦν προσεγγίζων, ἀνάργυροι ἔνδοξοι,
οἰκτείρατε τῇ ὑμῶν
συμπαθείᾳ καὶ σώσατε, δέομαι.

Οἰκοῦντες τοὺς οὐρανοὺς ἀενάως
καὶ πληρούμενοι χαρᾶς ἀπορρήτου,
τοὺς ἐπὶ γῆς
ἀδιστάκτῳ καρδίᾳ
προσκαλουμένους ὑμᾶς ἐπισκέψασθε,
f. 187 κουφίζοντες || πάσας ἡμῶν
τὰς ὀδύνας καὶ θλίψεις, μακάριοι.

θεοτ. Ἰάτρευσον τὰς ἡμῶν ἀσθενείας
τῶν σωμάτων καὶ ψυχῶν, θεοτόκε,

71 τηρήσα σε Pv
heirm. ϛ' EE 219, n. 314, Joannis

τὸν ἰατρὸν
καὶ σωτῆρα τεκοῦσα,
καὶ τὰς πολλὰς ἁμαρτίας ἐξάλειψον
καὶ ποίησον τῶν ἀγαθῶν
τῶν ἐκεῖθεν μετόχους πρεσβείαις σου.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ λόγου ἐν σῇ γαστρὶ*

Ἰαμάτων δοτῆρες φωταγωγοί
....

f. 187v || ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Συμπαθεῖς πεφυκότες,
τὰς πολλὰς ἡμῶν νόσους
ἀποδιώξατε,
κουφίσατε τὸ βάρος,
ἀνάργυροι, τῶν πόνων
καὶ βοῶντας οἰκτείρατε·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

Πυρακτούμενοι πόθῳ
τοῦ δεσπότου τῶν ὅλων,
θεομακάριστοι,
ἐφλέξατε τὰ πάθη
καὶ νῦν θαυματουργίαις
τοὺς βοῶντας δροσίζετε·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

καθ., quod Pv post odem γ' tradit, ed. in MR VI, 8 et alibi: cfr. IHG II, 149
post odem ϛ' add. Pv κοντάκ. Οἱ τὴν χάριν λαβόντες τῶν ἰαμάτων et οἶκ. Πάσης συνέσεως καὶ σοφίας, ed. in MR II, 10 et alibi: cfr. IHG III, 65, 294.
heirm. ζ' EE 224, n. 321, Joannis vv. 107-108, 115-116, 123-124, 131-132, 139-140 post ὁ τῶν cetera om. cdd.

Ἀναλάμψαντες πίστει
ὡς πυρσοί, θαλαττίων
κοσμικῶν περιστάσεων
πρὸς ὅρμον ἐκκαλεῖσθε
ἐνθέου σωτηρίας
τοὺς βοῶντας, ἀνάργυροι·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

Νοσημάτων ποικίλων
καὶ πταισμάτων παντοίων
καὶ δεινῶν περιστάσεων
λυτρώσασθε τοὺς πίστει
ὑμᾶς ἐξαιτουμένους
f. 188 καὶ βο||ῶντας, ἀνάργυροι·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

θεοτ. Σαρκωθέντα τὸν λόγον
ὑπὲρ λόγον τεκοῦσα,
θεοχαρίτωτε,
ἀλόγων ἡμᾶς ῥῦσαι
παθῶν καὶ ἀτιμίας
ἐν αἰνέσει κραυγάζοντας·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

ᾠδὴ η'. *Νικηταὶ τυράννου*

Οἰκισταὶ τῆς ἄνω
θείας μητροπόλεως
ἀποδειχθέντες,
χώραν τε καὶ πόλιν
πᾶσαν διασώζετε
νόσων παντοίων,

133 post λόγον add. Mf ἐθεολόγησας 136 ὑμᾶς Mf
heirm. η' EE 221, n. 316, Joannis

ἐκ θεοῦ τὴν χάριν
λαβόντες, πανεύφημοι,
ὅθεν καταχρέως
ὑμᾶς ἀνευφημοῦμεν.

Φιλαργύρους τρόπους
παντελῶς μισήσαντες
ἀπὸ καρδίας,
χρυσαυγεῖς φωστῆρες
ὤφθητε, σκεδάζοντες
σκότος κακίας
καὶ τῶν νοσημάτων
f. 188v τὴν ἀχλὺν || διώκοντες,
μέγιστοι προστάται
τῶν καταπονουμένων.

Ὄμβροις εὐσπλαγχνίας
τὰς ἡμῶν ἠρδεύσατε,
σοφοί, καρδίας
καὶ τῶν νοσημάτων
τὸν αὐχμὸν διώξατε
καὶ τὴν ὑγείαν
τοῖς ὑμᾶς αἰτοῦσιν
ἐπιχορηγήσατε,
μιμηταὶ τοῦ πάντων,
ἀνάργυροι, δεσπότου.

(τριαδ). Ἴσον κατ' οὐσίαν
τῷ πατρὶ δοξάζομεν
πιστοὶ τὸν λόγον
καὶ τὸ θεῖον πνεῦμα,
ἕνα θεὸν ἄκτιστον,
ἀναβοῶντες·
« εὐλογεῖτε, πάντα
τὰ ἔργα, τὸν κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

156 σκότος] τούτου Mf 161 Ὄμβρους Mf 165 ἀχμὸν cdd. διώξαντες Mf 177-180 post εὐλογεῖτε cetera om. Mf vv. 178-180 om. Pv

θεοτ. Σὲ τὴν ὑπὲρ λόγον
θεὸν λόγον τέξασαν
ἀνερμηνεύτως
ἀνυμνολογοῦμεν,
θεοτόκε δέσποινα,
καὶ μελῳδοῦμεν·
« εὐλογεῖτε, πάντα
τὰ ἔργα, τὸν κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἔφριξε
πᾶσα ἀκοὴ*

Ἴασαι
πάντων τὰς ψυχὰς
καὶ τὰ σώματα πρεσβείαις, δεόμεθα,
τῶν ἀναργύρων σου
f. 189 || καὶ πᾶσαν βλάβην
μακρὰν ἀπέλασον
καὶ καταξίωσον τυχεῖν
τῆς σῆς ὡραιότητος,
ἧς ἠξιώθησαν
οἱ καλῶς σε ἐπὶ γῆς θεραπεύσαντες.

Ὡς δύο
ἥλιοι τὴν γῆν
καταυγάζετε σημείοις καὶ τέρασιν,
ἀποδιώκοντες
τῶν νοσημάτων
τὸ σκότος, ἅγιοι
Κοσμᾶ τε καὶ Δαμιανέ,
φωστῆρες παγκόσμιοι,
ὅθεν δοξάζεσθε
ὑπὸ πάντων τῶν πιστῶν, ἀξιάγαστοι.

vv. 187-190 om. Mf, post εὐλογεῖτε orationem detruncat Pv
heirm. θ' EE 222, n. 317, Joannis

Στήριξον
πάντων τὰς ψυχὰς
ἐπὶ πέτραν ἐντολῶν σου, φιλάνθρωπε,
ὡς ὑπεράγαθος
ταῖς ἱκεσίαις
τῶν ἀναργύρων σου
ἀπολυτρούμενος ἡμᾶς
νόσων τε καὶ θλίψεων
καὶ περιστάσεων
καὶ μελλούσης, Ἰησοῦ, κατακρίσεως.

Ἤνθησαν
ἐν ταῖς νοηταῖς
f. 189ᵛ οἱ ἀ||νάργυροι κοιλάσι τοῦ πνεύματος
καὶ εὐωδίασαν
τῆς ἐκκλησίας
ἅπαν τὸ πλήρωμα·
τούτων πρεσβείαις, ὁ θεός,
ἅπασαν ἀπέλασον
ἐκ τῆς καρδίας ἡμῶν
δυσωδίαν τῶν παθῶν, δυσωποῦμέν σε.

θεοτ. Φρούρησον
πάντων τὴν ζωὴν
καὶ παθῶν ἀνεπιβούλευτον ποίησον,
θεοχαρίτωτε,
καὶ τῶν ἐκεῖθεν
μετόχους ἔργασαι
αἰωνιζόντων ἀγαθῶν,
ὅπως σε δοξάζομεν
καὶ μεγαλύνομεν,
προστασία τῶν πιστῶν ἀκαταίσχυντε.

213 Cfr. Matth. 7,24; Luc. 6,48 221-223 Cfr. Cant. 2,1

IN SANCTOS MARTYRES MARCUM ET MOCIANUM

Synaxarium 795 (*): .... ἄθλησις τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Μάρκου καὶ Μωκιανοῦ. Οὗτοι ἀναγκασθέντες θῦσαι τοῖς εἰδώλοις ὑπὸ Μαξίμου τοῦ ἐπάρχου καὶ μὴ πεισθέντες, ἀλλὰ παρρησίᾳ τὸν Χριστὸν ὁμολογήσαντες, ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν. Καὶ τῷ μὲν ἁγίῳ Μωκιανῷ τὴν ἐπὶ θάνατον ἀπαγομένῳ ἡ γυνὴ καὶ τὰ τέκνα κλαίοντα ἠκολούθει· οἷς καὶ παρῄνει σιγᾶν. Τοῦ δὲ ἁγίου Μάρκου ἐκτμηθεῖσαν τὴν κεφαλὴν παρεστῶσα ἡ γαμετὴ ταῖς χερσὶν ὑπεδέξατο. Οἵτινες οὕτω μαρτυρικῶς τὸν βίον διανύσαντες τὴν ἑαυτῶν μαρτυρίαν ἐπλήρωσαν.

Vat. gr. 2308	=	W, ff. 51v-53v
Vat. gr. 787	=	Vw, ff. 125v-126v
Mess. gr. 136	=	Mf, ff. 194v-198
Sinait. gr. 624	=	Σμ, ff. 10v-12

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Τερπνὴν ἐπαινῶ μαρτύρων ξυνωρίδα· Ἰωσήφ.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἄισωμεν τῷ κυρίῳ*
τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ

Τρίπλοκον ἀφθαρσίας
στέφος, ἀθλοφόροι, κληρωσάμενοι,
τῇ ἁγίᾳ τριάδι
ἀστραπτόμενοι δόξῃ παρίστασθε.

(*) In diem III iulii constituit Synaxarium memoriam martyrum, sic ut cdd. W Vw Σμ; cd. Mf autem, ex Italia Inferiore erutus, in diem IV: quam ob rem in diem IV canonem referimus.

tit. Τῇ αὐτῇ ἡμέρα κανὼν τῶν ἁγίων μαρτύρων μωκιανοῦ καὶ μάρκου: φέρων ... W Τερπνὸν W, qui nomen auctoris in rubrica om. ὁ κανὼν Vw Mf, qui acrostichidem et nomen auctoris om. κανὼν εἰς τοὺς ἁγίους μάρτυρας μάρκον καὶ μωκιάνον· καὶ τοῦ ⟨ἁ⟩γίου μάρτυρος ἐράσμου Σμ (acrostichidem et nomen auctoris om.), hic cd. alternatis odis cum canone in S. Erasmum, in hoc volumine ed. pp. 127 ss., tantum duo troparia in omni oda tradit

heirm. α' EE 224, n. 321, Joannis, integrum praebet Mf 1 Τρόπαιον ἀφθαρσίας W ἀφθαρσίαν Vw

Ἔχοντες ἐν καρδίᾳ,
μάρτυρες, τὸ πῦρ τῆς ἀγαπήσεως
τοῦ δεσπότου τῶν ὅλων,
τὴν πυρὰν τῶν εἰδώλων ἐσβέσατε.

Ῥείθροις σεπτῶν αἱμάτων
Φαραὼ ἀόρατον, ἀοίδιμοι,
καὶ τὰς τούτου ἀπείρους
μυριάδας σαφῶς ἀπεπνίξατε.

θεοτ. Πύλη τῆς θείας δόξης,
τῆς δικαιοσύνης πύλας ἄνοιξον
τοῖς ὑμνοῦσί σε πόθῳ,
θεοτόκε παρθένε πανύμνητε.

ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*

Νόμοις πειθαρχήσαντες
τοῦ παντοκράτορος, ἅγιοι,
τῶν δυσμενῶν
τὰς παρανομίας
παντελῶς διεκρούσασθε.

Ἥλιον γνωρίσαντες
δικαιοσύνης τὸν ἄδυτον,
σκότος δεινὸν
τῆς πολυθεΐας
ἐβδελύξασθε, ἅγιοι.

Νάμασι κατάρρυτοι
ὄντες σεπτοῦ, σοφοί, πνεύματος,

9-12 troparium om. Mf Σμ 10 ἀοίδιμε Vw 12 μυριάδας δυνάμει ἐβύθισας Vw 13-16 θεοτ. om. Σμ

heirm. γ' EE 224, n. 321, Joannis 18 ἅγιοι] ἄνθρωποι Mf 21 διεκρούσαντο Vw 27-31 troparium om. Mf Σμ

9-12 Cfr. Ex. 14,23-28 13 Ez. 44,2 14 Ps. 117,19 22-23 Mal. 3,20

f. 52 || τὰ θολερὰ
ὕδατα τῆς πλάνης
παντελῶς ἐξηράνατε.

θεοτ. Εὕροιμί σε, πάναγνε,
περιστατούμενος πάθεσι
καὶ πειρασμοῖς,
πάντων ῥυομένην
δυσχερῶν μεσιτείᾳ σου.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*

Πολυτρόπων κολάσεων
καὶ πειρατηρίων καταφρονήσαντες,
νίκης στέφος ἀνεπλέξασθε,
ἀθληταὶ κυρίου πανᾀοίδιμοι.

᾿Ανυμνήσωμεν σήμερον
τὸν Μωκιανόν τε καὶ Μάρκον ἅπαντες,
τοὺς ἀστέρας τοὺς φαιδρύνοντας
ἐκκλησίας ὅλον τὸ στερέωμα.

32-36 θεοτ. om. Σμ 32 Εὕροιμέν σε W 33 περιστατούμενοι W, περιστατούμενον Vw 35 ῥυομένοι W 36 μεσιτείᾳ σου] μεσιτείαις σου W, περιστάσεων Mf

post odem γ' refert Vw κάθ. quod post odem ς' Mf et ante canonem W (f. 47) et Σμ (f. 10) tradunt:

Κάθισμα.
῏Ηχος δ'. *᾿Επεφάνης σήμερον* (HR 169)

῾Ως ἀστέρες μέγιστοι
φωταγωγεῖτε
τὰ τῆς γῆς πληρώματα
ταῖς νοηταῖς ἀνατολαῖς
τῶν θείων ἄθλων, μακάριοι·
ὅθεν ἀξίως
ἀεὶ μακαρίζεσθε.

heirm. δ' EE 225, n. 322, Cosmae 39 ἀναπλέξασθε Vw 43 φαιδρύναντας Vw Mf

῾Ιερεῖα ὁλόκληρα
καὶ δεκταὶ θυσίαι προσανηνέχθητε
τῷ δεσπότῃ πάσης κτίσεως,
ἀθληταί, τῷ ξίφει τελειούμενοι.

θεοτ. * Νυσταγμῷ ἀμελείας με
ὕπνος ἁμαρτίας, κόρη, κατέλαβεν·
τῇ ἀγρύπνῳ ἱκεσίᾳ σου
διανάστησόν με πρὸς μετάνοιαν.

ᾠδὴ ε'. *῾Ο ἐκ νυκτὸς ἀγνοίας*

῞Ωσπερ φωστῆρες δύο
τὴν τοῦ Χριστοῦ ἐκκλησίαν φωτίζετε
παλαισμάτων ἀκτῖσι
καὶ τῶν ἰαμάτων φαιδρότησιν.

Μοναδικῶς τὴν θείαν
ὑμνολογοῦντες τριάδα οἱ μάρτυρες,
πολυθέου ἀπάτης
σκότος πονηρὸν διεκρούσαντο.

᾿Ανεπιστρόφως τρίβον
τοῦ μαρτυρίου, σοφοί, διοδεύσαντες,
χαίροντες πρὸς τὴν πόλιν,
μάρτυρες, τὴν ἄνω ἐφθάσατε.

θεοτ. ῾Ράβδος ἐτύπου πάλαι
τοῦ ᾿Ααρών σε ἀνίκμως βλαστήσασα·
ἀπειράνδρως γὰρ τίκτεις,
ἄχραντε, Χριστὸν τὸν θεὸν ἡμῶν.

45-48 troparium om. Mf Σμ 49-52 θεοτ., ed. in MR V, 283, om. Σμ 49 Νυσταγμὸν ἐμμελείας με W

heirm. ε' EE 226, n. 323, Germani, integrum refert Mf 56 ἰαμάτων] παθημάτων Vw 60 διεκρούσαντο] ἐτροπώσαντο Mf 61-64 troparium om. Mf Σμ 65-68 θεοτ. om. Σμ 65 ἐτύπου] ἐν τύπω Vw 66 ᾿Ααρών σε] ἄρσεων W ἄνηκμος Mf 68 ἄχραντε . . . ἡμῶν] ἄχραντε παρθένε ἱκέτευε Vw

---

46 Cfr. Philip. 4,18; Rom. 12,1; I Petr. ep. 2,5 63-64 Hebr. 11,16 65-66 Num. 17,23

ᾠδὴ ς'. Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον

Τὸ πάθος τοῦ ἀπαθοῦς μιμούμενοι,
πολυτρόπους αἰκισμούς, ἀθλοφόροι,
καὶ σπαραγμοὺς
f. 52v || καὶ πυρὸς τιμωρίαν
οὐκ ἐπτοήθητε νοῦ γενναιότητι,
ἀλλ' ἅπασαν τῶν δυσμενῶν
ἐν Χριστῷ δυναστείαν ὠλέσατε.

Ὑψούμενοι ἀναβάσεσι θείαις
καὶ πτερούμενοι τὸν νοῦν ταῖς ἐλπίσι
ταῖς ἀγαθαῖς,
οἱ Χριστοῦ ἀθλοφόροι
τὰ ἑαυτῶν ἀπηρνήσαντο σώματα,
τεμνόμενα διὰ θεόν,
τὸν τῶν ὅλων δεσπότην καὶ κύριον.

Ῥαινόμενοι τῶν αἱμάτων τοῖς ῥείθροις,
τῷ τυθέντι εἰς βροτῶν σωτηρίαν
λόγῳ θεοῦ,
τῷ σωτῆρι τῶν ὅλων
πανευκλεεῖς ἐμφανίσθητε μάρτυρες,
παρέχοντι νίκης ὑμῖν
τὰ βραβεῖα καὶ δόξαν οὐράνιον.

θεοτ. Ὡς κρίνον σε, ὥσπερ ῥόδον, παρθένε,
εὑρηκὼς ἐν ταῖς κοιλάσι τοῦ βίου,

---

heirm. ς' EE 219, n. 314, Joannis, integrum invenimus in Mf 73 νοῦ γενναιότητι om. W νοῦ] νῦν Vw 74 ἀλλὰ πᾶσαν W Vw 76 θείοις Mf 81 τεμνόμενοι διὰ χριστὸν Vw 83-89 troparium om. Vw Mf Σμ 83 τῶν αἱμάτων των τοῖς ... W 86 τῷ] καὶ W 87 ἐμφανίσθητε pro ἐνεφανίσθητε: cfr. PSALTES, 201 90-96 θεοτ. om. Σμ 91 ταῖς] τοῖς W

90-91 Cant. 2,1

ὁ πλαστουργὸς
τὴν ἁγίαν σου μήτραν
ὑπερβολῇ εὐσπλαγχνίας κατῴκησεν,
καὶ ἅπαντας τῆς ἑαυτοῦ
εὐωδίας ἀνθρώπους ἐπλήρωσεν.

ᾠδὴ ζ'. Παῖδες Ἑβραίων ἐν καμίνῳ

Νέῳ ἐν σώματι ἀνδρείως
τὸν ἀρχέκακον νικήσαντες Βελίαρ,
στρατιῶται Χριστοῦ
Μωκιανὲ καὶ Μάρκε,
ἐν ταῖς σεπταῖς λαμπρότησι
τῶν ἁγίων κατοικεῖτε.

Ξύλοις καὶ λίθοις, ἀθλοφόροι,
ἀλογώτατον μὴ προσάξαντες σέβας,
θανατοῦσθε χερσὶν
ἐχθρῶν ἀνόμων ἅμα
καὶ τὴν ζωὴν τὴν μέλλουσαν
ἐν χαρᾷ κληρονομεῖτε.

Ὕψει ἐνθέου μαρτυρίας
διαπρέποντες, γενναῖοι στρατιῶται,
τὰς ἀΰλους μονὰς
κληροῦσθε μελῳδοῦντες·
« εὐλογητὸς εἶ, κύριε
ὁ θεός, εἰς τοὺς αἰῶνας ».

θεοτ. Νύξ με καλύπτει ἁμαρτίας
κατακείμενον ἐν κλίνῃ ῥαθυμίας·

---

post odem ς' refert Mf κάθ. in app. crit. post odem γ' relatum
heirm. ζ' EE 220, n. 315, Joannis 98 βελίαν W 100 Μωκιανὲ] μαρκιανὲ Mf 101-102 pro his vv. tantum εὐ<λογητὸς> invenitur in Vw 104 ἀλογότατα Vw προσήξαντες W 107-108 εὐλογητὸς εἶ κύριε ὁ θεὸς Vw 109-114 troparium om. Mf Σμ 109 μαρτυρίου Vw 111 τὰς ὕλους W 113-114 post εὐλογητὸς cetera om. Vw v. 114 om. W 115-120 θεοτ. om. Σμ 115-116 ἁμαρτίας usque ad κλίνῃ om. W 116 ῥαθυμίας] ἀμελείας Vw

f. 53 μετανοίας πρὸς ‖ φῶς
ἐξέγειρόν με, κόρη·
ὅπως σωθῶ, κηρύττω σου
εὐσεβῶς τὰ μεγαλεῖα.

ᾠδὴ η'. *Νικηταὶ τυράννου*

Ὡς ἀστέρες δύο
ὕψει διαπρέποντες
τῆς ἐκκλησίας,
μυστικαῖς ἀκτῖσι
πᾶσαν καταυγάζετε
τὴν οἰκουμένην,
ἀθληταί, τὸ σκότος
τῆς πλάνης ἐλαύνοντες·
ὅθεν καταχρέως
ὑμᾶς ἀνευφημοῦμεν.

Ῥοαῖς τῶν αἱμάτων
τῶν δαιμόνων πνίξαντες
ἄπειρον στῖφος,
τῶν πιστῶν καρδίας,
μάρτυρες, ἀρδεύετε
ἀναβοώσας·
« εὐλογεῖτε, πάντα
τὰ ἔργα, τὸν κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ἱερῶς τιμάσθω
Μάρκος ὁ πανάριστος

119-120 εὐλογημένη πάναγνε Vw, qui cetera om. 119 σωθῆς Mf heirm. η' EE 221, n. 316, Joannis, integrum refert Mf 127-130 pro his verbis tantum εὐλ<ογεῖτε> ... Vw 127 τοῦ σκότους W 130 ὑμᾶς ἀνεκαλέσω W 136 ἀναβοῶντες Vw 137-140 post εὐλογεῖτε cetera om. W Vw Σμ vv. 138-140 om. Mf 141-150 troparium om. Mf Σμ

131-133 Cfr. Ex. 14,23-28

Μωκιανός τε,
οἱ στερροὶ ὁπλῖται,
οἱ στιγμάτων κάλλεσιν
ὡραϊσθέντες,
καὶ σὺν τοῖς ἀγγέλοις
θρόνῳ παριστάμενοι
τῆς σεπτῆς τριάδος
εἰς πάντας τοὺς αἰῶνας.

τριαδ. Δόξα τῷ πατρί τε
καὶ υἱῷ καὶ πνεύματι
καὶ κράτος πρέπει·
μία γὰρ οὐσία
τρισὶν ὑποστάσεσιν
ὑμνολογεῖται
ὑπὸ τῶν βοώντων·
« ὑμνεῖτε τὸν κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. Ἀπειράνδρως τίκτεις
ὃν πατὴρ ἐγέννησε
πρὸ ἑωσφόρου
καὶ μετὰ τὸν τόκον
ὡς πρὸ τόκου ἄφθορος
μένεις παρθένος·
διό σε ὑμνοῦμεν
καὶ πόθῳ δοξάζομεν
τὴν εὐλογημένην
καὶ κεχαριτωμένην.

143 τε] δὲ W 147-150 pro his vv. tantum εὐλο<γεῖτε> Vw 151-160 τριάδ. om. Vw Mf Σμ vv. 158-160 post ὑμνεῖτε cetera om. W 161-170 θεοτ. om. Σμ 163 πρὸ τῶν αἰώνων Vw 167-170 εὐλογεῖτε πάντα Vw, qui cetera om.

162-163 Ps. 109,3

ᾠδὴ θ'. *Κυρίως θεοτόκον*

Ἰσχύϊ τοῦ σωτῆρος
πᾶσαν τῶν δαιμόνων
καταπαλαίσαντες, μάρτυρες, δύναμιν,
τῆς ἀφθαρσίας στεφάνους
κατεκοσμήθητε.

Ὡς κρίνα ταῖς κοιλάσιν,
μάρτυρες, ταῖς θείαις
καὶ ὡσεὶ ῥόδα εὐώδη ἀνθήσαντες,
τὰς τῶν πιστῶν διανοίας
εὐωδιάζετε.

Στησώμεθα χορείαν,
Μάρκου τοὺς ἀγῶνας
f. 53v ||Μωκιανοῦ τε τοὺς πόνους δοξάζοντες,
καὶ τὴν αὐτῶν θείαν μνήμην
πανηγυρίσωμεν.

Ἡμῖν τοῖς ἐκτελοῦσιν,
μάρτυρες, ἐκ πόθου
τὴν ἱερὰν ὑμῶν μνήμην αἰτήσασθε
ἁμαρτιῶν καὶ κινδύνων
τὴν ἀπολύτρωσιν.

θεοτ. Φιλάνθρωπον τεκοῦσα,
ἄχραντε παρθένε,
φιλανθρωπίας με θείας ἀξίωσον,
τὸν ὑπὲρ πάντας ἀνθρώπους
ὄντα κατάκριτον.

---

heirm. θ' EE 224, n. 321, Joannis 174 τῆς] τοῖς Vw στεφάνοις Vw Σμ 175 κατεκοσμίσθητε Mf 176 τῶν κοιλάδων W 181-185 troparium om. Mf Σμ 183 μαρκιανοῦ Vw 184 καὶ τῇ αὐτῶν θεία μνήμῃ W 186-190 troparium om. Vw Σμ 189 ἁμαρτίας W 191-195 θεοτ. om. Mf Σμ 192 ἄχραντε δέσποινα W

---

176 Cant. 2,1

IN SANCTUM STEPHANUM EPISCOPUM RHEGII CALABRIAE ET SOCIOS MARTYRES

Synaxarium (*): Οὗτος ὁ ἅγιος ἱερομάρτυς Στέφανος ὑπῆρχεν ἀπὸ πόλεως Νικαίας· κατερχομένου δὲ Παύλου τοῦ ἀποστόλου ἐν τῇ Ῥώμῃ, συνηκολούθησεν αὐτῷ ἄχρι πόλεως Ῥηγίου τῆς Καλαβρίας. Εὑρὼν ὁ Ἀπόστολος τὴν πόλιν οὖσαν κατείδωλον, ἐκήρυξεν ἐν αὐτῇ λόγον Κυρίου, καὶ ὥσπερ ἀγαθὴ τὸν σπόρον δεχομένη καὶ ἑκατοστεύουσα, οὕτως οἱ ἐν αὐτῇ τὸν λόγον ἐδέξαντο· κατηχήσας τοὺς αὐτοὺς ὁ Παῦλος, καὶ βαπτίσας πλείστους εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, προχειρίζει αὐτοῖς ἀρχιεπίσκοπον Στέφανον. Ὃς καλῶς ποιμάνας τὴν ἐμπιστευθεῖσαν αὐτῷ ποίμνην, πολλοὺς τῷ ἑσπερίῳ (μέρει) ὑπέστρεψεν εἰς τὴν τοῦ Χριστοῦ πίστιν ταῖς αὐτοῦ διδασκαλίαις. Διατρίψας οὖν ἐν ταύτῃ τῇ πόλει ἑπτὰ καὶ δέκα ἐνιαυτούς, καὶ ἐπισκόπους καὶ πρεσβυτέρους χειροτονήσας, καὶ τῆς Ἐκκλησίας Θεοῦ χάριτι μεγαλυνθείσης, ἐκινήθη διωγμὸς κατὰ τῶν Χριστιανῶν. Ἐκρατήθη ὑπὸ Ἱέρακος ἡγεμόνος ὁ Ἅγιος προσαίτιος τοῦ Χριστιανισμοῦ, καὶ ἠναγκάσθη ἀρνήσασθαι τὸν Χριστὸν καὶ θῦσαι τοῖς εἰδώλοις· ὃς δὲ οὐκ ἠνέσχετο, ἀλλὰ μᾶλλον παρρησίᾳ τὸν Χριστὸν ὁμολογήσας, Θεὸν ὄντα καὶ Ποιητὴν πάντων· τὰ δὲ εἴδωλα, ξύλα καὶ λίθους ἀναίσθητα, ἔργα χειρῶν ἀνθρώπων, τοῦ διαβόλου ἐφευρήματα. Διὸ τύπτεται ἀφειδῶς (σὺν τῷ Σουηρᾷ ἐπισκόπῳ) καὶ λίθοις τὰς ὄψεις συνθλῶνται, καὶ εἰς κάμινον πυρὸς ἐμβληθέντες, ἐξῆλθον ἀβλαβεῖς· ὅθεν πλεῖστοι ἐπίστευσαν τῷ Χριστῷ, καὶ Μέγας ὁ Θεὸς ἀνεβόησαν, ὁ ὑπὸ Στεφάνου καὶ Σουηρᾶ τῶν ἀρχιερέων κηρυττόμενος. Ἐν οἷς ὑπῆρχον γυναῖκες σεμναί, Ἁγνῆς, Φιλικητὰς (καὶ Περπετούα) προσαγορευόμεναι, μαθήτριαι τοῦ ὁσίου Στεφάνου ὑπάρχουσαι, παρρησιασάμεναι ἔμπροσθεν στᾶσαι Ἱέρακος ἡγεμόνος, ὡμολόγησαν τὸ ὄνομα τοῦ Χριστοῦ, Θεὸν ἀληθινὸν καὶ Ποιητὴν πάντων ἀνακηρύξασαι. Τότε θυμοῦ πλησθείς, ἐκέλευσεν αὐτὰς ξίφει ἀποτμηθῆναι ἅμα Στεφάνῳ καὶ Σουηρᾷ τοῖς ἀρχιερεῦσιν. Οὗ γινομένου, παραυτίκα ἀπέδωκαν τὰς ἁγίας αὐτῶν ψυχὰς τῷ Κυρίῳ, εὐχαριστοῦντες καὶ ἀγαλλιώμενοι, ὅτι ἠξιώθησαν ὑπὲρ Χριστοῦ ἀποθανεῖν. Τὸ δὲ τίμιον σῶμα τοῦ ὁσίου ἱερομάρτυρος Στεφάνου, ὑπ' ἀνδρῶν εὐσεβῶν ἀωρὶ τῆς νυκτὸς κομισθὲν ἐν τῷ νοτιαίῳ μέρει τῆς αὐτῆς πόλεως, κατετέθη ἐν τῷ ἡσυχαστικῷ αὐτοῦ εὐκτηρίῳ, ὡς ἀπὸ σημείου ἑνὸς τῆς πόλεως, πλείστας ἰάσεις ἐπιτελοῦν. Τὰ δὲ τῶν λοιπῶν ἁγίων τὰ σώματα, Σουηρᾶ ἐπισκόπου, σεμνῆς Ἁγνῆς καὶ Φιλικητάτης (καὶ Περπετούας), ἔνθα ἀπετμήθησαν, ὑπὸ πιστῶν κατετέθησαν, ὑπὲρ τοῦ κόσμου πρεσβεύοντες.

Vat. gr. 2308	= W, ff. 68-71v
Mess. gr. 136	= Mf, ff. 199-203v
Sinait. gr. 624	= Σμ, ff. 16v-18v
Vat. gr. 787	= Vw, ff. 128-129
Vindob. Theol. gr. 33	= Wz, f. 111rv

(*) AA.SS. Iulii II (1721), 220; PG 115,317.

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Τὴν πεντάριθμον μαρτύρων ὑμνῶ χάριν· Ἰωσήφ.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

Ταῖς ἀστραπαῖς τοῦ παναγίου πνεύματος
καταυγαζόμενοι
καὶ ἀθλητῶν στέφει
καθωραϊζόμενοι,
τοὺς εὐσεβῶς γεραίροντας
τὴν σεπτὴν ὑμῶν μνήμην,
θεομακάριστοι μάρτυρες,
f. 68v θείου φωτισ||μοῦ ἀξιώσατε.

Ἡ φωταυγὴς καὶ καθαρὰ καὶ εὔσημος
ὑμῶν πανήγυρις,
ἡλιακὴν αἴγλην
πέμπουσα τοῦ πνεύματος,
τοὺς ἐν αὐτῇ γεραίροντας
τοὺς σεπτοὺς ὑμῶν πόνους
φωταγωγεῖ, θεῖοι μάρτυρες,
νύκτα τῶν δεινῶν ἀπελαύνουσα.

Νόμῳ θεοῦ ὠχυρωμένοι, μάρτυρες,
δόγμα παράνομον

tit. Τῇ αὐτῇ ἡμέρα κανὼν εἰς τὸν ἅγιον ἱερομάρτυρα στέφανον καὶ τῶν σὺν αὐτῷ· φέρων ἀκροστιχίδα τήνδε ... W, qui nomen auctoris om. et hunc canonem in diem VI iulii refert, post canonem in S. Sisoem, ed. MR VI, 49 acrostichidem et nomen auctoris om. Mf Σμ tantum ὁ κανὼν Mf κανὼν εἰς τὸν ἅγιον ἱερομάρτυρα στέφανον καὶ τοὺς σὺν αὐτῷ || (f. 17) τοὺς εἰς τὸ ῥήγιον τῆς καλαβρίας κειμένους Σμ ὁ κανὼν οὗ ἡ ἀκροστιχὶς ... Vw Wz: sigla Ἰωσήφ in margine praebet Vw, Wz autem nomen auctoris om.

heirm. α' EE 219, n. 314, Joannis 2 καταυγαζόμενος Wz vv. 3-4 om. W homoeoteleuti causa 12 πέμπουσαι Mf, πέμπουσαν Vw 15 φωταγωγοὶ W Mf Vw Wz 16 νύκταν W δεινῶν] παθῶν W ἀπελαύνουσαν Vw, ἀπελαύνοντες Wz 17-24 troparium om. Mf Σμ

ἐν εὐσεβεῖ πίστει
ὄντως ἠκυρώσατε
καὶ χαίροντες ἠθλήσατε
καὶ στεφάνοις στεφθέντες
νικητικοῖς, συναγάλλεσθε
ταῖς τῶν ἀθλητῶν ὁμηγύρεσιν.

Πεποικιλμένος ἀρετῶν ἐν κάλλεσιν,
ἔνδοξε Στέφανε,
ἱερουργὸς ὤφθης,
ἀναιμάκτους, ὅσιε,
θυσίας προσαγόμενος
διὰ σὲ τῷ τυθέντι,
καὶ δι' αὐτῶν ὥσπερ ἄκακος
τέθυσαι ἀμνὸς ἀναιρούμενος.

θεοτ. Ἐκ σοῦ θεὸς δι' εὐσπλαγχνίαν ἄφατον
βροτὸς γενόμενος,
πάντας βροτοὺς σῴζει
τῷ ἰδίῳ αἵματι,
ἁγνὴ θεοχαρίτωτε,
τῶν μαρτύρων ἡ δόξα,
τῶν ἀποστόλων τὸ καύχημα
καὶ τῶν γηγενῶν τὸ διάσωσμα.

ᾠδὴ γ'. *Ὁ στερεώσας κατ' ἀρχὰς*

Νενευρωμένῳ λογισμῷ
καὶ στερροτάτῃ καρδίᾳ
ἀντετάξω τοῖς τοῦ σκότους προστάταις,
φωτοβόλοις ἀστραπαῖς
τοῦ παναγίου πνεύματος
πεφωτισμένος ὅλως,
Στέφανε θεομακάριστε.

20 ἐκηρώσατε W 22 στεφάνους Vw 24 ταῖς] τοῖς Vw 25-32 troparium om. Mf Vw 27 ὡς φωταυγῆς ὤφθης Wz 29 θυσία Σμ 31 δι' αὐτὸν Wz 32 ἀμνὴς Wz 33 θεὸς om. Wz ἄφατον] ἄμετρον Vw

heirm. γ' EE 219, n. 314, Joannis 41 Νενεκρομένω; Wz 43 τοῖς om. W τοῖς] τοῦ Wz προστάτας Wz 46 ὅλος Mf Σμ

28-29 Cfr. I Petr. ep. 2,5

Τῶν μυστηρίων τοῦ Χριστοῦ
θεῖος διάκονος ὤφθης,
καταγγέλλων τὸν σωτήριον λόγον
καὶ τὴν πλάνην κερτομῶν
καὶ τῶν μαρτύρων στάδιον
περιφανῶς ἀνύων,
μάκαρ Σωκρᾶ ἀξιάγαστε.

f. 69 | Ἁγνῶς φιλοῦσαι τὸν Χριστόν,
Ἁγνή τε καὶ Περπετούα
καὶ Φιλίκητα, αἱ πάνσεμναι κόραι,
τὸν πτερνίσαντα τὸ πρὶν
τὴν Εὔαν κατεπάτησαν
καὶ παραδείσου ἔνδον
περιχαρῶς κατεσκήνωσαν.

θεοτ. Ῥητορευόντων οὐδαμῶς
γλῶσσα εἰπεῖν ἐξισχύει
τὰ θαυμάσια τὰ σά, θεοτόκε·
ὃν γὰρ τρέμει οὐρανῶν
τὰ νοερὰ στρατεύματα
ἀνερμηνεύτως τίκτεις,
ὅθεν σε πίστει δοξάζομεν.

48-54 troparium om. Σμ 50 καταγγέλων W, μετ' ἀγγέλων Vw, κἀγγέλων Wz 52 τῶν] το Mf 55-61 troparium om. Mf 57 φιλικήται Wz 58 τὸν] τὸ Vw 61 περίφανῶς κατεσκήνωσας Wz 63 ἐξισχύει] οὐκ ἰσχύει W, ἐξισχύως Wz 65 ὃν] ὧν W τρέμουν Wz

post odem γ' refert Vw κάθ., quod ante canonem praebent W (f. 65v) et Σμ (f. 16); idem κάθ. post odem ϛ' tradit Wz; in W heirm. καθ. inc. *Χορὸς ἀγγελικός* (cfr. pp. 255, 398)

Κάθισμα.

Ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,* (PeR 59)

Ἱέρευσας σαυτὸν
διὰ βίου τελείου
καὶ θῦμα καθαρὸν
διὰ σὲ τῷ τυθέντι
γεγέννηκας (γεγένηκας Vw, γεγένησαι Σμ W, γεγέννησε Wz), Στέφανε,
σὺν τοῖς θείοις συνάθλοις σου·

ᾠδὴ δ'. *Σύ μου, Χριστέ,*
κύριος, σύ μου καὶ δύναμις

Ἱερουργός,
Στέφανε, θεῖος γενόμενος,
ἱερεῖον
τέθυσαι ὡς ἄμωμον,
προσενεχθεὶς τῷ παμβασιλεῖ
καὶ τῶν πρωτοτόκων
φαιδρύνας θείαν ὁμήγυριν·
διό σε συνελθόντες
μακαρίζομεν πίστει,
τὴν σεπτήν σου τελοῦντες πανήγυριν.

Θείᾳ βουλῇ
τὴν αὐθεντίαν ἐπλούτισας
ἀποστόλων,
πρόεδρος γενόμενος
καὶ ποιμενάρχης θείου λαοῦ
καὶ ἱερομύστης,
θεομακάριστε Στέφανε,
καὶ μάρτυς ἀληθείας
καὶ φωστὴρ εὐσεβείας
καὶ ἁγίων ἀγγέλων συνόμιλος.

Μαρτυρικαῖς
ἠγλαϊσμένος φαιδρότησιν,

ὅθεν σήμερον
τὴν ἱερὰν ὑμῶν μνήμην
ἑορτάζομεν,
ἐν εὐφροσύνῃ καρδίας
Χριστὸν μεγαλύνοντες.

heirm. δ' EE 219, n. 314, Joannis 69 Ἱερουργὲ Vw 73 πρὸς ἀνεχθεὶς W 78 τὴν usque ad πανήγυριν] τῇ δυνάμει δόξα φιλάνθρωπε Vw 79-88 troparium om. Mf 79 Θείαν βουλὴν Vw 80 ἐπλούτησας Vw Wz 84 καὶ ἱερομάρτυς W 88 καὶ . . . σονόμιλος] καὶ ἀγγέλων συνόμιλος ὅσιε W συνόμιλε Wz 89-98 troparium om. Mf 90 ἠγλαϊσμέναις Wz

---

71-73 Cfr. Hebr. 9,14 74-75 Cfr. Hebr. 12,23

πᾶσαν πεῖραν
ἤνεγκας στερρότατα
τῶν ἀλγηδόνων, μάκαρ Σωκρᾶ,
κατατραυματίζων
ἐχθροὺς ἀσάρκους τοῖς τραύμασιν,
θεόφρον, τῆς σαρκός σου
καὶ τὴν ἄνωθεν δόξαν
εὐπρεπῶς τῷ Χριστῷ στολιζόμενος.

Ὅλῃ ψυχῇ
πρὸς τὰς βασάνους χωρήσασαι,
ἀθλοφόροι,
ὅλην ἐφελκύσασθε
χάριν τοῦ πνεύματος ἀληθῶς,
ὑμᾶς παραδόξως
ἐπιστασίᾳ ῥωννύουσαν,
Ἁγνὴ καὶ Περπετούα
f. 69v || καὶ Φιλίκητα, ὅθεν
ἐν σκηναῖς πρωτοτόκων αὐλίζεσθε.

θεοτ. Νόμοι ἐν σοὶ
καινοτομοῦνται τῆς φύσεως·
νομοδότην
κύριον γὰρ τέτοκας,
νομοθετοῦντα πᾶσι ζωὴν
τοῖς παρανομίᾳ
καὶ ἀπωλείᾳ δουλεύσασιν,
παρθένε θεοτόκε,
τῶν μαρτύρων ἡ δόξα
καὶ ἁπάντων ἀνθρώπων βοήθεια.

---

92 στερρότητι W 95 τοῖς τραύμασιν] ἐν χάριτι Vw 96-98 θεόφρον ... στολιζόμενος] διὸ καὶ ἀνεβόας / ἀθλοφόρε τρισμάκαρ / τῇ δυνάμει δόξα φιλάνθρωπε Vw 98 τῷ] ἐν Σμ Wz 99-108 troparium om. Σμ Vw Wz 104 παραδόξω W 105 ρωννύουσα W 110 κενοτομοῦνται W Σμ, κενοτομοῦντες Wz

---

108 Cfr. Luc. 16,9; Hebr. 12,23

ᾠδὴ ε΄. *Ἵνα τί με ἀπώσω*

Μεληδὸν σπαραχθέντες,
λίθοις τε βαλλόμενοι
καὶ συντριβόμενοι
καὶ μυρίοις πόνοις
ἀλγυνόμενοι, ἅγιοι μάρτυρες,
Ἰησοῦν τὴν πέτραν
τὴν ἀρραγῆ εὐσεβοφρόνως
οὐκ ἠρνήσασθε, ὅθεν δοξάζεσθε.

Ἀκλινεῖ διανοίᾳ
ἄδικον ὑπέστητε,
ἅγιοι, θάνατον,
καὶ ἀθανασίαν
αἰωνίζουσαν κατεκληρώσασθε,
καὶ βροτῶν τὰ πάθη
θαυματουργίαις παραδόξοις
ἰατρεύετε πνεύματος χάριτι.

Ῥεῖθρον πρόεισι θεῖον,
μάρτυρες πανεύφημοι,
ἐκ τῆς σοροῦ ὑμῶν
καὶ φλογμὸν ἐξαίρει
νοσημάτων καὶ λύει τὸν καύσωνα
τῶν ἀρρωστημάτων,
ὅθεν ὑμᾶς ὡς ἰατῆρας
τῶν ψυχῶν καὶ σωμάτων γεραίρομεν.

---

heirm. ε΄ EE 219, n. 314, Joannis 119-126 troparium om. Mf 120 τε om. W τε] σὲ Wz 123 ἀλγυνόμενοι] ἀγαλλόμενοι Vw 124 Ἰησοῦν] ἵνα W πέτρα W 130 ἀθανασίας Σμ 133 παραδόξως Mf 135-142 troparium om. Σμ Vw 135 πρόσησι Wz 141-142 ex ὅθεν usque ad σωμάτων om. W 141 ἰατῆρες Mf, ἰατείρας Wz 142 καὶ τῶν σωμάτων Wz

---

124-125 Matth. 7,24-25; Luc. 6,48

θεοτ. * Τῆς ψυχῆς μου τὰ πάθη
πάντα τὰ ἀνίατα,
κόρη, θεράπευσον
καὶ τὸν ἐσβεσμένον
ῥαθυμίᾳ ἐπάναψον λύχνον μου
καὶ πρὸς μετανοίας
ὁδοὺς ὁδήγησον, παρθένε,
ἵνα πίστει καὶ πόθῳ δοξάζω σε.

ᾠδὴ ς'. *Ἄβυσσος ἁμαρτιῶν*

Ὕφαναν μαρτυρικῶν
ἐξ αἱμάτων ἑαυτοῖς οἱ γενναῖοι
φωτοειδῆ χιτῶνα
καὶ ὡς σκῆπτρον κατέχοντες
τοῦ κυρίου τὸν σταυρόν,
τῷ βασιλεύοντι εἰς αἰῶνας
συμβασιλεύειν ἠξιώθησαν.

f. 70 || Ῥεύμασι τῶν ἱερῶν,
ἀθλοφόροι, καὶ ἁγίων αἱμάτων
τῶν δυσμενῶν δαιμόνων
ἀποπνίξαντες φάλαγγας,
ἰαμάτων ποταμοὺς
ἀναπηγάζετε, πάντα ῥύπον
ἀρρωστημάτων ἀποπλύνοντες.

143-150 θεοτ. ed. in PID ρξθ' 147 ῥαθυμίας PID μου] μοι PID 150 δοξάζω σε] δοξάζωμεν Wz

heirm. ς' EE 222, n. 318, Joannis, integrum refert Mf, cuius lectio in ultimo v.: καὶ ἐκ φθορᾶς ταχὺ ἀνάγαγε, melius aptatur metro tropariorum quam lectio in EE relata: καὶ ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε 151 Ἔφαναν Mf, Ὕφανας Wz μαρτυρικῶν] καταστολὴν Vw 155 τὸν κύριον τὸν θησαυρὸν Wz 156 εἰς τοὺς αἰῶνας Wz 157 ἠξιώθητε W 158-164 troparium om. Σμ 158 τὸ ἱερὸν Wz 160 δαιμόνων] εἰδόλων Vw 163 ἀναπηγάζωντες W 164 ἀποπλήναντες Mf, ἀποπλύναντες Vw

---

146-147 Cfr. Matth. 25,1-13 151-153 Cfr. Apoc. 7,13-15 158-161 Cfr. Ex. 14,23-28

Ὤφθησαν ὥσπερ λαμπὰς
πενταυγὴς οἱ τοῦ Χριστοῦ ἀθλοφόροι,
Στέφανος ὁ γενναῖος
καὶ Σωκρᾶς καὶ Φιλίκητα,
Περπετούα καὶ Ἁγνὴ
ἡ ἀξιάγαστος, καὶ τὸν κόσμον
θείαις αὐγαῖς καταλαμπρύνουσιν.

θεοτ. * Νέκρωσόν μου τῆς σαρκὸς
τὰς ἀτάκτους, θεοτόκε, κινήσεις,
ἡ τοὺς νενεκρωμένους
τῇ κακίᾳ ζωώσασα
τῷ σῷ ζῶντι τοκετῷ,
ὅπως δοξάζω σε ὡς αἰτίαν
τῆς τῶν ἀνθρώπων ἀναπλάσεως.

ᾠδὴ ζ'. *Θεοῦ συγκατάβασιν*

Ὑπήλθετε κάμινον
ὥσπερ οἱ θεῖοι
παῖδες, πανεύφημοι,

165-171 troparium om. Mf Vw 171 καταφαιδρύνουσιν W 172-178 θεοτ. ed. in PID ρπ' 175 ζωώσα W, ζωόσα Wz 176 σῷ ζῶντι] σώζοντι Wz 177-178 ὡς αἰτίαν usque ad ἀναπλάσεως] παναγία / μόνη τοῦ γένους ἐπανόρθωσις W

post odem ς', alia manu add. in inferiore margine, κάθ. invenimus in Mf:

Κάθισμα.
Ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,* (PeR 59)
Χορὸν παναληθῆ
ἀθλητῶν πανενδόξων
ὑμνήσωμεν, πιστοί,
ἀθλησάντων ἐννόμως,
Σωκρᾶν τὸν ἀοίδιμον
καὶ τὸν ἔνδοξον Στέφανον·
οὗτοι ἅπασαν
τοῦ διαβόλου τὴν πλάνην
κατεπάτησαν,
σὺν γυναιξὶ μακαρίαις
τὸν δρόμον τελέσαντες.

heirm. ζ' EE 219, n. 314, Joannis

---

179 ss. Cfr. Dan. 3,13-50

καὶ τὴν δρόσον ἐξ ὕψους
τῆς σωτηρίας ὑποδεξάμενοι,
εὐχαριστοῦντες
Χριστῷ ἀναμέλπετε·
« εὐλογητὸς ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Μικροῖς ἀντωνούμενοι
τὰ δι' αἰῶνος,
μάρτυρες, μένοντα,
τὰς τῶν λίθων νιφάδας
ἀνδρειοτάτως ἐκαρτερήσατε,
ἐπαναγούσας
ὑμᾶς ὥσπερ κλίμακας
πρὸς αἰωνίους μονὰς
ὑμνολογοῦντας Χριστόν.

Νομίμως ἐνήθλησας
σὺν τοῖς συνάθλοις,
ἔνδοξε Στέφανε,
τοῦ πρωτάθλου τὸν ζῆλον
ἐνθέως φέρων· ὃν ἐκμιμούμενος,
οἷα βαθμῖσιν
ἐπέβης καὶ κλίμαξι
ταῖς ἐκ τῶν λίθων βολαῖς
ἀπαίρων πρὸς οὐρανούς.

θεοτ. Ὡραίαν ἐν κάλλεσι
τῶν ἀρετῶν σε

183 ὑποδεικνύμενοι Vw, ὑποδεξάμενος Wz 185 ἀνεμέλπετε Vw Wz 187 v. om. Mf πατέρων ἡμῶν om. Σμ Vw ἡμῶν om. Wz 188-196 troparium om. Mf 188 Μακροῖς W ἀντονούμενον Wz 190 μένοντα] ἔνδοξοι Vw 191 αἱ τῶν λίθων νιφάδες Wz λίθων] ἄθλων W 192 ἀνδρειοφρόνως Vw vv. 195-196 εὐλογητὸς ὁ θεὸς Vw et cetera om. 196 post Χριστὸν add. Wz εἰς τοὺς αἰῶνας 197-205 troparium om. Σμ vv. 201-204 sic patent in Vw: τὴν μακαρίαν εὗρες ἀνάπαυσιν / καὶ ἀνεβόας καὶ γηθόμενος / εὐλογητὸς ὁ θεὸς et v. 205 om. 203-205 κλίμαξι ...] ψάλλουσαν ὁ τῶν Wz, qui sic troparium detruncat 205 οὐρανίους W 206 Ὡραίων Wz

195 Cfr. Luc. 16,9; Joh. 14,2.23 200 ss. Act. 7,54-60

λόγος εὑράμενος
τοῦ πατρός, θεοτόκε,
f. 70v || ἐν σοὶ ἀφράστῳ λόγῳ κατῴκησεν,
καθωραΐζων
βροτοὺς ἀναμέλποντας·
« εὐλογητὸς ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*

Χειραγωγίᾳ πνεύματος
τοῦ ἁγίου ὑπέπλευσαν
θάλασσαν ἀβρόχως
πειρασμῶν οἱ μάρτυρες,
καὶ ὅρμον κατέλαβον
τῆς βασιλείας τῶν οὐρανῶν,
αἵμασιν οἰκείοις δυσμενεῖς ἀοράτους
βυθίσαντες καὶ πᾶσιν
ἀναβλύζοντες ῥεῖθρα
τοῖς πίστει προσιοῦσι
μεγίστων ἰαμάτων.

Ἀνευφημείσθω Στέφανος
καὶ Σωκρᾶς ὁ θαυμάσιος,
καὶ μεγαλυνέσθω
Περπετούα σήμερον,
Ἁγνὴ καὶ Φιλίκητα,
οἱ καρτερῶς ἀθλήσαντες
καὶ ὡς εὐωδία τοῦ Χριστοῦ γεγονότες,

210 ἀφράστως W 212 ἀναμέλποντες Wz 213-214 varie interrumpunt cdd. troparium
heirm. η' EE 219, n. 314, Joannis 215 Χαρμονικῶς τοῦ πνεύματος Vw 216 ὑπέπλευσεν Wz 219 κατέλαβεν Wz v. 221 τὸν δημιουργὸν καὶ λυτρωτὴν (ut in EE heirm.) Wz, qui sic stropham abrumpit 223 ῥείθροις Vw vv. 224-225 λαὸς ὑπερυψοῦτε εἰς πάντας ... Vw 224 πίστει] πιστοῖς Σμ 230 καὶ ἁγνὴ W in v. 232 Wz troparium detruncat ut in v. 221

215 ss. Cfr. Ex. 14,22-28 232 II Cor. 2,15

τοὺς πίστει προσιόντας
ἀσυγκρίτου πληροῦντες
ὀδμῆς τῆς τούτων θείας
ἐκπεμπομένης θήκης.

Ῥώμῃ θεοῦ καὶ χάριτι,
ἐπὶ ξύλου τεινόμενος,
ἔφερες, Σωκρᾶ,
τοὺς σπαραγμοὺς τοῦ σώματος,
δορὰν ἀφαιρούμενος
καὶ ἐκ θεοῦ δεχόμενος
τὴν καταστολὴν τῆς ἀφθαρσίας, κραυγάζων·
« οἱ παῖδες, εὐλογεῖτε,
ἱερεῖς, ἀνυμνεῖτε,
λαός, ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Ἱκετηρίαν, ἅγιοι,
τῷ δεσπότῃ προσάξατε
ὑπὲρ τῶν πιστῶς
ἐπιτελούντων πάντοτε
τὴν θείαν καὶ εὔσημον
καὶ θαυμασίαν μνήμην ὑμῶν,
ὅπως οὐρανίου καὶ ἡμᾶς βασιλείας
ἐργάσηται μετόχους
ἐν αἰνέσει βοῶντας·
« λαός, ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. * Νενοσηκὼς τοῖς πάθεσι
καὶ τὸν νοῦν ἀμαυρούμενος
καὶ τῇ ἀμελείᾳ
τὴν ψυχήν, πανάμωμε,

vv. 233 ss. λαὸς ὑπερυψοῦτε Vw, qui cetera om. 235 ὀδμαῖς W 237-247 troparium om. Mf 240 τοὺς] τε Vw 243 κραυγάζων] κράζεις W vv. 244-247 varie intermittunt cdd. 248-258 troparium om. Mf Σμ Vw 251 ἐκτελούντων W 257-258 post λαὸς cetera om. Wz v. 258 om. W 259-269 θεοτ., ed. in PID ροα', om. Wz 260 καὶ τὸν νοῦν] τὴν ψυχὴν PID 261 καὶ τῆς ἀμελείας Mf 262 τῇ ψυχῇ W

243 Cfr. I Cor. 15,53-54

ἀεὶ σκοτιζόμενος,
f. 71 τῇ φωτεινῇ πρεσ||βείᾳ σου
πίστει καταφεύγω· μελῳδοῦντά με σῶσον·
« οἱ παῖδες, εὐλογεῖτε,
ἱερεῖς, ἀνυμνεῖτε,
λαός, ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς*

Ἰσχύι τοῦ τῶν ὅλων δημιουργοῦ,
ἱερομάρτυς ἔνδοξε Στέφανε,
καταβαλὼν
πάσας μυριάδας τῶν δυσμενῶν,
νίκης ἐδέξω στέφανον
κλήσει σου κατάλληλον ἐκ θεοῦ,
καὶ ταῖς τῶν πρωτοτόκων
ἠρίθμησαι χορείαις,
σὺν τοῖς συνάθλοις ἀγαλλόμενος.

Ὠράθη ὡς πεντάκτινος ἐπὶ γῆς
τῶν μαρτύρων ὁ σύλλογος ἥλιος,
φωταγωγῶν
πᾶσαν τὴν ὑφήλιον ἀληθῶς
τῶν ἰαμάτων λάμψεσι
καὶ ταῖς τῶν ἀγώνων ἀνατολαῖς,
καὶ τῆς πολυθεΐας
ἐξαίρων τὴν ὁμίχλην
καὶ καταυγάζων τὰς ψυχὰς ἡμῶν.

Στησώμεθα χορείαν πνευματικήν,
εὐφημοῦντες τὸν ἔνδοξον Στέφανον

vv. 267-269 om. cdd.

heirm. θ' EE 220, n. 314, Joannis 273 δυσμενῶν] πονηρῶν Wz 275 κλήσει ... θεοῦ] παρὰ τοῦ τῶν ὅλων δημιουργοῦ Vw 277 χορείας W 279-287 troparium om. Mf 279 Ὡράθης Wz 282-283 πᾶσαν ... λάμψεσι] πάντοτε οἱ μάρτυρες τοῦ χριστοῦ / παρὰ θεοῦ δεξάμενοι Wz 287 ἡμῶν om. Vw. 288-296 troparium om. Σμ

καὶ τὸν Σωκρᾶν,
τοὺς ἱερομάρτυρας τοῦ Χριστοῦ,
Ἁγνήν τε καὶ Φιλίκηταν
ἅμα Περπετούᾳ, ὡς ἱερὰς
παρθένους τὸν τῆς Εὔας
ποσὶν ὡραιοτάτοις
συμπατησάσας πολεμήτορα.

Ἡ μνήμη τῶν μαρτύρων περιφανῶς
ἀνατείλασα σήμερον χάριτι
τοῦ παντουργοῦ
πνεύματος, φωτίζει τοὺς ἐν αὐτῇ
ἐνθέως μακαρίζοντας
τούτων τοὺς ἀγῶνας τοὺς εὐκλεεῖς,
τοὺς πόνους, τοὺς κινδύνους
καὶ τὰς θαυματουργίας
καὶ τὰ ἐξαίσια τεράστια.

θεοτ. Φορέσας με προῆλθεν ὅλως ἐκ σοῦ
ὁ τὸ πᾶν οὐσιώσας βουλήματι
λόγος πατρός,
δύο ἐν οὐσίαις θεοπρεπῶς
καὶ ἐν δυσὶ θελήσεσι
σώζων τὸ ἀνθρώπινον, τῇ φθορᾷ
ἀθλίως, θεοτόκε,
f. 71v || καθυπαχθέν· διό σε
εὐσεβοφρόνως μακαρίζομεν.

292 φιλήκητα Mf 293 περπετοῦαν Mf Vw ὡς ἱερὰς] ὡς ἀληθῶς Mf 294 παρθένε τῆς τῆς εὔας Wz 295 ωραιοτάτους Wz 296 συμπατήσαις W, συμπατησάσαις Mf, συμπατησάσης Wz πολεμήτορας Vw, πολεμήτοραν Wz 297-305 troparium om. Mf Vw 305 τὰ om. W 308 πατρὸς] τοῦ σοῦ Wz 309 θεοπρεπῶς] πνευματικὸς Wz 311 τῇ φθορᾷ] ἐκ φθορᾶς W, τῆς φθορᾶς Mf 313 διό σου Wz 314 μακαρίζοντας Wz

5 IUL. *CANON* VII

IN SANCTUM STEPHANUM EPISCOPUM RHEGII CALABRIAE ET SOCIOS MARTYRES

Crypt. Δ.α. XI = Co, ff. 15v-17v
Matrit. gr. 4694 = A, ff. 81-82v

Ὁ κανών.
Ἐν τοῖς θεοτοκίοις· Θεοδότου.

Ἦχος α'.

ᾠδὴ α'. *Τῷ βοηθήσαντι θεῷ*
ἐν Αἰγύπτῳ τῷ Μωσῇ
καὶ δι' αὐτοῦ τὸν Φαραὼ
πανστρατὶ βυθίσαντι
ἐπινίκιον ᾠδὴν
ᾄσωμεν,
ὅτι δεδόξασται.

Τῆς ἐκκλησίας ὁ φωστήρ,
ὁ τῆς πίστεως κανών,
Στέφανος σήμερον ἡμᾶς
συνεκάλεσεν, πιστοί·
τοῖς ἱεροῖς αὐτοῦ ἄθλοις
συνδράμωμεν
ἐπαγαλλόμενοι.

Ἀναπετάσας, ἱερεῦ,
τὸ ἱστίον τῆς ψυχῆς,

tit. tantum ὁ κανὼν A, qui nomen auctoris om.
heirm. α' EE 16, n. 22, Joannis, usque ad Μωσῇ refert A vv. 2-7 heirm. in margine add. Co heirm. 2 Μωσεῖ EE

τὰς τρικυμίας τοῦ ἐχθροῦ
σὺν τοῖς θείοις καὶ σεπτοῖς
ἐν τῇ τοῦ πνεύματος αὔρᾳ
συνάθλοις σου
κούφως διέπλευσας.

Ἐν τῷ πυρὶ τῶν πειρασμῶν,
ἱεράρχα τοῦ Χριστοῦ,
ὁ τῆς μεγάλης ἐπιστὰς
ἀρχιστράτηγος βουλῆς
τῆς καρτερίας τὴν δρόσον
παρεῖχέ σοι,
ἔνδοξε Στέφανε.

θεοτ. Θεοκυῆτορ Μαριάμ,
τὸ προσφύγιον ἡμῶν
καὶ πρὸς θεὸν καταλλαγή,
τὰς αἰτήσεις τῶν πιστῶς
προσφευγόντων σοι δέχου
καὶ πρόσαγε
τῷ ἐπὶ πάντων θεῷ.

ᾠδὴ γ'. *Στερέωμά μου γενοῦ,*
ὁ θεμελιώσας
τὴν γῆν ἐφ' ὑδάτων,
οὐκ ἔστιν γὰρ ἅγιος
πλήν σου, φιλάνθρωπε.

f. 16 || Τῷ ἅλατι, ἱερεῦ,
τῶν θείων σου λόγων

22 μαρίαμ Co 25 πιστῶν Co 27 προσάγαγε A
heirm. γ', quem integrum referunt cdd., in traditione Co ab illo ed. in EE 17, n. 22, Joannis, differt heirm. 3 ἐπὶ τῶν ὑδάτων EE, ἐπὶ ὑδάτων A 4-5 ὅτι οὐκ ἔστιν ἅγιος πλήν σου, κύριε EE A

29-30 Cf. Marc. 9,49-50; Col. 4,6

τὰς κεχαυνωμένας
καρδίας συνέσφιγξας
τῶν πίστει προσελθόντων σοι.

Τοῖς λίθοις τῶν ἀσεβῶν
βαλλόμενος, πάτερ,
τοῦ λίθου ἐγένου
συμμέτοχος, Στέφανε,
τοῦ ἀκρογωνιαίου Χριστοῦ.

Συνήστραψε τῷ Σωκρᾷ,
σοφίας πρὸς ὕψος
κατεπειγομένῳ,
Ἁγνή, Περπετούα τε
γνησίως καὶ Φιλίκητα.

θεοτ. Ἐν σοί, παρθένε ἁγνή,
τὰς τῆς σωτηρίας
βεβαίας ἐλπίδας
ἡμεῖς ἀνεθέμεθα·
διάσωζε τοὺς δούλους σου.

v. 34 Ἐν τῷ αἵματι τῆς ἀθλήσεως A (cfr. v. 52) 39 Εσυνήστραψεν A 42 καὶ περπετοῦα A
post odem γ' refert A:

Κάθισμα.
Ἦχος δ'. *Ταχὺ προκατάλαβε* (HR 63)

Τελέσας τὸν δρόμον σου
ἐν ἀκλινεῖ λογισμῷ,
ἐχθρὸν ἐθανάτωσας,
θανατωθεὶς ἱερῶς,
πολύαθλε Στέφανε·
ὅθεν ἡ ἐκκλησία
ὡς λαμπρὸν ἀριστέα
πίστει σε μακαρίζει
καὶ λαμπρῶς ἑορτάζει
τὴν μνήμην σου, μάρτυς Στέφανε,
ἀνευφημοῦσά σε.

36-38 Is. 28,16; I Petr. ep. 2,6; Ephes. 2,20

ᾠδὴ δ'. *Κατενόησα, παντοδύναμε,*
τὴν σὴν οἰκονομίαν
καὶ μετὰ φόβου ἐδόξασά σε, σωτήρ.

Ἀπειλὰς πάσας τοῦ Ἱέρακος
ὡς ἀράχνας τεμόντες,
Χριστοῦ ὁπλῖται, ἐστεφανώθητε.

Ἐν τῷ αἵματι τῆς ἀθλήσεως
τῆς σαρκὸς τὸν χιτῶνα
πεφοινιγμένοι, Χριστῷ προσάγεσθε.

Εἰς τὸ ἄνω θυσιαστήριον
τῷ Χριστῷ παρεστῶτες,
στεφανηφόροι, μνήσθητε πάντων ἡμῶν.

θεοτ. Οὐ φαντάσας ἡμῶν τὸ πρόσλημμα
ἐκ σοῦ, παρθενομῆτορ,
θεὸς προῆλθεν ὁμοῦ καὶ ἄνθρωπος.

ᾠδὴ ε'. *Ἐκ νυκτὸς ὀρθρίζοντες*
ἀνυμνοῦμέν σε, Χριστὲ ὁ θεός,
τὸν δι' ἡμᾶς πτωχεύσαντα
καὶ σταυρὸν καὶ θάνατον
ἐν τῇ σαρκί σου ὑπομείναντα.

Εἰς μονὰς τοῦ πνεύματος
ὁδηγήσας, ἱεράρχα Χριστοῦ,
τὸ πιστευθέν σοι ποίμνιον,
σεαυτὸν προσήνεγκας
θυσίαν ζῶσαν τῷ τῶν ὅλων θεῷ.

heirm. δ' EE 17, n. 22, Joannis, integrum referunt cdd. heirm. 1 Κατενόησα] Εἰσακήκοα A 49 Ἀπειλὰς πάσας] Τὰς ἀπειλὰς A 50 τέμνοντες A
heirm. ε' EE 17, n. 22, Joannis, integer legitur in cdd. heirm. 5 ὑπομείναντι A 62 τοῦ χριστοῦ A

50 Is. 59,5-6 61-63 Cfr. Joh. 10,11 ss. 65 Rom. 12,1

Μελετῶν τὰ κρείττονα
καὶ τὰς θείας ἐν τῷ λάρυγγι
ὑψώσεις φέρων, Στέφανε,
τοῦ ἁγίου πνεύματος
κατοικητήριον γεγένησαι.

f. 16v ‖ Χορευέτω σήμερον
ἐν τῇ μνήμῃ τῶν μαρτύρων Χριστοῦ
ἡ οἰκουμένη ἅπασα,
τοὺς ἱεροὺς αὐτῶν ἄθλους
διαπρυσίως ἐκπομπεύουσα.

θεοτ. Διὰ σοῦ, πανύμνητε,
τῆς κατάρας ἐλυτρώθημεν
καὶ κοινωνοὶ γεγόναμεν
τῆς ἀκτίστου φύσεως·
διό σε πάντες μακαρίζομεν.

ᾠδὴ ϛ'. *Τὸν προφήτην διέσωσας*

Ἱερέων συνόμιλον
καὶ μαρτύρων συνέκδημον
εἰδότες σε, Στέφανε μάρτυς,
συμφώνως γεραίρομεν.

Συνανέτειλε σήμερον
ὡς ἀστὴρ φαεινότατος
τῷ θείῳ Στεφάνῳ ἐνθέως
Σωκρᾶς ὁ ἀοίδιμος.

Ἡ τῆς πίστεως σύμπνοια
καὶ τὸ θῆλυ ἐνεύρωσεν·
ἰδοὺ γὰρ σαφῶς καὶ γυναῖκες
δι' ἄθλων ἐστέφθησαν.

69 τοῦ παναγίου A 78 γενόμενοι A
heirm. ϛ' EE 17, n. 22, Joannis 83 ἰδόντες σε A 89 Ἡ] Ὁ A

69-70 Cfr. Ephes. 2,22

θεοτ. Ὁ σκηνώσας ἐν μήτρᾳ σου
σωτηρίας λιμένα σε
εἰργάσατο, πάναγνε κόρη·
διό σοι προσφεύγομεν.

Κάθισμα.

Ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,*

Στεφάνοις ἐκ χειρὸς
ἡ σεπτὴ κορυφή σου,
τρισμάκαρ, ἀληθῶς
κατεστέφθη κυρίου,
φερώνυμε Στέφανε,
τῶν ἀγγέλων ὁμότιμε·
ὅθεν σήμερον
τοὺς τὴν ἀοίδιμον μνήμην
ἐκτελοῦντάς σου
σαῖς ἱκεσίαις παντοίων
κινδύνων ἐκλύτρωσαι.

ᾠδὴ ζ'. *Ὁ ἐν τῇ βάτῳ ὀφθεὶς*
ἐν πυρὶ τῷ νομοθέτῃ
καὶ τὸν τόκον
τῆς παρθένου ἐν αὐτῇ προτυπώσας,
εὐλογητὸς εἶ, κύριε,
ὁ θεὸς τῶν πατέρων ἡμῶν.

Τῷ ἀπροσίτῳ φωτὶ
συνεκράθης διὰ βίου
καὶ τῆς δόξης
τῆς ἀΰλου ἐν μεθέξει ἐγένου,

hoc κάθ. om. A
heirm. καθ. PeR 59 8 τοὺς] τοῖς Co
heirm. ζ' EE 17, n. 22, Joannis, integer in cdd. (vv. 3-6 heirm. add. Co in margine) heirm. 5 κύριε] χριστὸς Co

ἱερομάρτυς Στέφανε,
ἐν ᾠδαῖς σε δοξάζομεν.

Τὰς ἀντιθέους πλοκὰς
τῶν τυράννων τῷ ἁπλῷ σου,
ἱεράρχα,
τοῦ κηρύγματος κατέβαλες λόγῳ,
καὶ διὰ τοῦτο, Στέφανε,
ἐν ᾠδαῖς σε δοξάζομεν.

Ἡ τριλαμπὴς τῶν χορῶν
συναστράπτει δᾳδουχία
τῷ Στεφάνῳ
καὶ Σωκρᾷ τοῖς θεολήπτοις πατράσι,
« εὐλογητὸς εἶ », κράζουσα,
« ὁ θεὸς τῶν πατέρων ἡμῶν ».

f. 17 θεοτ. || Τῆς ἀρχεγόνου ἀρᾶς
τὴν προμήτορα ἐρρύσω,
θεοτόκε,
ἀνωδύνως τὸν σωτῆρα τεκοῦσα,
καὶ διὰ τοῦτο κράζομεν·
« χαῖρε, σκέπη τοῦ γένους ἡμῶν ».

ᾠδὴ η'. *Τὸν τοὺς ὑμνολόγους ἐν καμίνῳ*

Τῷ ἀνεπιλήπτῳ σου βίῳ
ὡς ἀλάβαστρον μύρου
τὴν δεξαμένην σε
κατεμύρισας πόλιν, μακάριε·
διό σε,
Στέφανε, δοξάζει
εἰς πάντας τοὺς αἰῶνας.

v. 102 διὰ τοῦτο ὑμνοῦμέν σε A 113 κράζουσα] κύριε A 114 v. om. A
heirm. η' EE 16, n. 21, Germani 124 κατεμήνυσας A

122 Matth. 26,7; Marc. 14,3; Luc. 7,37

Πρὸς τὰς τῶν δαιμόνων μεθοδείας
ἐν μιᾷ συμφωνίᾳ
παραταξάμενοι,
τὸ τῆς νίκης ἐστήσατε τρόπαιον
καὶ δόξης,
μάρτυρες, τρυφᾶτε
τῆς θείας εἰς αἰῶνας.

Διὰ τῆς στερρᾶς ὑμῶν ἀνδρείας,
ἀθλοφόροι κυρίου,
πεπαρρησίασται
ὁ τῆς πίστεως λόγος καὶ βέβληται
εἰδώλων
πᾶσα συμμορία,
Χριστοῦ δοξαζομένου.

θεοτ. Οἱ τῇ κραταιᾷ σου νῦν πρεσβείᾳ
πεποιθότες, παρθένε,
διασωζόμεθα·
τοῦ ἐχθροῦ τὰς παγίδας συντρίβοντες,
ὑμνοῦμεν
καὶ ὑπερυψοῦμεν
τὴν σὴν κυοφορίαν.

ᾠδὴ θ'. *Σὲ τὴν ὁραθεῖσαν πύλην*
ὑπὸ Ἰεζεκιὴλ τοῦ προφήτου,
ἐν ᾗ οὐδεὶς διῆλθεν
εἰ μὴ θεὸς μόνος,
θεοτόκε παρθένε,
ἐν ὕμνοις μεγαλύνομεν.

Τῷ τῶν χαρισμάτων πλούτῳ
διὰ τῆς καλῆς ὁμωνυμίας

138 λόγῳ Co   140 συμμαχία A   146 ss. ὑμνοῦντες καὶ ὑπερυψοῦντες Co, qui cetera om.
heirm. θ' EE 17, n. 22, Joannis, integer legitur in cdd.   heirm. 5 τῶν ἀνθρώπων τὸ γένος Co   6 ἐν om. Co

149 ss. Cfr. Act. 7,54-60

καὶ κοινωνὸς τοῦ τέλους
ἐγένου τοῦ πρωτάθλου
καὶ τῆς δόξης ἐκείνου
μεθέξει, θεῖε Στέφανε.

Ὥσπερ ζωηρὸν λειμῶνα
τὰ περικαλλῆ ἀναβλαστάνοντα
τῆς εὐσεβείας ἄνθη,
τὴν τῶν μαρτύρων θήκην
οἱ πιστοὶ ἐγνωκότες,
δρεψώμεθα τὰ νάματα.

Τοῦ διὰ Χριστὸν ἀγῶνος
ταύτην ἀμοιβήν, στεφανηφόροι,
αἰτήσασθε δοθῆναι
τοῖς πίστει ἐκτελοῦσι
τὴν φαιδρὰν ὑμῶν μνήμην,
ζωὴν καὶ μέγα ἔλεος.

17v θεοτ. || Ὕμνους ἐγκωμίων πλέκειν
σοὶ τῇ παναμώμῳ ἀποροῦντες,
τὴν τοῦ ἀγγέλου πάντες
φωνὴν ἀναβοῶμεν·
« χαῖρε, τεῖχος καὶ σκέπη
καὶ καύχημα τῶν ψυχῶν ἡμῶν ».

154 ἐν μεθέξει A   160 νάματα] ἰάματα A   170 ἐκβοῶμεν A

IN SANCTUM MARTYREM THEODORUM EPISCOPUM CYRENAE ET IN SANCTAM MARTHAM MATREM SYMEONIS STYLITAE IUNIORIS

Synaxarium 796-798 (*)..... ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Θεοδώρου ἐπισκόπου Κυρήνης τῆς κατὰ Λιβύην..... (integrum synaxarium in hoc volumine referimus p. 260).

Synaxarium (*Selecta*) 797^{59}-800^{39}: Μάρθας μητρὸς τοῦ ἁγίου Συμεὼν τοῦ ἐν τῷ θαυμαστῷ ὄρει. Αὕτη ἦν πᾶσαν ἀρετὴν μετιοῦσα, ἔν τε ἀσκήσει καὶ πρὸς τοὺς δεομένους φιλοφροσύνῃ καὶ θεραπείᾳ τοῦ θείου καὶ τιμῇ τῆς ἁγίας ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου. Ὅθεν καὶ πρὸ τῆς τοῦ σώματος ἐκδημίας περὶ τῶν ἀποκειμένων αὐτῇ αἰωνίων ἀγαθῶν ἐμυήθη, καὶ μεταστᾶσα ἐπεφάνη τοῖς προσεδρεύουσιν αὐτῆς τῷ ἁγίῳ λειψάνῳ, καὶ χάριν εἶπεν μεγάλην παρὰ Θεοῦ εἰληφέναι καὶ διαγωγὴν ἔχειν ἐν τῷ φωτὶ καὶ οὐχ ἕνεκεν τοῦ υἱοῦ αὐτῆς δοξασθῆναι, ἀλλ' ὅτι τὸν Κύριον ὑπέμεινεν καὶ προσέσχεν αὐτῷ καὶ ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθη.

Sinait. gr. 625 = Σν, ff. 20-23
Crypt. Δ.α. XXIII = Cn, ff. 80v-82
Sinait. gr. 626 = Σξ, ff. 25v-28

Canon secundum traditionem Sinait. gr. 625 = Σν, ff. 20-23
Crypt. Δ.α. XXIII = Cn, ff. 25v-28 (**)

(*) In diem IV et V iulii constituit Synaxarium memoriam martyris, in die VII cd. Σν, sed, secundum traditionem cd. Cn, in Italia Inferiore descripti, in diem V eiusdem mensis canonem proferimus; etiam cd. Σξ, qui ex ipso canone tantum troparia in S. Martham et theotocia praebet, ad diem V hymnum addicit (cfr. p. 92 et commentarium p. 529 s.).

(**) Ode β' et nonnullis omissis tropariis, in traditione Σν inest Cn

Ὁ κανών.
⟨Ἐν τοῖς θεοτοκίοις⟩· Γεωργίου.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Theodorum

Ἐν ταῖς λαμπρότησιν, φωτοδότα,
τοῦ παρακλήτου καὶ ἡμᾶς
φώτισον, Χριστέ, ὡς τὸν σοφὸν ἱεράρχην σου,
ἵνα σε φωτεινοῖς
ἔργοις καὶ λόγοις
ὑμνοῦμεν εἰς αἰῶνας.

Ἐν τῷ τῆς πίστεως, ἱεράρχα,
θείῳ λειμῶνι φυτευθεὶς
καὶ καταρδευθεὶς ἀφθόνοις γνώσεως νάμασιν,
f. 20v ἐπλήθυνας || νοητῶς
καρποὺς ἐνθέους
Χριστοῦ τῇ ἐκκλησίᾳ.

Ἐπὶ τὴν πέτραν τῆς ἀληθείας
οἰκοδομήσας ἀρραγεῖς
θείους θεμελίους, ἱεράρχα Θεόδωρε,
τοῦ ψεύδους ταῖς προσβολαῖς
καὶ τρικυμίαις
οὐδ' ὅλως ἐσαλεύθης.

Martham

Τῷ θείῳ ἔρωτι τετρωμένη
τῶν αἰωνίων ἀγαθῶν,
δόξης ἐπικήρου καὶ τρυφῆς κατεφρόνησας·

tit. tantum ὁ κανὼν Σν Cn nomen auctoris e theotociis deducitur ut Γεεωργίου in Σν, qui odem β' refert, ut Γεωργίου in Cn, qui nihilominus in margine sigla Θεοφάνους praebet

heirm. α' EE 229, n. 328, Germani 19-24 troparium in S. Martham om. Cn

1-2 Cfr. Joh. 14,16 7-12 Cfr. Ps. 1,3 13-18 Cfr. Matth. 7,24; Luc. 6,48 19 Cfr. Cant. 2,5; 5,8

διὸ καὶ ἀγγελικόν,
ὁσία, βίον
διήνυσας ἐνθέως.

θεοτ. Γῆς οἱ ἀπόγονοι, θεοτόκε,
υἱοὶ γενόμενοι θεοῦ
χάριτι τῇ θείᾳ καὶ ἀρρήτῳ κυήσει σου,
ὑμνοῦμέν σε ἐκτενῶς
μόνην αἰτίαν
τῆς ὄντως σωτηρίας.

ᾠδὴ β'. *Πρόσεχε,
οὐρανέ, καὶ λαλήσω*

in S. Theodorum Ἔλαμψαν
ὑπὲρ ἥλιον, πάτερ,
οἱ θεῖοι λόγοι σου
καὶ τῆς πλάνης τὸ σκότος
ἐκ περάτων ἀπεσόβησαν.

Τίμια
τῷ δεσπότῃ προσῆξας
δῶρα τὰ αἵματα
τῆς ἀθλήσεως, πάτερ·
διό σε αὐτὸς ἐδόξασεν.

Ἔγραψας
ἐν ψυχαῖς τῶν ἀνθρώπων
νόμους, Θεόδωρε,
εὐσεβείας καὶ ψεύδους,
θεόφρον, γραφὰς ἀπήλασας.

in S. Martham Ἔκτεινας
τῶν παθῶν τὰ θηρία

---

26 γενόμεθα Cn 30 ὄντως] πάντων Cn
odem β' om. Cn
heirm. β' EE 226, n. 324, Germani

f. 21 ‖ ξίφει ἀσκήσεως
καὶ ἀλώβητος, Μάρθα,
τῆς τούτων θήρας τετήρησαι.

θεοτ. Εἵλκυσεν
ἐκ μυχῶν κατωτάτων
ἡμᾶς ὁ τόκος σου
πρὸς οὐράνιον δόξαν,
παρθένε, τοὺς σὲ δοξάζοντας.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος
ὡς ὁ κύριος*

eodorum Τοῖς λόγοις ὡς βέλεσιν,
πάτερ, ἔτρωσας
ἀσεβείας τὴν ἔνστασιν
καὶ τούτοις ἰάτρευσας
τετρωμένους ἀνθρώπους,
ὑμνοῦντας, δοξάζοντας
Χριστὸν τὸν λυτρωτὴν τοῦ παντός.

Τοῖς αἵμασιν, ὅσιε,
τῆς ἀθλήσεως
τὴν στολὴν κατεκόσμησας
τῆς ἱερουργίας σου,
καὶ φαιδρῶς τῷ δεσπότῃ
Χριστῷ ἐλειτούργησας,
Θεόδωρε ἀοίδιμε.

artham Καρπὸν τιμιώτατον
ἐκ νηδύος σου
τῷ δεσπότῃ προσάξασα,
θυσίαν ὁλόκληρον

---

heirm. γ' EE 226, n. 323, Germani 59 τούτους Cn 62 τοῦ παντὸς] ἡμῶν Cn 70-76 troparium in S. Martham om. Cn

---

49-50 Cfr. Iob 5,22-23 63 ss. Cfr. Apoc. 7,13-15 73 Cfr. Rom. 12,1

ἑαυτὴν ἐγκρατείας
πυρὶ προσενήνοχας,
Μάρθα, ὑμνολογοῦσα αὐτόν.

θεοτ. Ἐν πέτρᾳ, πανάχραντε,
τῆς ἐλπίδος σου
τῆς ψυχῆς ἐπερείσας μου
τὰς βάσεις, ἀσάλευτος
εἰς ἀεὶ διαμένω,
αἰνῶν καὶ δοξάζων σε
τὴν μόνην προστασίαν μου.

ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου,*
λόγε, ὁ προφήτης

f. 21v || Στῦλος νοητὸς
in S. Theodorum Χριστοῦ τῇ ἐκκλησίᾳ
ὤφθης ἀληθῶς,
Θεόδωρε τρισμάκαρ,
ἐπὶ τοῖς θείοις σου δόγμασιν ἐπερείδων
ταύτην ὑμνοῦσαν τὸν τῶν ὅλων θεόν.

Ἔφλεξας πυρὶ
ἀθλήσεως τὴν πλάνην,
ἔσβεσας ῥοαῖς
αἱμάτων τὸ φλογῶδες,
ἱερομάρτυς Θεόδωρε, ἀθείας
καὶ τοῖς πιστοῖς δρόσον ἐπήγασας.

in S. Martham Ἔχουσα Χριστὸν
ἀεὶ ἐν διανοίᾳ,
πόθον τὸν φθαρτὸν

79 μου] σου Cn
heirm. δ' EE 224, n. 321, Joannis (idem EE 229, n. 328, Germani)

77-81 Cfr. Matth. 7,24; Luc. 6,48 84 Gal. 2,9; I Tim. 3,15; Apoc. 3,12

καὶ σχέσιν ἐβδελύξω,
καὶ διὰ τοῦτο χαρίτων κατηξιώθης,
Μάρθα, αὐτὸν ὑπερδοξάσασα.

θεοτ. Ὤφθης νοητὴ
νεφέλη, θεοτόκε,
φέρουσα αὐτὸν
τὸν ἥλιον τῆς δόξης
μετὰ σαρκὸς καταυγάζοντα πᾶσαν κτίσιν
φωτὶ ἐνθέῳ τῷ τῆς χάριτος.

ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

Theodorum Ἐν τῇ νυκτὶ τῆς πλάνης
θεοσεβείας φωστὴρ διανέτειλας,
ἀνθρώπους καταυγάζων
ταῖς διδασκαλίαις, Θεόδωρε.

Ἐξ οὐρανοῦ τὴν ψῆφον
ἱερωσύνης τῆς θείας δεξάμενος,
ἄξιος τοῦ χρίσαντος
λειτουργὸς ἐδείχθης, Θεόδωρε.

S. Martham Ἐν οὐρανῷ ὁρῶσα
f. 22 τὸν σὸν βλαστὸν διὰ στύλου || αἰρόμενον,
τούτῳ θείαις πράξεσιν,
Μάρθα, συνανυψοῦ ὑμνοῦσα Χριστόν.

θεοτ. Ῥάβδον δυνάμεώς σε
οἱ πεποιθότες ἐν σοί, θεονύμφευτε,
ἔχοντες, τροπούμεθα
τὰ τῶν πολεμίων συστήματα.

101 χριστὸν ὑπερδοξάζουσα Cn
heirm. ε' EE 226, n. 323, Germani 119 συνανύψου Σν Cn, συνανύψους Σξ 120 σε] σου Cn 123 συστήματα] βλαστήματα Cn

102-105 Is. 19,1 120 Ex. 4,3 ss.; Num. 17,23; Ps. 109,2

ᾠδὴ ϛ'. Χιτῶνά μοι παράσχου φωτεινὸν

in S. Theodorum

Ἀπέπαυσας εἰδώλων τελετὰς
καὶ λατρείαν ἄμαχον
Χριστοῦ τοῦ θεοῦ ἡμῶν
ἀνεκήρυξας, Θεόδωρε, τοῖς πέρασιν.

Τοῖς βρόχοις τοῖς τῶν λόγων σου, σοφέ,
δυσσεβούντων ἔπνιξας,
Θεόδωρε, φάλαγγας
καὶ εἰς αἴνεσιν Χριστοῦ πιστοὺς διήγειρας.

in S. Martham

Τὴν πάντων βασιλίδα ἐκ ψυχῆς
ποθοῦσα, ἐκόσμησας
σαυτὴν καθαρότητι,
καὶ χαρίτων δι' αὐτῆς, Μάρθα, τετύχηκας.

θεοτ.

Γαλήνην σε ἐν κλύδωνι παθῶν
καὶ θλίψεων, δέσποινα,
ἀεὶ προορώμενος,
εἰς λιμένα σωτηρίας καθορμίζομαι.

ᾠδὴ ζ'. Ὁ ἐν ἀρχῇ
τὴν γῆν θεμελιώσας

in S. Theodorum

Τοῦ μυστικοῦ
γευσάμενος κρατῆρος
τῆς τοῦ Χριστοῦ

heirm. ϛ' EE 224, n. 321, Joannis 124 εἰδώλων] δαιμόνων Cn 125 ἄμαχον] ἄμωμον Cn 128 τοῖς (2. l.) om. Σν 130 φάλαγγας] φάρυγγας Cn 138 προώρόμενοι Cn 139 εἰς σωτηρίας λιμένα Cn
heirm. ζ' EE 226, n. 323, Germani 141 γευσάμενοι Cn

128-130 Cfr. Ex. 14,23-28 140-143 Cfr. Prov. 9,5

σοφίας, ἱεράρχα,
τῇ ἐκκλησίᾳ
αὐτοῦ ἀφθόνως
διδαγμάτων ποταμοὺς
ἐνθέως ἔβλυσας.

Στῦλος πυρὸς
ἐν νυκτὶ ἀθείας
ἀναφανείς,
f. 22v || Θεόδωρε τρισμάκαρ,
εἰς φῶς τὸ θεῖον
Χριστοῦ ἀνθρώπους
καθωδήγησας ὑμνοῦντας
καὶ αἰνοῦντας αὐτόν.

in S. Martham

Τὸν ἐμπαθῆ
ὑπεκδῦσα χιτῶνα,
τὴν ἀπαθῆ
στολὴν περιεβάλου,
καὶ τὸν νυμφίον
ἁγνῶς, ὁσία,
διανύμνησας Χριστὸν
καὶ ἐθεράπευσας.

θεοτ.

Ἰδεῖν ἡμᾶς
τὴν δόξαν τοῦ υἱοῦ σου,
καὶ καθαρῶς
αὐτῆς ἐναπολαῦσαι
τοὺς σὲ ποθοῦντας
καὶ ἀνυμνοῦντας
ἱκέτευε ἐκτενῶς,
θεοχαρίτωτε.

148-155 troparium om. Cn 157 ὑπεκδύσω Cn 159 περιεβάλλου Cn 167 αὐτῆς] ταύτης Cn

148-149 Ex. 13,21 156 ss. Cfr. Matth. 22,2-14

ᾠδὴ η΄. *Τὸν ἐν ὄρει*
ἁγίῳ δοξασθέντα

in S. Theodorum

Τοῖς ἐνθέοις
ὅπλοις τῆς εὐσεβείας,
ἱεράρχα,
νοητῶς πεφραγμένος,
συνασπισμὸν διέκοψας, Θεόδωρε,
καὶ βραβεῖα νίκης
δι' ὁμολογίας
Χριστοῦ ἐπεκληρώσω.

Τοῖς πυρφόροις
λόγοις, ἱερομάρτυς,
ἀθείας
κατέφλεξας τὴν ὕλην
καὶ εὐσεβείας φῶς πιστοῖς διηύγασας,
τῆς δικαιοσύνης
ἀνυμνολογοῦσι
τὸν ἥλιον ἀπαύστως.

in S. Martham

Τῇ πτωχείᾳ
τῶν παρόντων ἐκτήσω
πλοῦτον, Μάρθα,
αἰώνιον καὶ δόξαν
καὶ διὰ τοῦτο πόθῳ ἀνεκραύγαζες·
« κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ.

Ὁ τὴν φύσιν
ἡμῶν δημιουργήσας

heirm. η΄ EE 226, n. 323, Germani vv. 177-179 κύριον ὑμνεῖτε / καὶ ὑπερυψοῦτε Cn, qui cetera om. vv. 180-187 ut tertium troparium praebet Cn, qui hoc ordine strophas profert: 172-179, 188-195, 180-187 181 ἱερομάρτυς] ἱερομύστα Cn 185-187 κύριον ὑμνεῖτε Cn, qui cetera om. 192 πόθῳ] πίστει Cn vv. 194-195 om. Cn Σξ v. 195 om. Σν

185-187 Mal. 3,20 188 ss. Cfr. Matth. 5,3

ἐκ σοῦ ταύτην
φορέσας, θεοτόκε,
ἀναμορφοῖ, καινίζει ὡς φιλάνθρωπος,
σὲ ὑμνολογοῦσαν
καὶ δοξολογοῦσαν
κυρίως θεοτόκον.

f. 23

‖ ᾠδὴ θ΄. *Μεγαλύνομέν σε*
τὴν πανάμωμον μητέρα Χριστοῦ τοῦ θεοῦ

Theodorum

Μυστικὴν θυσίαν
ἀναφέρων τῷ θεῷ, παναοίδιμε,
σαυτὸν ὡλοκαύτωσας
πυρὶ τῆς ἀθλήσεως.

Ἐπαρθεὶς πρὸς ὕψος
τῆς Χριστοῦ ὁμολογίας, Θεόδωρε,
αὐτῷ προσεπέλασας
βραβείοις τιμῶντί σε.

Παρρησίαν ἔχων
πρὸς Χριστὸν ὡς ἱερεὺς καὶ διδάσκαλος
καὶ μάρτυς, Θεόδωρε,
πρέσβευε σωθῆναι ἡμᾶς.

Martham

Ὁμοτρόπῳ, Μάρθα,
συγχορεύουσα υἱῷ, καθικέτευε
Χριστὸν τὸν θεὸν ἡμῶν
ὑπὲρ τῶν τιμώντων σε.

θεοτ.

Ὑπὲρ τὰς ἡλίου
ἡ πρεσβεία σου ἀκτῖνας ἐκλάμπουσα,
φωτίζει, πανάχραντε,
τοὺς σὲ μεγαλύνοντας.

heirm. θ΄ EE 226, n. 323, Germani 211 βραβεῖα Cn 216-219 troparium in S. Martham om. Cn

204-205 Cfr. Rom. 12,1

IN SANCTAM MARTHAM
MATREM SYMEONIS STYLITAE IUNIORIS

Canon secundum traditionem Sinait. gr. 626 = Σξ, ff. 25v-28

Ὁ κανών.
⟨Ἐν τοῖς θεοτοκίοις⟩· Γεωργίου.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Τῷ θείῳ ἔρωτι τετρωμένη
.... = Σν 19-24

Πυρπολουμένη τῷ θείῳ ζήλῳ
θεανδρικῶς πολιτευθείς,
ἔτεκες φωστῆρα τῶν πιστῶν καὶ προπύργιον
τὸν δεύτερον Σαμουὴλ
καὶ τῆς ἐρήμου
ἀγλαέστατον θρέμμα.

Βλαστὸς ἐδείχθης τῆς ἐγκρατείας,
ἐξανατείλασα ἡμῖν
ἥλιον πολύφωτον καὶ μέγαν θεράποντα

tit. tantum ὁ κανὼν cd., qui nomen auctoris om. Γεωργίου ex theotociis exstat
heirm. α' EE 229, n. 328, Germani 8 πολιτευθεὶς pro πολιτευθεῖσα: cfr. Mitsakis, 158 s.

10 Cfr. I Regn. 1,11-28

τὸν πάνσοφον Συμεὼν
καὶ τῆς ἑώας
προστάτην τε καὶ τεῖχος.

θεοτ. Γῆς οἱ ἀπόγονοι, θεοτόκε,
.... = Σν 25-30

ᾠδὴ β'. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω

Ἔκτεινας
f. 26 .... = Σν 46-50

Ἔσβεσας
τῶν παθῶν τὰς ἐπάρσεις,
ὁσία Μάρθα σεμνή,
ἀπὸ βρέφους ποθήσας
τὸν σὸν νυμφίον καὶ κύριον.

Ἔσωσας
ἐκ παθῶν τρικυμίας
λαοὺς ἀπείρους σαφῶς,
ἐκ βλαστοῦ σου γὰρ ῥίζης
τὸν κόσμον ἐξεναγώγησας.

θεοτ. Εἵλκυσεν
.... = Σν 51-55

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος*

Καρπὸν τιμιώτατον
.... = Σν 70-76

heirm. β' EE 226, n. 324, Germani 33 ποθήσας pro ποθήσασα: cfr. app. crit. ad v. 8
heirm. γ' EE 226, n. 323, Germani

Θυσίαν εὐπρόσδεκτον
καὶ ἀείζωον
τῷ Χριστῷ σὺ προσήνεγκας
τὸν φῦντα ἐκ μήτρας σου,
θεοφόρε ὁσία,
πιστῶν τὸ κραταίωμα
καὶ τεῖχος καὶ προπύργιον.

Πρὸς ὕψος οὐράνιον
ἀνεπτέρωσας
τὴν ψυχὴν σὺν τῷ σώματι
καὶ γέγονας σύσκηνος
ταῖς φρονίμοις παρθένοις
καὶ θεῖον ἐκσφράγισμα
τῶν πίστει προστρεχόντων θεῷ.

θεοτ. 66-72 Ἐν πέτρᾳ, πανάχραντε,
.... = Σν 77-83

ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου*

f. 26v 73-78 || Ἔχουσα Χριστὸν
.... = Σν 96-101

Ἔφλεξας, σεμνή,
παθῶν τὰς τρικυμίας,
ἔσβεσας θηρῶν
ἀγρίων τὰς ἐφόδους,
τοῦ νοητοῦ Ἀμαλὴκ τε τὰς πολυπλόκους
καὶ τὰς ἐνέδρας θριαμβεύουσα.

Γέγονας πιστῶν
προπύργιον καὶ τεῖχος

---

heirm. δ' EE 224, n. 321, Joannis (cfr. p. 86) 79 σεμνὴ in margine add. cd.

---

52 Cfr. Rom. 12,1; I Petr. ep. 2,5 62-63 Cfr. Matth. 25,1-13 81 s. Cfr. Iob 5,22-23 83 s. Cfr. Ex. 17,9-16

τῶν εἰλικρινῶς
καὶ πόθῳ σε τιμώντων
καὶ τὴν ἁγίαν σου μνήμην ἐπιτελούντων,
θεομακάριστε πιστῶν ἀρωγή.

θεοτ. 91-96 Ὤφθης νοητὴ
.... = Σν 102-107

ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

97-100 Ἐν οὐρανῷ ὁρῶσα
.... = Σν 116-119

Ἐξ οὐρανοῦ τὴν ψῆφον,
θεομακάριστε Μάρθα, ἐδέξω σαφῶς
καὶ συλλαμβάνεις ἐκ θείου
πνεύματος τὸν μέγαν θεράποντα.

Τὸν σὸν βλαστόν, ὁσία,
ἡ Ἀντιόχου μὲν πόλις προβάλλεται
θερμὸν προστάτην καὶ τεῖχος
καὶ καταφυγὴν τῶν ἐν θλίψεσιν.

θεοτ. 109-112 Ῥάβδον δυνάμεώς σε
.... = Σν 120-123

ᾠδὴ ς'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

f. 27 113-116 || Τὴν πάντων βασιλίδα ἐκ ψυχῆς
.... = Σν 132-135

Γηραλέον σου φρόνημα, σεμνή,
ἐξέστησαν ἄγγελοι
καὶ ἄνθρωποι μέλπουσι
τὸν τῶν ὅλων ποιητὴν ⟨τὸν⟩ σὲ δοξάσαντα.

---

heirm. ε' EE 226, n. 323, Germani
heirm. ς' EE 224, n. 321, Joannis 120 τὸν metri causa add.

Ὡς στήλην εὐθαλῆ τε καὶ τερπνὴν
σεαυτὴν ἐκόσμησας
καὶ ἔσοπτρον γέγονας
ἀκηλίδωτον ἐμφάσεων τοῦ πνεύματος.

θεοτ. 125-128 Γαλήνην σε ἐν κλύδωνι παθῶν
.... = Σν 136-139

ᾠδὴ ζ'. *Ὁ ἐν ἀρχῇ*
τὴν γῆν θεμελιώσας

129-136 Τὸν ἐμπαθῆ
.... = Σν 156-163

Στῦλος πυρὸς
ὁ σὸς βλαστὸς ἐδείχθη,
Μάρθα σεμνή,
φωτίζων τὰ τοῦ κόσμου
καὶ τὰ ἐν κόσμῳ
ἀποκαθαίρων
ἐξ ἀγνοίας ἀφεγγοῦς
καὶ πάσης ἄλλης ὀργῆς.

Τὰς τῆς σαρκὸς
κατέσβεσας ἐπάρσεις
καὶ νοητῶν
ἐχθρῶν τὰς πανουργίας
ἀπεβδελύξω,
ὁσία Μάρθα,
καὶ τὰς τούτων συμπλοκὰς
εἰς γῆν κατέαξας.

θεοτ. 153-160 Ἰδεῖν ἡμᾶς
.... = Σν 164-171

heirm. ζ' EE 226, n. 323, Germani 140 φωτίζοντα τὸν κόσμον cd.

123-124 Sap. 7,26 137 Ex. 13,21

ᾠδὴ η'. *Τὸν ἐν ὄρει*
ἁγίῳ δοξασθέντα

f. 27v 161-168 ‖ Τῇ πτωχείᾳ
.... = Σν 188-195

Ὁ γινώσκων
θεὸς τὴν σὴν καρδίαν
καὶ τὸν πόθον,
ὃν ὤδινας ἐκ βρέφους,
ὁσία Μάρθα, πίστει τὸν ἐγκάρδιον,
ἔστεψεν ἐνθέως
πίστει ἀνυμνοῦσαν
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἡ φαιδρά σου
ἑόρτιος ἡμέρα
καταυγάζει
πιστῶν τὰς διανοίας
καὶ ἐκλαμπρύνει πᾶσαν τὴν περίγειον,
ὥσπερ φαεσφόρος
μέχρι τῶν τερμάτων
τῆς γῆς ἁπάσης φαίνων.

θεοτ. 185-192 Ὁ τὴν φύσιν
.... = Σν 196-203

ᾠδὴ θ'. *Μεγαλύνομέν σε*

193-196 Ὁμοτρόπῳ, Μάρθα,
.... = Σν 216-219

Εὐσεβῶς βιώσας,
ἐν τῷ σκάμματι ἀνδρείως ἠγώνισαι,

heirm. η' EE 226, n. 323, Germani 175 ἀνυμνοῦσα, postea ἀνυμνοῦσαν cd. 176 αἰῶνας om. cd. 184 φαίνων pro φαίνουσα: cfr. app. crit. ad v. 8.
heirm. θ' EE 226, n. 323, Germani 197 βιώσας pro βιώσασα: cfr. app. crit. ad. v. 8

ἐξ οὗ ἐθησαύρισας
πλοῦτον ἐπουράνιον.

Ἀσπαζόμεθά σου
τῶν λειψάνων τὴν σορόν, **Μάρθα πάνσεμνε,**
ἐξ ἧς ἀρυόμεθα
ἰαμάτων νάματα.

Ἐν ταῖς εὐπροσδέκτοις
πρὸς θεόν σου ἱκεσίαις μνημόνευε
ἡμῶν τῶν πεπτωκότων
καὶ θερμῶς ποθούντων σε.

θεοτ. 209-212 Ὑπὲρ τὰς ἡλίου
f. 28 .... = Σν 220-223

199 ἐκ σοῦ cd.

IN SANCTAS MARTYRES AGNETEM ET LUCIAM

Synaxarium 799-800 (*): .... ἄθλησις τῆς ἁγίας μάρτυρος Ἁ γ ν ῆ ς. Αὕτη τὸν τρόπον τῷ ὀνόματι κατάλληλον ἔχουσα, πολλὰς τῶν ἀκολάστων γυναικῶν ἀπέχεσθαι τῶν πονηρῶν ἔπειθε πράξεων καὶ πιστεύειν εἰς Χριστόν. Διὰ ταῦτα οὖν ἀχθεῖσα πρὸς τὸν ἄρχοντα ἢ τοῖς εἰδώλοις θῦσαι ἢ εἰς πορνεῖον ἀπενεχθῆναι διηπειλήθη· ἡ δὲ μηδ᾽ ἕτερον τούτων ποιήσειν ἔφη, ἀλλ᾽ ἐν τῷ Χριστῷ θαρρεῖν, ὅτι καὶ τὴν πίστιν τηρήσει καὶ τὴν ἁγνείαν οὐ μολυνθήσεται· πρὸς ταῦτα ὁ ἄρχων θυμωθεὶς πορνοβοσκῷ τινι τὴν μάρτυρα παραδίδωσι· ἥτις θείᾳ σκεπομένη χάριτι ἀνέπαφος τῶν προσιέναι βουλομένων καὶ ἄχραντος ἔμεινε, τὴν ὁρμὴν αὐτῶν καὶ σωματικὴν πύρωσιν εὐχῇ χαλινοῦσα καὶ ἀπομαραίνουσα. Εἷς δέ τις τῶν ἀκολάστων θρασύτερον αὐτῇ προσελθὼν τελέως ἐνεκρώθη καὶ πρὸς τοῖς ποσὶν αὐτῆς ἐρρίφη. Ὡς δὲ τοῦτο ἔγνω ὁ ἄρχων, μετάκλητον ποιησάμενος ἐγεῖραι τὸν τεθνεῶτα ᾐτήσατο. Καὶ τούτου γενομένου, γοητείας καὶ ἐπαοιδίας ὑπὸ τῶν ἀσεβῶν ἐγκλήματι περιάπτεται· ἣν ὁ ἄρχων, ὡς ὑπὸ πολλοῦ πλήθους τοιούτοις ἐγκλήμασι περιβληθεῖσαν, πυρὶ παραδοθῆναι προσέταξε. Βληθεῖσα οὖν ἐν αὐτῷ, τῷ Θεῷ τὸ πνεῦμα παρέθετο, καὶ οὕτως ἐπληρώθη αὐτῆς ἡ μαρτυρία.

Synaxarium 801-802: .... ἄθλησις τῆς ἁγίας μάρτυρος Λ ο υ κ ί α ς τῆς παρθένου καὶ Ῥ ί ξ ο υ βικαρίου, καὶ ἄλλων πλείστων παθόντων ἐν Καμπανίᾳ. Αὕτη ἡ Λουκία ἑτέρα ἐστὶν παρὰ τὴν ἐν Σικελίᾳ. Κατασχεθεῖσα δὲ παρὰ Ῥίξου βικαρίου καὶ ἀναγκασθεῖσα θῦσαι τοῖς εἰδώλοις καὶ ἀρνήσασθαι τὸν Χριστὸν οὐκ ἐπείσθη, ἀλλὰ μᾶλλον καὶ τὸν βικάριον πρὸς τὴν τοῦ Χριστοῦ ἐπέστρεψε πίστιν. Ὃς τιμῆς πλείστης ἀξιώσας αὐτήν, ἐν ἡσύχῳ κατέστησεν οἴκῳ, ἐν ᾧ ἡ ἁγία τῇ νηστείᾳ καὶ προσευχῇ ἐκαρτέρει. Μετὰ δὲ χρόνους εἴκοσι παρεκάλεσε τὸν βικάριον ἀπελθεῖν ἐν Καμπανίᾳ καὶ μαρτυρῆσαι ὑπὲρ Χριστοῦ. Ὁ δὲ καταλιπὼν γυναῖκα καὶ παῖδας καὶ πλοῦτον καὶ περιφάνειαν, συναπῆλθεν αὐτῇ· κἀκεῖ κρατηθέντες ἅμα καὶ τὸν Χριστὸν ἐπὶ τοῦ ἐκεῖσε ἡγεμόνος ὁμολογήσαντες, ἀπετμήθησαν τὰς κεφαλάς, σὺν αὐτοῖς δὲ καὶ ἕτεροι, Ἀντωνῖνος, Λυκίας, Νέας, Σηρῖνος, Διόδωρος, Δίων, Ἀπολλώνιος, Ἄπαμος, Παπιανός, Κοτύιος, Ὀρωνός, Πάπικος, Σάτυρος, Βίκτωρ καὶ ἕτεροι ἐννέα.

Crypt. Δ.α. XXIII = Cn, ff. 82ᵛ-84ᵛ

(*) In diem V iulii constituit Synaxarium memoriam Agnetis.

Ὁ κανών, [Ἰωάννου], φέρων ἀκροστιχίδα·
Ἁγνῆς λιταῖς τήρησον ἁγνὸν Χριστέ με.

Ἦχος β'.

ᾠδὴ α'. *Δεῦτε, λαοί,*

Ἁγνόν, Χριστέ,
ποίησον οἶκόν με, δέομαι,
ὅπως σὺν τῷ γεννήτορι
καὶ θείῳ πνεύματι
σὲ δεξάμενος, πλοῦτον
ἀφθόνων σου χαρίτων
συνυποδέξωμαι.

Γνώσει Χριστοῦ,
ἔνδοξε, καθάπερ νάμασι
καταρδευθεῖσα, ηὔξησας
καὶ καθαρότητος
καὶ ἁγνείας προσῆξας
καὶ ἄθλων καρποὺς τούτῳ,
Ἁγνὴ φερώνυμε.

f. 83 || Νεανικὴν
ἔνστασιν ἐπιδειξάμεναι,
αἱ ἀθλοφόροι ἅπασαν
τοῦ πολεμήτορος
τὴν ἀρχαίαν ἀπάτην
ἀπώσαντο καὶ νίκης
βραβεῖα ἔλαβον.

---

tit. Ἰωάννου sigla in margine praebet cd., sed cfr. commentarium p. 533
heirm. α' EE 37, n. 51, Cosmae

8-13 Cfr. Ps. 1,3

ᾠδὴ β'. *Θεὸς ἀληθινὰ*

Ἡ μάρτυς τοῖς πτεροῖς
τοῖς τῆς ἁγνείας
ἀνέδραμεν
εἰς ἀθλήσεως ὕψος.

Σὺ νάμασι Χριστοῦ
τοῖς νοουμένοις
κατέσβεσας
πῦρ παθῶν, ἱεράρχα.

Λουκία, φαεινὰς
ὁμολογίας
ἐφήπλωσας
ἐν τῷ κόσμῳ ἀκτῖνας.

Ἰσχὺν τοῦ δυνατοῦ
αἱ ἀθλοφόροι
κατέβαλον
σωφροσύνης δυνάμει.

ᾠδὴ γ'. *Στερέωσον ἡμᾶς*

Τῇ αἴγλῃ τῆς φαιδρᾶς
ἁγνείας, ἔνδοξε,
τὴν ψυχὴν
ἐνθέως λαμπρυνομένη,
ἐραστὴν τὸν φωτοδότην Χριστὸν
καὶ νυμφίον ἐκτήσω καθαρώτατον.

---

heirm. β' EE 44, n. 59, Germani
heirm. γ' EE 39, n. 53, Cosmae

Ἀέναοι κρουνοὶ
ἐκ σοῦ ἐκβλύσαντες
σοφίας
τῆς θείας, Ἁγνή, αὐχμώσας
καὶ διψώσας τὴν εὐσέβειαν
ὁμοφύλων ψυχὰς ἀφθόνως ἤρδευσαν.

Ἰλύος ἐμπαθοῦς
σαυτὴν ἀμέτοχον,
Λουκία,
τηροῦσα, φωτὸς δοχεῖον
φερωνύμως ἐχρημάτισας,
τοῦ ἡλίου τῆς δόξης σε λαμπρύνοντος.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας

Στηριχθεῖσα τοῖς ῥήμασι
τῶν κορυφαίων, μάρτυς, τῆς ἀγάπης
οὐ περιετράπης τῆς τοῦ νυμφίου σου.

Τῇ δυνάμει τοῦ πνεύματος
τὸ ἀσθενὲς ῥωσθεῖσα τῆς ἀγάπης,
τοῦ ἐχθροῦ καθεῖλες, Ἁγνή, τὸ φρύαγμα.

---

47 αὐχμῶνος cd.
heirm. δ' MR I, 96

44-49 P. Franchi de' Cavalieri, *S. Agnese nella tradizione e nella leggenda*, « Römische Quartalschrift » Xe Supplementheft, Roma 1899, 71-72: διαγούσης δὲ αὐτῆς κατὰ τὸ δόγμα τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ χριστιανῆς, καὶ πρόσφορον τῷ βίῳ ἐχούσης τὸ ὄνομα πρὸς τὴν ἁγνείαν, καὶ ὥσπερ ἀπὸ τοῦ θείου βαπτίσματος καὶ τιμίου πνεύματος φερωνύμως... ἐξουρανίου πίστεως καὶ ἀγάπης, κατὰ τὴν γραφήν, φερωνύμως καὶ τὸν βίον καὶ τὴν διαγωγὴν κεκτημένης, πολλαὶ τῶν δυναστῶν γυναῖκες πρὸς αὐτὴν ἐφοίτουν, τὴν ἁγνείαν αὐτῆς καὶ τὴν πίστιν ζηλοῦσαι, διαφόρως θαυμάζουσαι αὐτῆς τὸν βίον. καὶ αἱ μὲν τὸν λόγον ἐξεπλήσσοντο, ἔμενον δὲ παρ' αὐτῇ, ποικίλως αὐτῆς ἀπολαύοντες τῆς διδασκαλίας· τινὲς δὲ τὴν ἐκείνης θεοσέβειαν ἀσκεῖν προῄρηντο.

Ἡ διάπυρος ἔφεσις
τοῦ ποιητοῦ ἐν σοὶ διαφανεῖσα,
Ἁγνή, ποιημάτων στοργὴν κατέφλεξεν.

⟨Ρ . . . .
. . . .
. . . .⟩.

f. 83v ‖ ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγὸς*
καὶ τῶν αἰώνων ποιητὴς κύριος,
ἐν τῷ φωτὶ
τῶν σῶν προσταγμάτων
ὁδήγησον ἡμᾶς·
ἕτερον ἐκτός σου θεὸν οὐ γινώσκομεν.

Ἡ τῆς ἁγνείας φαιδρὰ
αἴγλη λαμπρύνουσα ἀεί, ἔνδοξε,
σὲ φωτεινὴν
νύμφην τοῦ δεσπότου
ἀνέδειξεν Χριστοῦ
καὶ τοῖς σοῖς διώκταις παράδοξον θέαμα.

Σοῦ τὸ ῥευστὸν τῆς σαρκὸς
ὑπεριδοῦσα, τῇ ψυχῇ δέδωκας
τὸ κατ' αὐτῆς
νῖκος ἐγκρατείᾳ
καὶ πόνοις καρτεροῖς,
Ἁγνή, διὰ τοῦτο ἐδείχθης ἰσάγγελος.

Οἱ τῶν δακρύων κρουνοὶ
καὶ τῶν αἱμάτων σου βωμοὺς ἔβλυσαν

65-67 troparium, in cd. om., ex acrostichide deducitur
heirm. ε' EE 38, n. 51, Cosmae   vv. 2-6 heirm. in margine add. alia manu inveniuntur in cd.   4 τῶν om. EE   6 ἕτερον ἐκτός σου] ἐκτός σου γὰρ ἄλλον EE

εἰδωλικούς,
Λουκία, καὶ πᾶσιν
ἐπήγασαν πιστοῖς
τῆς θεογνωσίας ἀθόλωτα νάματα.

ᾠδὴ ς'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Νυμφευθεῖσα, Ἁγνή, τῷ δεσπότῃ Χριστῷ,
τούτῳ προσενήνοχας τὴν καθαρότητα
προῖκα τοὺς τῆς ἀθλήσεως
πόνους καὶ τοὺς ἀγῶνας καὶ αἵματα.

Ἀνυστάκτῳ ψυχῆς σου τῷ ὄμματι
τὸν ὑπερποθούμενον Χριστὸν προβλέπουσα,
πρὸς τούτῳ δι' ἀθλήσεως,
ἀθλοφόρε, εὐθύμως ἐχώρησας.

Γαληνῶς τὰς σπιλάδας τοῦ σώματος
καὶ τὰς τῶν παθῶν τρικυμίας ἐξέφυγες
καὶ εἰς λιμένα εὔδιον
μαρτυρίου, Λουκία, κατέπαυσας.

ᾠδὴ ζ'. *Εἰκόνος χρυσῆς*

Ναὸν ἑαυτὴν
καθαρὸν δι' ἀρετῆς καὶ σωφροσύνης
καὶ δι' ἀγώνων τῆς ἀθλήσεως
ἀποτελέσασα, ἔνδοξε,

---

heirm. ς' EE 34, n. 46, Joannis
heirm. ζ' EE 39, n. 53, Cosmae

90-93 Cfr. Matth. 25,1-13

χάριτος ταμεῖον ἐδείχθης
ἀκαταπαύστως κραυγάζουσα·
« εὐλογητὸς εἶ, ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ὁ σπόρος ἐν σοὶ
τοῦ κηρύγματος βληθείς, ⟨μάρτυς⟩, ἐνθέως
καρποὺς ἀγώνων καὶ ἀθλήσεως
εἰς ἑκατὸν ἀναδέδωκεν,
ὅθεν τῷ δεσπότῃ τῶν ὅλων,
Ἁγνή, ἀνέμελπες κράζουσα·
« εὐλογητὸς εἶ, ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Νεκροῦται νυνὶ
ὁ νεκρώσεως βροτοῖς αἴτιος πάλαι
f. 84 ‖ γεγενημένος, ὑπὸ φύσεως
τῆς ἀσθενούσης ἡττώμενος,
καὶ αἱ καλλιπάρθενοι νίκην
τὴν κατ' αὐτὸν ἀναδέχονται,
νικοποιὸν καὶ λυτρωτὴν
Χριστὸν δοξάζουσαι.

Χαρᾶς νοητῆς
πληρουμένη τὴν ψυχήν, Λουκία μάρτυς,
τοῦ σοῦ νυμφίου, βίον ἔλιπες
ἐν ἀλγεινοῖς τοῖς τοῦ σώματος
καὶ καρτερικῶς ἐναθλοῦσα,
ἀκαταπαύστως ἐκραύγαζες·
« εὐλογητὸς εἶ, ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

104-105 post εὐλογητὸς cetera om. cd. 107 μάρτυς scripsi: in v. duae syllabae desiderantur 112-113 post εὐλογητὸς cetera om. 119 κατ' αὐτῶν cd. 121 δοξάζοντες cd. 124 βίον scripsi: τοῦτον cd. vv. 128-129 om. cd.

106-109 Cfr. Matth. 13,8; Marc. 4,8; Luc. 8,8

ᾠδὴ η'. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Ῥώμῃ ἀμάχῳ τὴν ψυχὴν
νευρωθεῖσα εὐχερῶς τῇ τῆς ἁγνείας,
ἀπροσμάχητος ὤφθης
τοῖς πολεμοῦσιν, Ἁγνή,
τῷ κτίστῃ
ἀπαύστως κραυγάζουσα·
« σὲ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας ».

Ἴχνεσιν, μάρτυς, τῶν σοφῶν
ἀποστόλων τοῦ Χριστοῦ ἀκολουθοῦσα,
τὸν ὁμότροπον ζῆλον
ἐν τῷ κηρύγματι
τῷ θείῳ
ἐπεδείξω κράζουσα·
« σὲ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας ».

Στολιζομένη νοητῶς
τὴν ψυχὴν ταῖς ἀρεταῖς, Λουκία μάρτυς,
τοῖς τῆς ὁμολογίας
ποικίλοις στίγμασι
τὸ σῶμα
κοσμίως ἐλάμπρυνας,
ἀνυμνολογοῦσα
Χριστὸν εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Τὸν ἐκ θεοῦ θεὸν λόγον*

Τῶν ἡδονῶν τὸ φλογῶδες
ἐγκρατείας τῇ δρόσῳ
καὶ ὄμβροις τῶν δακρύων σου, Ἁγνή,

heirm. η' EE 35, n. 47, Joannis   136-137 καὶ ὑπ ... cd., qui cetera om.   v. 145 om. cd.   153 αἰῶνας om. cd.
heirm. θ' EE 34, n. 46, Joannis

τῇ συνεργείᾳ τοῦ πνεύματος
κατασβέσασα ὅλον,
διήνυσας τὸν βίον ἀπαθῶς,
τὸν δεσπότην καὶ κτίστην
ἀπαύστως μεγαλύνουσα.

Ἐν τῷ σταυρῷ τοῦ κυρίου
καυχωμένη ἐνθέως,
τὰ πάθη ἀνεδέξω τὰ αὐτοῦ
καὶ κοινωνὸς τῆς ἐγέρσεως
καὶ τῆς δόξης ἐγένου
τῆς τούτου, συγχορεύουσα, Ἁγνή,
ἀθλοφόροις ἁγίοις
σὺν ἀποστόλοις μάρτυσιν.

Μύρα προσῆξας τῷ κτίστῃ
τῆς ἀθλήσεως, μάρτυς,
f. 84v || τὰ αἵματα εὐώδη καὶ δεκτά,
ὅθεν, Λουκία, χαρίτων σε
εὐωδίᾳ ἐνθέῳ
ἐπλούτισεν, πηγάζουσαν ἡμῖν
μύρα τῶν ἰαμάτων
τοῖς πόθῳ σε δοξάζουσιν.

Ἐν οὐρανίοις θαλάμοις
ὁ τὰς καλλιπαρθένους
δεξάμενος, Χριστέ, ὡς ἀγαθός,
ἐν αἰωνίοις σκηναῖς καὶ ἡμᾶς
δέξαι μετὰ ἁγίων
μαρτύρων καὶ δικαίων ἁπάντων
εὐπροσδέκτοις πρεσβείαις
τῆς σε τεκούσης, κύριε.

170 ss. Cfr. Luc. 7,37-38   178-180 Cfr. Matth. 25,10   181 Luc. 16,9

6 IUL. CANON X

IN SANCTUM ASTIUM MARTYREM EPISCOPUM DYRRACHII

Synaxarium (*Selecta*) 801$^{39-42}$ (*): Ἀ σ τ ε ί ο υ ἐπισκόπου Δυρραχίου. Οὗτος ἦν ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως καὶ Ἀγρικολάου ἡγεμόνος· ὅστις ⟨ὑπὸ⟩ τῶν πρώτων τῆς πόλεως Νουμερίου, Νεάρχου, Ἀγλαΐδου καὶ Ἀρειανοῦ ἀναγκασθεὶς θῦσαι τοῖς εἰδώλοις καὶ μὴ πεισθεὶς ἐβλήθη εἰς φυλακήν. Πρὸ δὲ τοῦ κατασχεθῆναι, εἶδεν ὄναρ ἑαυτὸν ἐπὶ πέτραν ἑστῶτα καὶ πισσελαίῳ κεχρισμένον, καὶ εἶπε τοῖς ἑαυτοῦ κληρικοῖς· « Δεῖ με, ἀδελφοί, παθεῖν ὑπὲρ τοῦ Χριστοῦ· ἀλλ' ὑμεῖς ἀπέλθατε ἕκαστος ὑμῶν, ὅπου δύναται σωθῆναι ». Ἄγεται μετὰ τοῦτο τῷ Ἀγρικολάῳ καὶ τύπτεται πλουμβάτοις ἤγουν χερσὶ μολυβδίναις καὶ βουνεύροις· καὶ μὴ πεισθεὶς ἀρνήσασθαι τὸν Χριστόν, ἤλειψεν αὐτὸν μέλι καὶ ἐσταύρωσεν ἐπὶ ξύλου καὶ εἴασεν αὐτὸν ἐν τῷ καύματι πρὸ τῆς πόλεως, ὅπως ὑπὸ σφηκῶν καὶ μυῶν κατατρωθεὶς ἀποθάνῃ. Εὐξάμενος δὲ ὁ ἅγιος παρέδωκε τὴν ψυχήν· εἶτα ἀνεῖλον τὸ λείψανον αὐτοῦ οἱ χριστιανοὶ καὶ ἔθαψαν ἐντίμως ἐγείραντες αὐτῷ εὐκτήριον οἶκον.

Paris. gr. 1575	=	Pv, ff. 145^{v}-146
Mess. gr. 136	=	Mf, ff. 204^{v}-209
Paris. gr. 13	=	Q, f. 330^{rv}
Sinait. gr. 624	=	Σμ, ff. 21-22^{v}
Sinait. gr. 630	=	Σδ, ff. 68-69^{v}
Paris. gr. 245	=	Px, pp. 169-172
Vat. gr. 787	=	Vw, ff. 129-130

(*) Etiam in diem V iulii constituit Synaxarium 797-799 memoriam Astii, sic ut cdd. Pv et Q, sed huc, secundum traditionem cd. Mf, in Italia Inferiore perscripti, ad diem VI canonem referimus.

Ὁ κανών (*), οὗ ἡ ἀκροστιχίς·
Τοὺς ἀστίους σου, Ἄστιε, μέλπω πόνους· Ἰωσήφ.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Τὴν θείαν καὶ φωταυγῆ καὶ εὔσημον
καὶ πλήρης χάριτος
τοὺς ἐκτελοῦντας μνήμην ἐπὶ γῆς
οὐρανίου λαμπρότητος,
πάτερ, μετόχους ποίησον,
ἐκδυσωπῶν τὸν ὑπεράγαθον.

* Οἰκῆσαν ἐν τῇ ψυχῇ σου, ὅσιε,
πνεῦμα τὸ ἅγιον,
φωτοειδῆ σε ἥλιον ἐν γῇ,
ἱεράρχα, εἰργάσατο,
φωτιστικαῖς λαμπρότησι
τοὺς εὐσεβεῖς καταφαιδρύναντα.

* Ὑπῆλθες τὸ τῶν μαρτύρων στάδιον
νοὸς εὐθύτητι
καὶ καθελὼν τῆς πλάνης τὰ γλυπτά,
ἐναθλεῖς καρτερώτατα,
ὑπομονὴν ἀσύγκριτον
ἐπιδειξάμενος, πανόλβιε.

(*) Canonem mutilum edidit C. Hannick, *Studien zu den griechischen und slavischen liturgischen Handschriften der Österreichischen Nationalbibliothek*, Wien 1972, 93-97: variae lectiones editionis littera *h* indicantur

tit. ὁ κανὼν οὗ ἡ ἀκροστιχὶς τήνδε (sic) ... Mf nomen Ἰωσήφ om. Pv Mf κανὼν τοῦ ἁγίου μάρτυρος ἀστίου Σμ, qui acrostichidem et nomen auctoris om. ὁ κανὼν φέρων ἀκροστιχίδα ... Px sigla Ἰωσὴφ in margine praebent Σδ Px tantum ὁ κανὼν Vw, qui acrostichidem om. et sigla Ἰωσὴφ in margine offert

heirm. α' EE 94, n. 133, Joannis 1-6 troparium om. *h* 1 καὶ (I l.)] σου Q 2 πλήρης: cfr. Psaltes 160, πλήρη Q 3 ἐπὶ γῆς] τὴν σεπτὴν Σδ 5 μετόχος Q 7 Οἰκῆσα Q ὅσιε] ἅγιε Q Σδ Px 12 καταλαμπρύνοντα *h*, καταφαιδρύνοντα Q Σμ Σδ, minime legitur Px 13-18 troparium om. Px 13 μαρτύρων] μαρτυρίον Mf

* Στρεβλώσεις ὑπενεγκὼν τοῦ σώματος,
στρέβλας διέλυσας
τοῦ ἀρχεκάκου, μάρτυς, Σατανᾶ
καὶ νομίμως ἐνήθλησας,
ὡς στεφηφόρον μάρτυρα,
ὅθεν ἀξίως σε γεραίρομεν.

θεοτ. Ἀσπόρως τὸν πλαστουργὸν τῆς φύσεως,
ἁγνή, συνέλαβες
καὶ ὑπὲρ νοῦν καὶ λόγον ἐπὶ γῆς
ἀπεκύησας, ἄχραντε,
ὃν ἐκτενῶς ἱκέτευε
φωταγωγῆσαι τοὺς ὑμνοῦντάς σε.

ᾠδὴ γ΄. *Εὐφραίνεται ἐπὶ σοὶ*

* Συνόμιλος γεγονὼς
τῶν ἀσωμάτων λειτουργῶν, ἔνδοξε,
τὸν δυσμενῆ δράκοντα
ὅπλοις ἀληθείας διώλεσας.

* Τὰ στίγματα τοῦ Χριστοῦ
ἐν τῇ τιμίᾳ σου σαρκὶ ἔφερες
ὡς εὐπρεπῆ, πάνσοφε,
κόσμον, ἱερῶς θαυμαζόμενος.

* Ἰάσεών σε πηγὴν
ἐπεγνωκότες οἱ πιστοί, Ἄστιε,
ζωοποιὰ νάματα,
πάτερ, ἀπαντλοῦμεν ὑμνοῦντές σε.

19-24 troparium om. Σμ Vw 19 ὑπηνεγκὼν Mf 20 διέλυσας] διέσωσας Q 23 ὡστεφηφόρον Q 25-30 pro hoc θεοτ. substituit *h*: Ἀσπόρως τῷ τοῦ πατρὸς βουλήματι, ed. PaR 280

heirm. γ΄ EE 94, n. 133, Joannis 34 διέλυσας *h* 40 Ἄστειε *h*, qui semper hac forma utitur (cfr. p. 534 notam 5) 41 ζωοποιά τε νάματα Vw

---

35 s. Cfr. Gal. 6,17

θεοτ. * Ὁ κύριος μετὰ σοῦ,
θεοχαρίτωτε ἁγνὴ δέσποινα,
καὶ τὴν ἡμῶν ἔκπτωσιν
σπλάγχνοις οἰκτιρμῶν ἀνεκτήσατο.

ᾠδὴ δ΄. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

* Ὑψωθέντα σε ἐν ξύλῳ, γενναῖε μάρτυς,
καὶ τοῦ δεσπότου ἄχραντον
μιμούμενον πάθος
ἄγγελοι ἐθαύμασαν
καὶ ὕμνησαν ἄνθρωποι,
Ἄστιε, μαρτύρων ἀγλάϊσμα.

* Σταυρωθεὶς ὡς ὁ δεσπότης ἐπὶ τοῦ ξύλου,
αἴθριος ἐκαρτέρησας,
μέλι ἠλειμμένος
καὶ ἐκδαπανώμενος
σφηξὶ τὸ σαρκίον σου,
Ἄστιε θεόφρον πανόλβιε.

* Συντριβόμενος βουνεύροις τὸ σῶμα, μάρτυς,
οὐκ ἐξηρνήσω κύριον
σάρκα εἰληφότα
καὶ βροτὸν γενόμενον,
ἀλλ' ἔψαλλες, Ἄστιε·
« δόξα τῇ δυνάμει σου, κύριε ».

---

44 δέσποινα] γέγονεν *h* Σμ, γέγονε Σδ Px Vw 46 ἀνεκτήσατο] ἀνεκαίνισεν Σδ Px

post odem γ΄ tradunt Q Σδ Px Vw *κάθ*., quod post odem ϛ΄ referimus

heirm. δ΄ EE 94, n. 133, Joannis 48 Ἄχραντε *h* 49 μιμούμενος Σμ Vw 54 αἴθριος] αἰκίας *h* 55 μέλη ἠρημένος *h*, μέλη ἡλωμένος Vw 56 ἐκδαπανούμενος Σμ 57 σφηγξὶ Q, σφιγξὶν Σμ, σφιγξὶ Vw 59 τὸ σῶμα βουνεύροις Q Vw v. 63 ἀλλ' ἔμελπες ὅσιε Σδ v. 64 varie interrumpunt cdd.

---

46 Philipp. 2,1; Col. 3,12

θεοτ. * Ὁ τὸ εἶναι παρεχόμενος πᾶσι μόνος
ἐκ σοῦ γενέσθαι ἄνθρωπος
δι' οἰκονομίαν
ἄφατον εὐδόκησεν,
παρθένε πανύμνητε,
ὅθεν εὐσεβῶς σε δοξάζομεν.

ᾠδὴ ε'. *Σύ, κύριέ μου, φῶς*

* Ὑπῆλθες τολμηρῶς
καὶ ἀνδρείως τὸ στάδιον,
πανεύφημε, τῶν μαρτύρων
καὶ τελέσας τὸν δρόμον,
ἀγγέλοις συνηρίθμησαι.

* Ἀστεῖος τὴν ψυχὴν
καὶ τὸ σῶμα γενόμενος,
ὦ Ἄστιε, σοῦ τῇ κλήσει
ἐναθλήσας, τὴν πρᾶξιν
κατάλληλον κεκλήρωσαι.

* Συντρίψας βδελυκτὰ
τῶν ἑλλήνων σεβάσματα,
ἐνήθλησας ὑπὲρ λόγον
ὑπομείνας βασάνους
καὶ πόνους, παμμακάριστε.

θεοτ. * Τὴν μόνην τὸν θεὸν
ἀπορρήτως κυήσασαν,
πανύμνητον θεοτόκον
ἀληθῶς καὶ κυρίως
εἰδότες μακαρίζομεν.

---

66 ἄνθρωπος] μόνος Σδ

heirm. ε' EE 94, n. 133, Joannis 71 τολμηρὸς Σδ 72 ἀνδρίως *h*, ἀνδρεῖος Vw 76 Ἀστείως Σμ, Ἀστίος Σδ Px, Ἀστῖος Vw 77 γεγέννησαι Σδ, γεγένησαι Px v. 78 ἀστίε σοῦ καὶ τῇ κλήσει Vw 79 πρᾶξιν] κλῆσιν *h* 80 κεκλήρωσαι] ἐπράξατο *h* 90 μακαρίζωμεν *h*, μακαρίσωμεν Σδ Px

---

71 ss. Cfr. II Tim. 4,6-8

ᾠδὴ ς'. *Θύσω σοι
μετὰ φωνῆς αἰνέσεως, κύριε,*

* Ἵστασο
ἀνομούντων ἀνθρώπων ἐπίπροσθεν,
μάρτυς, κρινόμενος οἷα
μιμητὴς ὑπάρχων Χριστοῦ τοῦ ζῶντος,
καὶ τὴν πλάνην,
ἱεράρχα, κατέκρινας, Ἄστιε.

* Ἐν ξύλῳ
τὸν δεσπότην ὑψώθης μιμούμενος,
μέλιτι δὲ κεχρισμένος
καὶ σφηξὶ κεντούμενος ὥρᾳ θέρους,
ἐκαρτέρεις,
τῷ φλογμῷ δαπανώμενος, Ἄστιε.

* Μύρῳ σε
ἱεράρχην ἡ χάρις τοῦ πνεύματος
ἔχρισεν, πάτερ, ποιμαίνειν
ἐν δικαιοσύνῃ λαὸν κυρίου,
καὶ ἀθλήσας
τὸν οὐράνιον κλῆρον ἀπείληφας.

θεοτ. * Ἔλυσας
τὸν φραγμὸν τῆς κατάρας, κυήσασα,
εὐλογημένη Μαρία,
τὸν ταῖς εὐλογίαις νῦν στεφανοῦντα
τοὺς ἀνθρώπους,
τοὺς ἀεί σε πιστῶς μακαρίζοντας.

---

heirm. ς' EE 94, n. 133, Joannis 91 Ἰάσω *h* 94 Χριστοῦ] θεοῦ Σδ 99 κεχριμένος Vw 100 σφιγξὶ Q Vw, σφιγξὶν Σμ 102 δαπανούμενος Σμ Vw 103 Μύρον σε *h* 103-105 Μύρῳ ... ποιμαίνειν] Εὕρω σε / ἱεράρχην τοῦ πνεύματος ἔχρισεν / ἔχων σε πάτερ ποιμένα Vw 110 κατάρας] ἀπάτης Σδ Px 112 τὸν] τοῦ Vw 114 τοὺς πιστῶς σε ἀεὶ *h*

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

f. 146 * ‖ Τελέσας τὸν δρόμον σου
ἐν ἀκλινεῖ λογισμῷ,
ἐχθρὸν ἐθανάτωσας,
θανατωθεὶς ἱερῶς,
πολύαθλε Ἄστιε,
ὅθεν ἡ ἐκκλησία
ὡς λαμπρὸν ἀριστέα
πίστει σε μακαρίζει
καὶ λαμπρῶς ἑορτάζει
τὴν μνήμην σου, μαρτύρων κρηπίς,
ἀνευφημοῦσά σε.

ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*
ἀβραμιαῖοι παῖδες τῇ περσικῇ

* Λελογισμένος
πρὸς τὰς βασάνους ἐχώρησας,
σῶμα
παραδοὺς μαστίζεσθαι ἀφειδῶς,
θεοφόρε μάρτυς Ἄστιε,
« εὐλογημένος εἶ,
ὁ θεός μου », κραυγάζων, « καὶ κύριος ».

Προθεωρῆσαι
οἷα προφήτης ἠξίωσαι
πάθος,
ὅπερ γνώμῃ, πάτερ, καρτερικῇ
διανύειν πόθῳ ἤμελλες,

κάθ. post odem γ' referunt Q Σδ Px Vw, ante canonem Σμ (f. 20) idem κάθ. in hoc volumine ed. p. 75 app. crit. in S. Stephanum dicatum
heirm. καθ. HR 63 7 λαμπρῶς *h* 9 φαιδρῶς Q σεπτῶς Σδ Px 10 ⟨τῶν⟩ μαρτύρων *h* 11 σε, om. in Vw] ἀεὶ Σδ Px
heirm. ζ' EE 94, n. 133, Joannis 116 ἀνεχώρησας *h* vv. 120-121 varie obtruncant cdd. 121 ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε *h* ὁ θεός μου] ἐν τῷ ναῷ Σδ, qui cetera om. 122-128 troparium om. *h* 125 πάτερ om. Mf Q 126 ἔμελλες Pv

« εὐλογημένος εἶ,
ὁ θεός μου », κραυγάζων, « καὶ κύριος ».

* Ὥσπερ ἀμνόν σε
ἐπὶ τοῦ ξύλου ἀναρτήσαντες
πάλαι
τῶν εἰδώλων, πάτερ, οἱ λατρευταί,
πρὸς τὸν κύριον παρέπεμπον
ἔτι τεινόμενον
ἐν τῷ σταυρῷ, ἀοίδιμε Ἄστιε.

θεοτ. * Πεποικιλμένη
ταῖς ἀρεταῖς ὡς βασίλισσα,
ἔστης
δεξιῶν, πανάμωμε, τοῦ θεοῦ,
ὃν δυσώπει ἀλλοιῶσαί με
τῇ δεξιᾷ αὐτοῦ
πρὸς τὴν κακίαν πάντοτε ῥέποντα.

ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Ὅσιος καὶ ἄκακος ποιμὴν
ἐδείχθης, Ἄστιε,
ποιμαίνων ἄριστα
θεοῦ τὸ ποίμνιον πάντοτε
ἐπὶ χλόην θείας γνώσεως,
ἐπὶ τὸ ὕδωρ τῆς ζωῆς
καὶ ἐκβοᾷς ἐν χαρᾷ·
« εὐλογεῖτε,
πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

vv. 127-128 varie obtruncant cdd. 130 τοῦ om. Σμ 132 πάτερ] πάντες Vw vv. 134-135 tantum εὐλογημένος εἶ refert Vw 137 ὡς ⟨ἡ⟩ βασίλισσα *h* vv. 141-142 εὐλογημένη σὺ ἐν γυναιξὶν Vw, qui cetera om. 142 πρὸς] εἰς *h* πάντερέποντα Σμ
heirm. η' EE 94, n. 133, Joannis 143-151 troparium om. *h* 143 καὶ om. Mf 145 ποιμένων ἄριστε Px Vw, ποιμένων etiam Σδ 149 καὶ ... χαρᾷ] νέμων καὶ ψάλλων ἀεὶ Σδ Px vv. 150-151 om. Pv, varie interrumpunt ceteri cdd., sic ut vv. 159-160

136-139 Cfr. Ps. 44,10 143 ss. Cfr. Joh. 10,11 ss. 147 Ps. 22,2 148 Apoc. 21,6; 22,1.17

* Νύκτα ἀθείας φωτισμῷ
τῶν θείων ἄθλων σου,
μάκαρ, ἐμείωσας
καὶ ὥσπερ ἥλιος ἄδυτος
τὰς καρδίας κατεφώτισας
τῶν ἐλπιζόντων εἰς θεὸν
καὶ μελῳδούντων αὐτῷ·
« εὐλογεῖτε,
πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

* Ὅλος ἀνακείμενος θεῷ
ἀπὸ νεότητος,
τούτου κειμήλιον
γέγονας εὔχρηστον, Ἄστιε,
ἐναθλήσας καρτερώτατα
καὶ τῶν μαρτύρων τοῖς χοροῖς
νῦν συνταττόμενος
καὶ κραυγάζων·
« πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

τριαδ. * Ὑμνοῦμεν πατέρα καὶ υἱὸν
καὶ πνεῦμα ἅγιον,
μίαν θεότητα
τῇ φύσει ἄτμητον μένουσαν,
μεριστὴν ταῖς ὑποστάσεσιν,
ἕνα θεὸν δημιουργὸν
καὶ ποιητὴν τοῦ παντός,
ᾧ βοῶμεν·
« πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

θεοτ. * Σάρκα προσελάβετο ἐκ σοῦ
ὁ ἀναλλοίωτος
δι' ἀγαθότητα

161-169 troparium om. Σδ Px 164 εὔχρηστον] εὐχάριστον *h* Ἄστιε] ὅσιε Vw v. 168 ἀνακράζεις Q, εὐλογεῖτε Mf, qui cetera om. 169 post πάντα cetera om. Pv Q Σμ Vw 169, 178, 187 κυρίου, τὸν κύριον] ὑμνεῖτε τὸν κύριον *h* 170-178 τριαδ. om. Mf Vw v. 177 εὐλογεῖτε Pv, qui cetera om. v. 178 varie detruncant cdd. κυρίου] ὑμνεῖτε Σδ 179 ἐξ οὗ Σδ

καὶ τὸν τοῖς πάθεσιν ἄνθρωπον
ὑποκύψαντα ἐθέωσε
θείοις παθήμασιν αὐτοῦ,
θεοχαρίτωτε,
ᾧ βοῶμεν·
« πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

* Ἴσχυσας σθενούμενος, μάκαρ,
τῷ θείῳ κράτει τῆς τριάδος
σοῦ καθυποτάξαι ταῖς πτέρναις
τὸν ἐν κακίᾳ
ἀεὶ καυχώμενον
ἀπατεῶνα δράκοντα,
ὅθεν σε πίστει μακαρίζομεν.

* Ὡς πολυανθῆ σε λειμῶνα
ἐπεγνωκότες, θεοφόρε,
στίγμασιν ὡς ἄνθεσιν ὅλον
θεοῦ δυνάμει
ὡραϊζόμενον,
πνευματικῆς πληρούμεθα
νῦν εὐωδίας εὐφημοῦντές σε.

* Σήμερον λαμπρῶς ἑορτάζει
τοῦ Δυρραχίου, θεοφόρε,
πόλις, τὴν σὴν μνήμην τελοῦσα·
αὐτῆς γὰρ ὤφθης
ποιμὴν πανάριστος

182 καὶ τὸν τοῖς] τῇ φύσει *h* ἄνθρωπον] ἄχραντε Vw 183 ἐθέωσε] ἀνόρθωσε Σδ 187 tantum εὐλογεῖτε Mf, varie cdd. v. interrumpunt heirm. θ' EE 94, n. 133, Joannis 193 ἀπατεῶνος *h* 194 μεγαλύνομεν Vw 195-201 troparium om. Vw 195 Ὡς πολυανθῆ αλειμῶνα Σδ λιμένα *h* 196 ἐπιγινώσκομεν, Θεόπτα *h* 197 ὅλως *h* 199 ὡραϊζόμενος Mf 200-201 πνευματικῇ ... εὐωδίᾳ Q 200 πληρούμεθα] πληρούμενον *h*, λυτρούμεθα Mf 201 εὐωδίαις Pv Px εὐφημοῦντας σε *h* 204 πόλις] πόθω Σδ 206 πανάριστε Vw

καὶ πολιοῦχος, Ἄστιε,
ἣν σῶζε πάντοτε πρεσβείαις σου.

* Ἤρθης πρὸς μονὰς ἀειζώους
καὶ κατεσκήνωσας ὁσίως
νῦν ἐν ταῖς λαμπρότησιν, μάρτυς,
ταῖς τῶν ἁγίων,
χαρᾶς πληρούμενος,
ἀλλ' ἐκτενῶς ἱκέτευε
σωθῆναι πάντας τοὺς τιμῶντάς σε.

θεοτ. * Φεῖσαί μου, Χριστέ, ὅταν ἔλθῃς
κρῖναι τὸν κόσμον μετὰ δόξης,
στῆσον τῶν κακῶν μου τὸν σάλον,
τῆς ἁμαρτίας
παῦσον τὰ κύματα
καὶ παρ' ἐλπίδα σῶσόν με
ταῖς ἱκεσίαις τῆς τεκούσης σε.

---

208 σώζει *h* 211 μάρτυς] μάκαρ Σδ Vw 212 ταῖς] τῆς Σδ 213 πληρούμεθα Px 215 τιμῶντας] ὑμνοῦντας Mf Σδ Px Vw

IN SANCTOS ISAURUM ET PEREGRINUM ET SOCIOS MARTYRES

Synaxarium 804-805: .... ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἰσαύρου καὶ τῶν σὺν αὐτῷ Βασιλείου, Ἰνοκεντίου, Φήλικος, ⟨Ἑρμείου⟩ καὶ Περεγρίνου. Ὁ ἅγιος Ἴσαυρος ὁ τῶν μυστηρίων τοῦ Χριστοῦ διάκονος καὶ οἱ σὺν αὐτῷ γεγέννηνται ἐν Ἀθήναις κατὰ τοὺς καιροὺς Νουμεριανοῦ. Ἀπαναστάντες δὲ τῆς πατρίδος ἦλθον ἐν τῇ Ἀπολλωνιατῶν πόλει· κἀκεῖ δι' ἀποκαλύψεως θείου ἀγγέλου εἰσῆλθον ἔν τινι σπηλαίῳ, ἐν ᾧ κατῴκουν Φῆλιξ καὶ Περεγρῖνος καὶ Ἑρμείας ὄντες χριστιανοί. Οἳ εὐσεβείας λόγοις παρὰ τοῦ ἁγίου Ἰσαύρου τρεφόμενοι, τροφὰς αὐτῷ σωματικὰς ἀντεκόμιζον· εἶτα κατ' ὀλίγον ταῖς τοῦ ἁγίου παραινέσεσι τὰ ὑπάρχοντα αὐτοῖς πτωχοῖς ἐπιδόντες συνῆσαν αὐτῷ. Οἱ δὲ συγγενεῖς αὐτῶν μεταγαγεῖν αὖθις αὐτοὺς εἰς τὰ ἴδια καὶ ἀποστῆσαι τοῦ ἁγίου ἐπιχειρήσαντες καὶ μὴ δυνηθέντες, διέβαλον αὐτοὺς Τριποντίῳ τῷ ἐπάρχῳ· ὃς συλλαβὼν αὐτοὺς καὶ τοῦ Χριστοῦ ἀποστῆσαι μὴ δυνηθείς, ξίφει τὰς κεφαλὰς αὐτῶν τμηθῆναι ἐκέλευσεν. Ἴσαυρος δὲ ὁ τοῦ Χριστοῦ διάκονος καὶ οἱ σὺν αὐτῷ ἀποστέλλονται παρὰ τοῦ ἐπάρχου πρὸς Ἀπολλώνιον τὸν υἱὸν αὐτοῦ· παρ' οὗ πυρὶ καὶ ὕδατι δοκιμασθέντες καὶ ἐν τῷ παραδόξως ἐκ τούτων σωθῆναι πολλοὺς μεταθέντες πρὸς τὴν πίστιν τὴν εἰς Χριστόν, ὧν ἦν Ῥοῦφος καὶ Ῥουφινιανὸς οἱ αὐτάδελφοι, συγκλητικοὶ τῆς πόλεως ὄντες Ἀπολλωνίας, τελευταῖον τὴν ἀπόφασιν δεξάμενοι καὶ ἐπὶ πολὺ προσευξάμενοι, κλίναντες τὰς κεφαλὰς παρέδωκαν τὰς ψυχὰς τῷ Θεῷ.

Ibid. 805-806: .... ἄθλησις τοῦ ἁγίου μάρτυρος Περεγρίνου καὶ τῶν σὺν αὐτῷ Λουκιανοῦ, Πομπηΐου, Ἡσυχίου, Σατορνίνου καὶ Γερμανοῦ. Οὗτοι ὑπῆρχον ἐξ Ἰταλίας· κατὰ δὲ τοὺς καιροὺς Τραϊανοῦ διὰ τὸν ἐπικείμενον κατὰ τῶν χριστιανῶν διωγμὸν ἐμβάντες εἰς πλοῖον, ἦλθον ἐν πόλει τοῦ Δυρραχίου· καὶ ἐν αὐτῇ γενόμενοι εἶδον τὸν ἅγιον Ἀστεῖον ἐπὶ σταυροῦ κρεμάμενον, διάβροχον μέλιτι καὶ ὑπὸ σφηκῶν καὶ μυῶν κεντούμενον. διὰ τὴν εἰς Χριστὸν πίστιν. Μακαρίσαντες οὖν αὐτὸν συνελήφθησαν ὑπὸ τῶν ταξεωτῶν· καὶ χριστιανοὺς ἑαυτοὺς καταγγείλαντες, προστάξει τοῦ ἀνθυπάτου Ἀγρικολάου ἐν τῷ τοῦ Ἀδρία πελάγει ἐρρίφησαν· καὶ οὕτως τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσαντο. Ὧν τὰ λείψανα ἐκβαλοῦσα ἡ θάλασσα ἔκρυψεν ἐν τῇ ἄμμῳ. Ἐτῶν δὲ ἐνενήκοντα παρελθόντων, ἐμφανίζονται τῷ ἀρχιεπισκόπῳ Ἀλεξανδρείας· ὃς καὶ ἀνελόμενος αὐτὰ θάπτει ἐντίμως, ποιήσας ἐπ' αὐτοῖς εὐκτήριον οἶκον.

Crypt. Δ.α. XXIII = Cn, ff. 84^v-86^v

Ὁ κανών.
⟨Ἐν τοῖς θεοτοκίοις⟩· Γεωργίου.

Ἦχος πλ. δ'.

f. 85 ‖ ᾠδὴ α'. *Τὸν Ἰσραὴλ ἐκ δουλείας*

Ὁ νοουμένοις φωστῆρσιν,
τοῖς ἁγίοις μάρτυσιν,
τὴν ἐκκλησίαν, κύριε,
καταλάμπων, φώτισον
ἡμᾶς ταῖς ἱκεσίαις αὐτῶν.

Διακονῶν μυστηρίοις
ἀπορρήτοις, Ἴσαυρε,
σεαυτὸν προσενήνοχας
προσφορὰν εὐπρόσδεκτον
δι' αἵματος Χριστῷ τῷ θεῷ.

Ξένην ὁδὸν Περεγρῖνος
φερωνύμως ἤθλησε
μετὰ τῶν συναθλούντων αὐτῷ
καὶ δι' ἀθλήσεως
πρὸς οὐρανὸν κατέπαυσεν.

θεοτ. Γαλήνης θείας τυχόντες
θεοῦ ἐπιγνώσεως,
δι' αὐτοῦ, θεόνυμφε,
ἀθεΐας κλύδωνα
αἰσίως ἐξεκλίναμεν.

---

tit. nomen auctoris, ex theotociis traditum, cd. in rubrica om.
heirm. α' EE 226, n. 324, Germani 20 ἐξεκλίνατε cd.

---

9 Rom. 15,16

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος*
ὡς ὁ κύριος

Τῷ φέγγει οἱ ἅγιοι
ἐλλαμπόμενοι
τῆς Χριστοῦ ἐπιγνώσεως,
τὸ σκότος ἐφύγετε
τῆς εἰδωλομανίας,
διὸ καὶ ἐδείχθητε
φωστῆρες ἐν τοῖς πέρασιν.

Τοῖς ὄμβροις τῶν λόγων σου
τοὺς συμμάρτυρας
καταρδεύων, ἀοίδιμε,
εἰς ὕψος ἀνέδωκας
εὐσεβείας, Ἴσαυρε,
Χριστῷ τελειότητα
ἀθλήσεως προσάγοντας.

θεοτ. Εἰς ὕψος τῆς γνώσεως
τοῦ τῶν ὅλων θεοῦ
ἀναβάντες τῷ τόκῳ σου,
χαμαίζηλον, ἄχραντε,
κατελίπομεν πλάνην,
καὶ σὲ θεομήτορα
ὑμνοῦμεν καὶ δοξάζομεν.

ᾠδὴ δ'. *Ἐξ ὄρους κατασκίου,*
λόγε, ὁ προφήτης

Ἐν βάθει νοητῷ
τῆς γνώσεως τοῦ κτίστου
ἐγκύψας, τῶν αὐτοῦ
ἐδείχθης μυστηρίων

---

heirm. γ' EE 226, n. 323, Germani
heirm. δ' EE 224, n. 321, Joannis (cfr. p. 86)

μύστης καὶ κῆρυξ, ἀοίδιμε, κατ' ἀξίαν
διακονῶν τούτοις ἐν πνεύματι.

Στῦλοι ἀρραγεῖς
τῆς πίστεως τοῦ κτίστου
ὄντες, ἀθληταί,
ἀσάλευτοι, ἀθέων
f. 85v ταῖς τρικυμίαις ἐμείνατε, ¦ ἀνυμνοῦντες
Χριστὸν τὸν μόνον στερεοῦντα ἡμᾶς.

Πρεσβείαις τῶν ἁγίων,
λόγε, ἀθλοφόρων
μετόχους καὶ ἡμᾶς
τῆς τούτων, ὡς οἰκτίρμων,
δόξης καὶ χάριτος ποίησον ἀνυμνοῦντας
τὴν ὑπὲρ ἔννοιάν σου σάρκωσιν.

θεοτ. Ὤφθης νοητὴ
ἀνθρώποις, θεοτόκε,
κλῖμαξ, ἀπὸ γῆς
ἐπαίρουσα πρὸς ὕψος
τῶν οὐρανῶν τοὺς δοξάζοντάς σε κυρίως
μόνην ἁγνὴν καὶ θεομήτορα.

ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

Ὁ ἐν νυκτὶ τῆς πλάνης
ὑπερφαεῖς ἀναδείξας, Χριστὲ ὁ θεός,
τοὺς ἁγίους μάρτυρας
φωτίζοντας ἡμᾶς ταῖς πρεσβείαις αὐτῶν.

---

47 τούτους cd.
heirm. ε' EE 226, n. 323, Germani

---

48 s. Gal. 2,9; I Tim. 3,15; Apoc. 3,12 62 s. Gen. 28,12

Ὁ ποταμοὺς θαυμάτων
τοὺς ἀθλοφόρους σου δείξας, Χριστὲ ὁ θεός,
ἄρδευσον ἰάμασιν
ὡς νάμασιν ἡμᾶς ταῖς πρεσβείαις αὐτῶν.

Ὁ κραταιὰ ὁπλίσας
τοὺς ἀθλοφόρους, Χριστὲ ὁ θεὸς ἡμῶν,
νοητῶν κατάβαλε
ἐχθρῶν καὶ ὁρωμένων φρυάγματα.

θεοτ. Ῥώμην τὴν σήν, παρθένε,
πανσθενεστάτην ἐν πίστει ζωννύμενοι,
πολεμίων φάλαγγας
τροπούμεθα αἰνοῦντες τὸν τόκον σου.

ᾠδὴ ς'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Στολὴν τὴν ἱερὰν ἀθλητικοῖς
κοσμήσαντες αἵμασιν,
ἀήττητοι μάρτυρες,
τοῦ Χριστοῦ τοῖς μυστηρίοις ὑπουργήσατε.

Τὸν γνόφον διαβὰς τὸν αἰσθητόν,
ἀΰλῳ ὡμίλησας
φωτί, μάρτυς Ἴσαυρε,
καὶ ἀκτῖσι κατελλάμφθης ταῖς τῆς χάριτος.

Βασάνων τρικυμίαις, ἀθληταί,
ὁσίως ἐκκλίναντες,
εἰς θείους ὡρμίσθητε
καταπαύσεως λιμένας ἀϊδίου ζωῆς.

86 θεοτ. ‖ Γαλήνην ἐν πελάγει πειρασμῶν
ἔχοντές σε, δέσποινα,
αἰσίως εἰς εὔδιον
καταπαύομεν λιμένα εὐθυμίας ἀεί.

---

79 πανσθενωτάτην cd.
heirm. ς' EE 224, n. 321, Joannis

82-83 Cfr. Apoc. 7,13-15

ᾠδὴ ζʹ. *Ὁ ἐν ἀρχῇ*
τὴν γῆν θεμελιώσας

Ταῖς ἀστραπαῖς,
ἀθλοφόροι, τῶν λόγων
τὰς τῶν ἐχθρῶν
ἠμαυρώσατε κόρας,
φωστῆρες θεῖοι
διὸ ἀνθρώποις
ἀνεδείχθητε πιστοῖς ὑμνολογοῦσι Χριστόν.

Στῦλος πυρός,
Ἴσαυρε, τοῖς συνάθλοις
ἀναδειχθείς,
σὺν Περεγρίνῳ τούτους
εἰς φῶς τὸ θεῖον
τοῦ μαρτυρίου
ὡδηγήσατε ὑμνοῦντες τὸν τῶν ὅλων θεόν.

Τῇ νοητῇ
βακτηρίᾳ τῶν λόγων
τοὺς ἀπειθεῖς
ἀπεσόβησας θῆρας
ἐκ τῶν συνάθλων,
καὶ ἀλωβήτους
διετήρησας τούτους κυρίῳ, Ἴσαυρε.

θεοτ. Ἰδεῖν τοῦ σοῦ,
θεοτόκε παρθένε,
δόξαν υἱοῦ
τοὺς πιστῶς σε ὑμνοῦντας
καὶ ἀπολαῦσαι
ταύτης δυσώπει·
αὐτὸς γάρ ἐστιν ἡ δόξα τῶν ὑμνούντων σε.

---

heirm. ζʹ EE 226, n. 323, Germani 103 ἀνθρώπους cd. 117 ἀλω-βήτως cd.

---

105 Ex. 13,21 113 Cfr. Ps. 22,4 114-118 Cfr. Iob 5,22-23

ᾠδὴ ηʹ. *Τὸν ἐν ὄρει*
ἁγίῳ δοξασθέντα

Τῶν παρόντων
τῆς σχέσεως ῥαγέντες,
ἀθλοφόροι,
συνήφθητε ταῖς ἄνω
διὰ στερρᾶς ἀθλήσεως κραυγάζοντες·
« κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Τῆς γλυκείας
ἀγάπης γεγευμένοι
τοῦ δεσπότου,
τὰ πικρά, ἀθλοφόροι,
τῆς ἀθεΐας νάμασιν ἐφύγετε,
κύριον ὑμνοῦντες
καὶ ὑπερυψοῦντες
αὐτὸν εἰς τοὺς αἰῶνας.

θεοτ. Ὁ φθαρεῖσαν
τὴν φύσιν τῶν ἀνθρώπων
νεουργήσας
διὰ σοῦ, θεοτόκε,
ἡμᾶς ἀεὶ καινίζει ταῖς πρεσβείαις σου,
τοῦτον ἀνυμνοῦντας
καὶ δοξολογοῦντας
εἰς πάντας τοὺς αἰῶνας.

---

heirm. ηʹ EE 226, n. 323, Germani vv. 132-133 om. cd. 139-141 post κύριον ὑμ⟨νεῖτε⟩ cetera om. cd. 142 Ὁ] Ὡς cd., sed sensus et acrostichis in theotociis Ὁ repetunt 149 τοὺς αἰῶνας om. cd.

ᾠδὴ θ'. *Μεγαλύνομέν σε*

Μυστικοῦ κρατῆρος
τοῦ κυρίου ὡς γευσάμενος, Ἴσαυρε,
τὸ τούτου ποτήριον
τοῦ πάθους ἐξέπιες.

Νοητὸν πρὸς ὕψος
τὸ τῆς γνώσεως Χριστοῦ ἀναβάντες, σοφοί,
τὴν ὄντως χαμαίζηλον
πλάνην κατελίπατε.

f. 86v | Ταῖς πρεσβείαις, λόγε,
τῶν ἁγίων ἀθλοφόρων καταύγασον
καὶ ἡμᾶς δοξάζοντας
φῶς σε τὸ ἀπρόσιτον.

θεοτ. Ὑπερβλύζει ἀεὶ
ὁ κρατὴρ τῶν σῶν θαυμάτων, πανάχραντε,
καὶ ἀρδεύει ἅπαντας
τοὺς σὲ μεγαλύνοντας.

---

heirm. θ' EE 226, n. 323, Germani

150-151 Ps. 115,4-6 152-153 Matth. 26,39; Marc. 14,36; Luc. 22,42; Joh. 18,11

IN SANCTUM ERASMUM EPISCOPUM MARTYREM FORMIIS (*)

Meteor. Metamorph. 150 = Φ, ff. 131-132v
Sinait. gr. 627 = Σο, ff. 18v-20v
Matrit. gr. 4694 = A, ff. 85-87
Sinait. gr. 624 = Σμ, ff. 10v-12

Ὁ κανών.

⟨Ἐν τοῖς θεοτοκίοις⟩· Γεωργίου.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Ἀκτῖσι θείαις ταῖς τῶν θαυμάτων
φωταγωγοῦσα τοὺς πιστούς,
τοῦ ἱερομάρτυρος ἡ μνήμη ἐφέστηκεν,
ὡς ἔαρ πνευματικὸν
τὰς δωρεὰς ἐφαπλοῦσα τοῦ κυρίου.

Ἐπὶ τὸ ὄρος τῆς ἀπαθείας
ἀναδραμὼν ταῖς ἀρεταῖς

(*) Die VII iulii Erasmum celebrant Φ Σο A, die III eiusdem mensis Σμ; Synaxarium 726 autem in diem II mensis iunii memoriam martyris constituit.

tit. nomen auctoris, quod in margine refert Φ et ceteri cdd. om., ex theotociis, ode β' praetermissa, sic deducitur: Γ. ωργίουυ alternatis odis duos canones praebet Σμ: priorem in SS. Marcum et Mocianum, in hoc volumine ed. pp. 50 ss., alterum quem hic damus

heirm. α' EE 229, n. 328, Germani 1 post Ἀκτῖσι add. Φ ταῖς 6-10 troparium om. Σμ 7 τῶν ἀρετῶν A

6-10 *Μαρτύριον τοῦ ἁγίου ἱερομάρτυρος Ἐράσμου μαρτυρήσαντος ἐν πόλει*

6-10 Cfr. Ex. 19,16-25

καὶ τῷ θείῳ γνόφῳ καλυφθείς, μάρτυς Ἔρασμε,
γνῶσιν τὴν τοῦ θεοῦ
καὶ τῶν θαυμάτων τὴν χάριν ὑπεδέξω.

Τοῖς τῶν αἱμάτων σου ῥείθροις, μάρτυς,
τὸν πολεμήτορα ἐχθρὸν
ἔπνιξας καὶ τούτου τὰς δυνάμεις κατέκλυσας,
τὴν ποίμνην σου κυβερνῶν
εἰς μαρτυρίου λιμένα θεοσόφως.

---

8 καλυφθεὶς] ἐλλαμφθεὶς A 11 μάρτυς ῥείθροις A 15 λιμένας θεοφόρε Σο

Φορμίας, e cd. Vat. gr. 866, f. 321, II col.: Ἐν Ἀντιοχείᾳ τῇ πόλει ἐγένετο διωγμὸς τῶν χριστιανῶν ὑπὸ Διοκλητιανοῦ τοῦ βασιλέως, ὡς εἴ τις μὴ βουληθείη θῦσαι τοῖς θεοῖς κακηγκάκως ἀναιρεθείη. τοῦτο ἀκηκοὼς ὁ μακάριος Ἔρασμος τὴν ἔρημον ἐπεσπάσατο καὶ ᾤκησεν ἐκεῖ ἔτη ἑπτά, ἔνθα πολλὰ θαύματα ἐποίησεν εἰς τὸ ὄρος τὸ ἐπονομαζόμενον Λιβάνων, νυκτὸς καὶ ἡμέρας τὸν κύριον ἐκδυσωπῶν, ᾧτινι ὁσημέραι τροφὴ ἐκ τοῦ οὐρανοῦ διὰ κόρακος ἤρχετο. πολλὰ οὖν θαυμάσια δι᾽ αὐτοῦ ὁ κύριος ἔδειξεν, ὥστε καὶ τοὺς ἀγγέλους μετ᾽ αὐτοῦ ὁμιλεῖν. πλεῖστα δὲ καὶ διάφορα θηρία ἤρχοντο ἐν τῷ κελλίῳ αὐτοῦ καὶ προσκυνοῦντες αὐτῷ ὑπεστρώννυον ἑαυτὰ τοῖς ἴχνεσιν αὐτοῦ. ἐγένετο δὲ φωνὴ ἐκ τοῦ οὐρανοῦ λέγουσα πρὸς αὐτόν · « Ἔρασμε, κατάβηθι ἔνθεν καὶ ἄπελθε εἰς τὴν ἰδίαν σου πατρίδα ». ὡς δὲ κατῆλθεν, πολλοὶ καταχυριευόμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων ὑπήντων αὐτῷ. ὁ δὲ ἅγιος Ἔρασμος ἀπετίθει αὐτοῖς τὰς χεῖρας ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ. φυγαδευομένων δὲ τῶν δαιμόνων, παραχρῆμα ὑγιεῖς ἐγένοντο. πολλοὺς οὖν καὶ διὰ τοῦ ἁγίου βαπτίσματος πρὸς κύριον ἐπανήγαγεν ... [Cfr. *Acta* latina 1, AA.SS. Iunii I (1695), 213].

14-15 *Ibid.*, f. 323, II col.: Ὁ δὲ ἅγιος Ἔρασμος εἶπεν · « ἰδοὺ ποίας δυνάμεις ποιεῖ ὁ θεὸς τοῖς πιστεύουσιν εἰς || (f. 323v, I col.) αὐτόν ». ἐν οἷς ἐβαπτίσθησαν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὡς τριάκοντα χιλιάδες ἀνδρῶν ... ἐθορυβεῖτο δὲ ἡ πόλις Ὁρμιτανῶν (Sirmitana lat.) καὶ φοβηθεὶς τότε ὁ βασιλεὺς τοῖς ἐνόπλοις ἐκέλευσεν ἵνα πάντας τοὺς ἐπὶ τὸν κύριον ἐπιστρέψαντας μαχαίρᾳ ἀποκτεῖναι. καὶ οὕτως ἐτελειώθησαν ἐν τῷ τοῦ μαρτυρίου ἀγῶνι χιλιάδες τὸν ἀριθμὸν τριάκοντα ἀνθρώπων, παρατιθέμενοι ἑαυτοὺς ταῖς εὐχαῖς τοῦ μάρτυρος, οἷς ἔφησεν ὁ ἅγιος μάρτυς · « ἀπέλθατε ἐν ὀνόματι κυρίου αἰσίως ἐν τῇ πόλει τῇ ἁγίᾳ, ἣν ὑμῖν ἡτοίμασεν ὁ κύριος, ἐν ᾗ κἀγὼ μετὰ τὸν ἀγῶνά μου ἐλεύσομαι πρὸς ὑμᾶς ». ἦσαν δὲ ἄγγελοι προτρέχοντες ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὑποδεχόμενοι τὰς ψυχὰς τῶν ἁγίων καὶ δορυφοροῦντες αὐτὰς ἕως τοῦ οὐρανοῦ. ἠκούσθη δὲ φωνὴ ἐν τῷ οὐρανῷ ψαλλόντων καὶ λεγόντων · « ἡ ὁδὸς τῶν δικαίων εὐθεῖα ἐγένετο (Act. 13,10) ». ἅπερ θεωρήσας ὁ ἅγιος Ἔρασμος, χαίρων ὡς ποιμὴν καλὸς ἐπὶ τῇ ποίμνῃ αὐτοῦ, οὕτως παρέδωκεν πάντας τῷ κυρίῳ. [Cfr. *Acta* 10, l.c., 213].

---

11 ss. Cfr. Ex. 14,23-28

θεοτ. Γνώσεως θείας, θεοκυῆτορ,
ἀξιωθέντες διὰ σοῦ,
τὸν δημιουργὸν καὶ λυτρωτὴν ἐπεγνώκαμεν,
διό σε ὡς θησαυρὸν
καὶ χορηγὸν τῆς σοφίας ἀνυμνοῦμεν.

ᾠδὴ γ΄. *Οὐκ ἔστιν ἅγιος*
ὡς ὁ κύριος

Τῇ ῥάβδῳ τῆς πίστεως,
ἱερομάρτυς τοῦ Χριστοῦ,
τῶν εἰδώλων συνέτριψας
βωμοὺς καὶ σεβάσματα
καὶ τὴν εἰκόνα τῆς πλάνης
εἰς χοῦν ἀπελέπτυνας
δυνάμει τοῦ θεοῦ ἡμῶν.

---

heirm. γ΄ EE 226, n. 323, Germani

21-27 *Ibid.*, f. 323, I-II col.: Ὁ βασιλεὺς εἶπεν · « συμπάθησον τῇ ψυχῇ σου καὶ συναίνεσον καὶ θῦσον τοῖς θεοῖς μου ». ὁ ἅγιος Ἔρασμος εἶπεν · « ποίοις θεοῖς κελεύεις με προσκυνῆσαι; ». ὁ βασιλεὺς εἶπεν · « ἐὰν εἴπω, συναινεῖς μοι; ». ὁ ἅγιος Ἔρασμος εἶπεν · « ἐὰν ἴδωμαι, ὡς εἰκὼς ποιήσομαι ». τότε ὁ βασιλεὺς χαρᾶς πλησθεὶς μετὰ παντὸς τοῦ λαοῦ εἰς τὸν ναὸν τοῦ Ἡρακλέος ἐκέλευσεν τὸν δοῦλον τοῦ θεοῦ ἀπενεχθῆναι εἰς τὴν πόλιν Σουρμιτάναν καὶ ἐκέλευσεν ὄργανα καὶ πάντα τὰ μέλη τῆς θεμέλης (?) εἰς τὸν ναὸν ἑτοιμασθῆναι · καὶ ταῦτα ἰδὼν ὁ ἅγιος Ἔρασμος ἀνεστέναξεν ἐν τῇ καρδίᾳ αὐτοῦ καὶ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἰς τὸν οὐρανὸν ἀτενίσας ἔφη · « κύριε Ἰησοῦ Χριστέ, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ἐπάκουσόν μου ἐν τῇ ὥρᾳ ταύτῃ καὶ κατάπεμψον τὸν ἅγιον ἄγγελόν σου, ἵνα βοηθήσῃ μοι καὶ στηρίξῃ με ἐν τούτῳ τῷ πολέμῳ τοῦ διαβόλου, ὃν ἡτοίμασέν μοι ». καὶ μετὰ τὸ εἰσελθεῖν αὐτὸν ἐν τῷ ναῷ, εἶπεν ὁ ἅγιος τῷ βασιλεῖ · « ποῦ ἐστιν ὁ θεός, ᾧ κελεύεις με προσκυνῆσαι; ». ὁ δὲ βασιλεύς, κρατήσας αὐτὸν τῆς χειρός, εἰσῆλθεν σὺν αὐτῷ εἰς τὸν ναὸν καὶ ἀπέδειξεν αὐτῷ ζῷδον χαλκοῦν μέγα ὡσεὶ πηχῶν δώδεκα καὶ εἶπεν · « ἰδοὺ ὁ θεός μου, ᾧ ἐγὼ δουλεύω ». καὶ ἀτενίσαντος τοῦ μάρτυρος εἰς αὐτόν, παραχρῆμα ἔπεσεν καὶ ἐλεπτύνθη ὡς κόνις καὶ ἐξῆλθεν ἐξ αὐτοῦ δράκων καὶ ἐφόνευσεν τὸ τρίτον τοῦ λαοῦ ... [Cfr. *Acta* 8-9, l.c., 215].

---

21 ss. Cfr. Ex. 32,20

Ἀνάψας, ἀοίδιμε,
τὸν τοῦ πνεύματος πυρσόν,
ἐν μετεώρῳ τῷ σκάμματι
ἑστὼς τῆς ἀθλήσεως,
τοὺς ἐν νυκτὶ τῆς ἀπάτης
ὑπάρχοντας, Ἔρασμε,
ὡδήγησας πρὸς φῶς τοῦ Χριστοῦ.

f. 131v || Ἱδρῶσιν ἐκέρασας
τῆς ἀσκήσεως, σοφέ,
τῶν αἱμάτων τὴν πρόσχυσιν
καὶ μίαν ἐτέλεσας
ἁγιασμοῦ κολυμβήθραν,
ἐξ ἧς ἀρυόμεθα
τὰ νάματα τῆς χάριτος.

θεοτ. Ὡς ἥλιος λάμπουσα,
θεοτόκε, τοῖς πιστοῖς
ἡ πολύφωτος χάρις σου,
τὴν νύκτα τῶν θλίψεων
εἰς φωτισμὸν εὐφροσύνης
καὶ θείας ἐλλάμψεως
χαρὰν μεταποιεῖ ἐμφανῶς.

Κάθισμα.

Ἦχος γ΄. *Τὴν ὡραιότητα*

Τὴν γενναιότητα
τῆς καρτερίας σου
καὶ τὸ ἀήττητον
τὸ τῆς ἀνδρείας σου

35-41 troparium om. A Σμ 39 κολυμβίθρας Σο 45 νύκταν A Σμ
κάθ. ante canonem referunt Σο (f. 18) et Σμ (f. 10)
heirm. καθ. HR 243 1-2 Τῆς καρτερίας σου τὴν γενναιότητα Σο
4 ἀνδρείαν Σο

39 Cfr. Joh. 5,2 ss.

αἱ τῶν ἀγγέλων στρατιαὶ
ἐθαύμασαν, ἀθλοφόρε·
πῦρ γὰρ οὐκ ἐνάρκησας,
οὐδὲ θῆρας κατέπτηξας,
ξίφη τε καὶ θάνατον
οὐδαμῶς ἐδειλίασας,
διό, ἱερομάρτυς, ἀξίως
τὸ στέφος τῆς νίκης ἀπείληφας.

ᾠδὴ δ΄. *Εἰσακήκοα τὴν ἀκοὴν τῆς δυναστείας σου*

Ἐράσμιος, ἀθλητά,
ἀνεδείχθης κυρίῳ,
φερωνύμως
ὑπ᾽ αὐτοῦ ἀγαπηθεὶς καὶ κληθείς.

Διέρρηξας τῆς πικρᾶς
ἀσεβείας, θεόφρον,
τὴν ἀπάτην
καὶ τὴν ποίμνην σου διέσωσας.

Ἐπάταξας κραταιῶς
τοῦ ἐχθροῦ τὰς δυνάμεις,
διακόψας
τῶν τυράννων τὰ φρονήματα.

Ἡ μνήμη σου μυστικὴ
πανδαισία ὑπάρχει,
εὐωχοῦσα
τοὺς πιστούς, Ἔρασμε, θείαν τρυφήν.

9 ξίφει Σο A Σμ 12 ἀπείληφας] ἀπέλαβες Σμ
heirm. δ΄ EE 227, n. 326, Andreae heirm. 1 Εἰσακήκοα κύριε Φ Σο
50 κυρίῳ] τῷ κόσμῳ A 57-60 troparium om. Σμ 61-64 troparium om. A

61 ss. Cfr. Prov. 9,1; Matth. 22,1-14; Luc. 14,16-24

θεοτ. Ῥητορεύομεν οἱ πιστοί,
θεοτόκε παρθένε,
τὰ μεγαλεῖα
καὶ τὴν χάριν σου γεραίρομεν.

ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

Τὸν φωτισμὸν τοῦ κτίστου
ἐν τῇ καρδίᾳ δεξάμενος, Ἔρασμε,
ἔλαμψας ταῖς ἀκτῖσι
τῆς ὑπομονῆς καὶ ἀθλήσεως.

Τὴν ἱερὰν στολήν σου
τοῖς τῶν αἱμάτων ποικίλας ῥαντίσμασιν,
ἔδειξας λαμπροτέραν,
μάρτυς, κεχρωσμένην τῇ χάριτι.

f. 132 || Ἐν τῇ φαιδρᾷ σου μνήμῃ
ὡς ἐν λειμῶνι ποικίλῳ συντρέχοντες,
Ἔρασμε ἀθλοφόρε,
ἄνθη τῶν θαυμάτων δρεπόμεθα.

θεοτ. Γῆ τῆς ἀρᾶς τῆς πρώην
ἀπαλλαγεῖσα, παρθένε, τῷ τόκῳ σου,
νεουργεῖσθαι ἐλπίζει
τῇ ἐλευθερίᾳ τῶν τέκνων θεοῦ.

ᾠδὴ ϛ'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Τὸν κλύδωνα αἰσίως, ἀθλητά,
τῆς πλάνης διέδραμες,
τὸ πνεῦμα τὸ ἅγιον
κυβερνήτην ἀπλανῆ προστησάμενος.

---

heirm. ε' EE 226, n. 323, Germani 73-76 troparium om. A Σμ 78 ποικίλως Φ συντρέχοντες] συνέχονται A 82 ἀπαλλαγήσας Σμ
heirm. ϛ' EE 224, n. 321, Joannis 85 αἰσίως] αἰώνος Σο 88 πρόστησάμενον Σο, πρὸς ἰσάμενον A

---

73 ss. Cfr. Apoc. 7,13-15

Τὸ αἷμά σου σταγόνες τοῖς πιστοῖς
ἐδείχθησαν, Ἔρασμε,
ποτίζουσαι ἴαμα
καὶ τῆς πλάνης ἀποσμήχουσαι τὸ μίασμα.

Τῷ χύτει τῶν θαυμάτων σου, σοφέ,
τῆς πλάνης τὰ ἅρματα
ἐβύθισας, Ἔρασμε,
καὶ διήγαγες θεῷ κληροδοσίαν πιστῶν.

θεοτ. Ἰδοὺ ἡ παρρησία τῶν πιστῶν,
ἰδοὺ ἡ ἀντίληψις,
ἰδοὺ ἡ βοήθεια,
σὺ ὑπάρχεις ἡ ἡμῶν, θεοτόκε, χαρά.

ᾠδὴ ζ'. *Ὁ ἐν ἀρχῇ τὴν γῆν θεμελιώσας*

Ὁ μυστικὴν
εὐφροσύνην τῷ κόσμῳ
τοῦ ἀθλητοῦ
ἀναδείξας τὴν μνήμην,
εὐλογητὸς εἶ
εἰς τοὺς αἰῶνας,
κύριε ὁ θεὸς
τῶν πατέρων ἡμῶν.

Ἐν τῷ πυρὶ
τῶν βασάνων, θεόφρον,
τὸ καθαρὸν

---

91 ἰάματα Σμ 92 τὸ om. A 93-96 troparium om. Σμ 93 Τῷ κήτει A 100 σὺ εἶ ὑπάρχεις Σο ἡ om. A Σμ χαρὰ] ἁγνὴ A Σμ
heirm. ζ' EE 226, n. 323, Germani 101-108 troparium om. A 105 εἶ om. Σμ vv. 107-108 om. Φ Σο v. 108 om. Σμ

94-95 Cfr. Ex. 14,23-28

ὡλοκαύτωσας σῶμα
καὶ εὐωδία
θεοῦ ἐδείχθης
τῇ ὀσμῇ τῇ μυστικῇ
τοῦ μαρτυρίου σου.

Τῇ νοητῇ
τοῦ πνεύματος μαχαίρᾳ
καθοπλισθείς,
ἱεράρχα, ἀνδρείως
ὑπερηφάνων
τῶν πολεμούντων
διέκοψας κεφαλάς,
Ἔρασμε ἔνδοξε.

Ὑπὲρ ἡμῶν
τῶν πόθῳ ἐκτελούντων
τὴν μνήμην σου
ἱκέτευε ἀπαύστως,
ἱερομάρτυς,
ἵνα τῆς θείας
καὶ μακαρίας ζωῆς
ἀξιωθείημεν.

θεοτ. Ὁ τὴν χαρὰν
τὸ γένος τῶν ἀνθρώπων
διὰ τῆς σῆς
μητρὸς καταπλουτίσας,
εὐλογητὸς εἶ
εἰς τοὺς αἰῶνας,
κύριε ὁ θεὸς
τῶν πατέρων ἡμῶν.

---

112 ὀκαύτωσας Σο   vv. 113-116 εὐλογητὸς εἶ / εἰς τοὺς αἰῶνας / κύριε ὁ θεὸς τῶν ... A   114 θεῶ Σμ   117-124 troparium om. Σο Σμ   121 ὑπερήφανον Φ   125-132 troparium om. Σμ   128 ss. καθικέτευε μάκαρ / ἵνα βοῶμεν / εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας ... A   134 τῶ γένει Σο, τοῦ γένους A   136 καταπλουτήσας Σο A   137 εἶ om. Φ   137 ss. post εὐλογητὸς cetera om. Σο Σμ   vv. 138-140 om. A.

---

113 ss. Cfr. II Cor. 2,15-16   117 ss. Cfr. Ps. 151,7

ᾠδὴ η'. *Τὸν ἐν ὄρει*
ἁγίῳ δοξασθέντα

Ταῖς βολίσι
τῶν λόγων σου, θεόφρον,
τῶν τυράννων
κατέτρωσας τὰς φρένας
καὶ νικηφόρος ὤφθης τῇ τοῦ πνεύματος,
Ἔρασμε, σοφίᾳ
καὶ ἀπταίστῳ γνώμῃ
στερρῶς ὠχυρωμένος.

Πρὸς τὸ ὕψος
τῆς ἄνω βασιλείας
ταῖς βασάνοις
ὡς κλίμακι ἐχρήσω
καὶ ἀναβάσεις θείας ἐνστησάμενος,
τῇ ὑπομονῇ σου
ἔφθασας, σοφέ,
οὐρανῶν κατασκηνώσεις.

Ὡς χρυσίον
δόκιμον ἀνεδείχθης,

---

heirm. η' EE 226, n. 323, Germani   145 ὤφθη Σο   146 σοφίας A   vv. 147-148 ὅθεν σε ὑμνοῦμεν / εἰς πάντας ... A   147 γνώμη] γνώσει Σμ   vv. 151-152 τῆς ἀπάτης / κατέαξας τὸ κράτος A   152 ἐχρίσω Σο Σμ   153 ἐστησάμενος Σο   vv. 155-156 ὃν ὑπερυψοῦμεν εἰς πάντας ... A   157-164 troparium om. Σμ

157-164 *Ibid.*, f. 323v, I col.: Τότε Μαξιμιανὸς ὁ βασιλεὺς θυμοῦ πλησθεὶς ἐκέλευσεν τὸν ἅγιον Ἔρασμον κατασχεῖν καὶ διαφόροις βασάνοις τιμωρηθῆναι, καὶ ἐκέλευσεν τοῖς ὑπηρέταις αὐτοῦ ὥστε γενέσθαι στιχάριον χαλκοῦν κατὰ τὴν ἡλικίαν τοῦ μάρτυρος καὶ πυρωθέντα αὐτὸ (cfr. MITSAKIS, 159) σφοδρῶς ἐνδῦσαι τὸν μάρτυρα, λέγων· « ἴδωμεν νῦν εἰ ὁ θεός σου ἐξελεῖται σε ἐκ τῶν χειρῶν μου ». ὁ δὲ ἅγιος Ἔρασμος ἀποκριθεὶς εἶπεν αὐτῷ· « σαρκοβόρε καὶ πλήρης ἀνομίας υἱὲ διαβόλου, τὴν ἀναίδειάν σου ἐπαινῶ τὴν χείρονα κυνός. ὡς γὰρ εἶπόν σοι καὶ νῦν λέγω, οὐ φοβοῦμαι τὰς ἀπειλάς σου· εἰ καὶ πλείω τούτων ποιήσεις οὐ σκάλλει ἡ καρδία μου (Ps. 76,7) ». καὶ κατασφρα-

---

157 ss. Cfr. Prov. 17,3; 27,21; Sir. 2,5

ὁμιλήσας
πυρὶ τοῦ μαρτυρίου
καὶ καθαρὸν ἐξέλαμψας τῆς πίστεως,
Ἔρασμε, τὸ κάλλος,
τὸν δημιουργὸν
ἀνυμνῶν εἰς τοὺς αἰῶνας.

f. 132v θεοτ. ‖ Ὑπερέχει
τὸ θαῦμά σου, παρθένε,
πάντα λόγον
καὶ νόησιν ἀγγέλων
καὶ ὑπὲρ πάντα πλοῦτον τὰ τῆς χάριτος
βρύουσί σου ῥεῖθρα,
ἃ τοῖς σὲ ποθοῦσιν
ἀεὶ ἐποχετεύεις.

ᾠδὴ θ'. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

Τὸ τοῦ μαρτυρίου, σοφέ, περίδοξον κάλλος
ὡς διάδημα φέρουσα,
ἡ σεπτὴ ἐκκλησία

---

162 τοῦ κάλλους Σο vv. 163-164 ὃν ὑπερυψοῦμεν εἰς πάντας ... A 169 τὰ] τὸν A 170 σου] τὰ A vv. 171-172 ὅθεν σε ὑμνοῦμεν... A 171 ἃ] αἱ Σο 172 ἀποχετεύεις Φ
heirm. θ' EE 226, n. 324, Germani 173 κάλλος] κλέος A 174 ὡς διμα Φ 175 σεπτὴ] χριστοῦ A

γισάμενος ἑαυτὸν καὶ τὸ ἱμάτιον τῷ τύπῳ τοῦ σταυροῦ, ἐνεδύσατο ψάλλων τὸ ῥηθὲν διὰ τοῦ Δαυῒδ τὸ « διήλθομεν διὰ πυρὸς καὶ ὕδατος καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχὴν (Ps. 65,12) », καὶ πάλιν· « ὡς ἐν καμίνῳ ἐδοκίμασας ἡμᾶς πάντας τοὺς πιστεύοντας ἐπὶ σοὶ (Cfr. *ibid.*, 10), καὶ ὥσπερ ὁλοκαυτώματος προσφορὰν ὑποδεξάμενος ἔχαιρεν (Cfr. *ibid.*, 13-15). παραχρῆμα δὲ τὸ πεπυρακτω|μένον (II col.) ἱμάτιον ἐγένετο ψυχρὸν ὡς χιών, ὥστε μήτε ὅλως εὑρεθῆναι βλάβην ἐν τῷ σώματι αὐτοῦ. τότε ὁ ἅγιος Ἔρασμος εἶπεν· « ἰδού, βασιλεῦ, κατῃσχύνθης μετὰ τοῦ πατρός σου τοῦ διαβόλου, ἐπεὶ ὁ ἐμὸς κύριος ἐρρύσατό με ... ». [Cfr. *Acta* 11, l.c., 216].

173-174 Cfr. Sap. 5,16

ὡραΐζεται καὶ φαιδρύνεται τούτῳ
καὶ τοῖς σοῖς λαμπρύνεται παλαίσμασιν.

Σὺ τὴν προσφοράν, ἔνδοξε, ὀρθῶς διερείσας
τὴν τοῦ σώματος, Ἔρασμε,
ἀνήνεγκας ἀξίως
εἰς τὸ ἄνω θυσιαστήριον ταύτην,
ἣν ὁ βασιλεὺς Χριστὸς ἐπένευσεν.

Ἐν τῇ εὐωδίᾳ, μάρτυς, καὶ τῇ μυρωδίᾳ
τῶν θαυμάτων σου, Ἔρασμε,
κατέθελξας τὸν πόθῳ
εὐφημοῦντα τὴν σὴν ἀνδρείαν καὶ τοῦτον
τῇ τοῦ μαρτυρίου ἐφελκύσω ὀσμῇ.

Σοῦ τοῦ ἀμηχάνου κάλλους τοῦ κτίστου, θεόφρον,
ἐντρυφῶν ἀεὶ μυστικῶς
καθαρώτατον ἤδη,
ὑπὲρ πάντων τῶν ἐκτελούντων τὴν θείαν
καὶ σεπτήν σου μνήμην καθικέτευε.

θεοτ. Ὑπὸ σοῦ, παρθένε ἁγνή, φρουρούμενοι πάντες
οἱ πιστῶς τὴν σὴν ἔχοντες
ἀπροσμάχητον ὄντως
δυναστείαν καὶ κραταιὰν προστασίαν,
τῶν ἐχθρῶν τὰ θράση συμπατοῦμεν ἀεί.

---

176 τουτο Σμ v. 177 ὅθεν σε ἀξίως μεγαλύνωμεν A λαμπρύνεται] φαιδρύνεται Σο 178 Σοὶ Φ πορφύραν Φ, πορφυρὰν Σο διαιρήσας Φ Σο A, διερήσας Σμ 181 ἄνω om. Φ ταύτην] τοῦτο Σο 182 ἣν] ἧς A Σμ ἐπένεσεν Σμ, ἐκέλευσεν A 183-187 troparium om. A Σμ 185 πόθον Σο 187 ὁρμῇ postea correctum in ὀσμῇ Σο 188-192 troparium om. Σμ 188 Σοῦ τοῦ ἀμηχάνου κτίστου τὸ κάλλος A τοῦ (I l.)] τὸ Φ 190 καθαρωτάτων Σο, καθαρώτερον A v. 192 μνήμην σου ἀξίως μεγα<λύνομεν> A 193 φρουρούμεθα A 196 κραταιὰν] καθαρὰν A

178-179 Hebr. 10,10

7 IUL. *CANON* XIII

IN SANCTOS MARTYRES ASCLEPIADEM ET DIOMEDEM

Mess. gr. 136 = Mf. ff. 209v-213v

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Τῷ ὁδηγήσαντι πάλαι*

f. 210 || Ἐν συμφωνίᾳ ᾀσμάτων
τοὺς ἀθλητὰς σήμερον
τῆς ἀληθείας, οἱ πιστοί,
μετ' εὐφροσύνης τιμήσωμεν
καὶ ἐκτενῶς ἀνακράξωμεν·
« κύριε,
ταῖς παρακλήσεσιν αὐτῶν
πάντας οἰκτείρησον ».

Ἰατρικὴν ἐπιστήμην,
μάρτυς Χριστοῦ ἔνδοξε
Ἀσκληπιάδη, κατορθῶν,
Θύρσον ἰδὼν τὸν ἀήττητον
ἀγωνιζόμενον ἄριστα,
ἔσπευσας
τούτου γενέσθαι ζηλωτὴς
καλαῖς αἰτήσεσιν.

θεοτ. Οὐ κατεφλέχθης τεκοῦσα
τὸ πῦρ, ἁγνὴ δέσποινα,

---

heirm. α' EE 106, n. 149, Andreae

τὸ τῆς θεότητος σαρκί·
βάτον γὰρ πρίν σε εἰκόνιζεν
ἐν τῷ Σιναίῳ καὶ κάμινος
φέρουσα
ἀκαταφλέκτους ἐν αὐτῇ
τοὺς ἐκβληθέντας πιστούς.

f. 210v || ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

Ἐν τῷ καιρῷ, παμμάκαρ, τῶν ἀγώνων
ἐχώρησας πρὸς βάσανα,
καταφυγὴν ἔχων κραταιὰν
τὸν δεσπότην τῶν ἁπάντων,
ὃν ἐκτενῶς ἱκέτευε
τοῦ σῶσαι τὴν ποίμνην σου.

Ὁ ἱερὸς παμμάκαρ Διομήδης,
σὺν σοὶ ἀγωνιζόμενος
καὶ ὑπομένων καρτερικῶς
τῶν μαστίγων τὰς νιφάδας,
ὑπομονῆς ἐδέξατο
ἐξ ὕψους τὸν στέφανον.

θεοτ. Ἀνερμηνεύτως τέτοκας τὸν λόγον,
παρθένος διαμείνασα
μετὰ τὴν κύησιν τὴν φρικτήν,
παναμώμητε παρθένε,
τῶν ἀθλοφόρων καύχημα,
διό σε δοξάζομεν.

---

heirm. γ' EE 104, n. 147, Andreae

---

20 Ex. 3,2 21 Dan. 3,46-50

ᾠδὴ δ'. *Ἀκήκοεν ὁ προφήτης*

f. 211 || Ἀνατολῆς τῆς ἐξ ὕψους
φανείσης, αὐγαζόμενος
ταῖς φρυκτωρίαις
ὡς ἀστὴρ φαιδρὸς ἐξέλαμψας,
καταυγάζων ἅπαντα τὰ πέρατα,
Ἀσκληπιάδη,
ἄθλων σου λαμπρότησιν.

Μετὰ πικρᾶς τιμωρίας
φωνῆς ἐπακηκόασιν
Ἀσκληπιάδης
Διομήδης τε ὁ ἔνδοξος
οὐρανόθεν τούτους δυναμούσης σαφῶς·
ἐντεῦθεν χαρᾶς
θείας ἐπληρώθησαν.

θεοτ. Θεοχαρίτωτε κόρη,
ἀγγέλων ἐγκαλλώπισμα
καὶ ἀθλοφόρων
τὸ κραταίωμα, περίσωζε
τὸν λαόν σου πάσης περιστάσεως,
ὡς μόνη πιστῶν
πάντων τὸ διάσωσμα.

ᾠδὴ ε'. *Ἀνάτειλόν μοι, κύριε,*

Λαμπτῆρά σε ἀκοίμητον
f. 211ᵛ καὶ πρέσβυν || ἀκαταίσχυντον,
Ἀσκληπιάδη, εὐμοιρήσασα

heirm. δ' TR 66
heirm. ε' EE 106, n. 149, Andreae

43 Luc. 1,78

ἡ πόλις Δορολαίας,
τρυγῶσα τὰ θαύματα
καὶ τιμᾷ τὴν ἄθλησιν,
ἑορτάζουσα φαιδρῶς.

Προσέλθωμεν, ἀντλήσωμεν
σωτηριώδη νάματα,
ὡς ἐκ πηγῆς ἀναβλυστάνοντα
τῆς λάρνακος τοῦ θείου
ἀθλητοῦ, καὶ κράξωμεν·
« ταῖς αὐτοῦ δεήσεσι
σῶσον πάντας, ὁ θεός ».

θεοτ. Ὡς πύλην σε σωτήριον
καὶ βάτον ἀκατάφλεκτον
καὶ μαννοδόχον στάμνον, ἄχραντε,
καὶ τράπεζαν τὸν ἄρτον
τῆς ζωῆς βαστάσασαν
ἀνυμνοῦμεν ἅπαντες
οἱ σωθέντες διὰ σοῦ.

ᾠδὴ ϛ'. *Ζάλη με*
λογισμῶν καταλαβοῦσα

Ἔστησαν
τῶν αἱμάτων ἐπομβρίαις
τῆς πλάνης τὰ ῥεύματα
οἱ εὐκλεεῖς ἀθλοφόροι
f. 212 καὶ ξηραί||νουσιν ἄρτι ποταμοὺς

68 τρυγοῦσα cd.: forte corrigendum τρυγᾷ σου
heirm. ϛ' EE 107, n. 150, Andreae

78 Ez. 44,2 79 Ex. 3,2 80 Ex. 16,33-34 81 Ex. 25,23
81-82 Joh. 6,35

πολλῶν ἀρρωστημάτων
θείων θαυμάτων ἐκβλύσεσιν.

Μάρτυρας
ἑκατὸν στεφανηφόρους
καὶ τρεῖς καὶ πεντήκοντα,
Ἀσκληπιάδη, προσῆξας
τῷ κυρίῳ ἄθλων καρτερικῶς,
μεθ' ὧν νῦν εἰς τὰ ἄνω
περιχορεύεις βασίλεια.

Τέτοκας
θεοτ. ὑπὲρ φύσιν, θεοτόκε,
τὸν πλάστην τῆς φύσεως,
ἀτρέπτως ἐκ σοῦ, παρθένε,
γεννηθέντος· διό σε οἱ πιστοὶ
ὡς πάντων βασιλίδα
θεοπρεπῶς μακαρίζομεν.

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Τὰ ὅπλα τῆς πίστεως
ἀναλαβόμενοι,
πρὸς πάλην ἐξήλθετε
τῶν πολεμίων ἐχθρῶν,
πολύαθλοι μάρτυρες,
ὅθεν καταβαλόντες
τὰς αὐτῶν μυριάδας,
στέφος δικαιοσύνης
f. 212v || ἐκληρώσασθε ἅμα,
πρεσβεύοντες σωθῆναι ἡμᾶς
πάσης περιστάσεως.

---

103 forte γεννηθέντα substituendum pro γεννηθέντος
heirm. καθ. HR 63

ᾠδὴ ζ'. *Τῇ εἰκόνι τῇ χρυσῇ*

Ἀναιμάκτους τῷ θεῷ
φέρων θυσίας, παμμάκαρ
Ἀσκληπιάδη,
θῦμα εὐπρόσδεκτον
σαυτὸν προσῆξας διὰ βασάνων
τῇ τραπέζῃ τοῦ Χριστοῦ
καὶ πρωτοτόκων ἐν σκηναῖς
κραυγάζων κατέπαυσας·
« εὐλογητὸς ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ὑπελθόντες τὴν πυρὰν
Ἀσκληπιάδης ὁ θεῖος
καὶ Διομήδης
ὁ γενναιότατος,
ὥσπερ οἱ πάλαι τρεῖς νεανίαι
οὐ κατεφλέχθησαν, θεῷ
ἐπικαλούμενοι πιστῶς
καὶ πόθῳ κραυγάζοντες·
« εὐλογητὸς ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Πῶς συνέλαβες, εἰπέ,
τὸν συνοχέα τῶν ὅλων,
πῶς δὲ θηλάζεις
τὸν πάντας τρέφοντα,
f. 213 θεοχυῆ||τορ εὐλογημένη·
ὡς ἐπίσταται αὐτὸς
πάντα βουλήματι ποιῶν,
ᾧ πάντοτε κράζομεν·
« εὐλογητὸς ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

---

heirm. ζ' EE 107, n. 150, Andreae 115 ἡμῶν om. cd. vv. 124-125 tantum ὁ τῶν ... cd.

106-110 Cfr. I Petr. ep. 2,5 112 Cfr. Luc. 16,9; Hebr. 11,9 120-121 Dan. 4,46-50

ᾠδὴ η'. *Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

Ἀναλάμψεσι μυστικαῖς
ὁ ἥλιος ὁλόφωτος φανείς,
Ἀσκληπιάδη, πᾶσαν γῆν
καταυγάζεις ἀκτῖσιν ἄθλων
καὶ τῶν ἰαμάτων
φρυκτωρίαις, διὸ εὐφημοῦμέν σε
ἐν ἀγαλλιάσει
πιστοὶ εἰς τοὺς αἰῶνας.

Κατεπλάγησαν τὴν ὑμῶν,
μάρτυρες, στερρὰν ὑπομονὴν
οἱ ἐπουράνιοι χοροί,
πῶς ἐν σώματι τοὺς ἀσάρκους
ἐχθροὺς ἐν κυρίῳ
ἐτροπώσασθε νίκην ἀράμενοι,
ὅθεν καταχρέως
ὑμᾶς ὑμνολογοῦμεν.

θεοτ. Ὃν μεγέθη τῶν οὐρανῶν,
ἄχραντε, οὐ δύνανται χωρεῖν
f. 213v μόνη ἐχώρησας, || ἁγνή,
βουληθέντα δι' εὐσπλαγχνίαν
ἐκ σοῦ σαρκωθῆναι,
ὅπως σώσῃ φθορᾶς τὸ ἀνθρώπινον·
ὅθεν σε ὑμνοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Ὅτι ἐποίησέ μοι*

Ἡ γῆ καθηγιάσθη
δεξαμένη σῶμα τὸ σόν,
πηγάζων ἰαμάτων ποταμοὺς

heirm. η' EE 107, n. 150, Andreae   137 ὁ: forte melius ὡς
heirm. θ' EE 106, n. 149, Andreae   162-163 πηγάζων, ἰώμενος, quamquam σῶμα (v. 161) sequuntur, ad Asclepiadem (v. 164) tribuuntur

καὶ ἰώμενος ἀεί,
Ἀσκληπιάδη ἱερέ,
τὰς ἀσθενείας ἡμῶν.

Ὡραῖον ὥσπερ ζεῦγος,
Διομήδης καὶ ὁ κλεινὸς
σαφῶς Ἀσκληπιάδης ἐν Χριστῷ
δεδειγμένοι, ἰατροὶ
πάντων ὑπάρχουσι πιστῶς
τῶν εὐφημούντων αὐτούς.

θεοτ. Φρικτή σου ἡ λοχεία·
ὑπὲρ νοῦν γὰρ τίκτεις θεὸν
δι' οἶκτον χρηματίσαντα βροτόν,
ἀπειρόγαμε ἁγνή,
ὅθεν ὑμνοῦμέν σε πιστῶς
εἰς τοὺς αἰῶνας, ἀμήν.

IN SANCTUM PROCOPIUM MARTYREM CAESAREAE IN PALAESTINA

Eusebii, *De Martyr. Palaest.*, 1,1-2 (*): Πρῶτος τοιγαροῦν τῶν ἐπὶ Παλαιστίνης μαρτύρων Προκόπιος, πρὶν ἢ φυλακῆς πεῖραν λαβεῖν, εὐθὺς ἀπὸ πρώτης εἰσόδου, τοῖς ἡγεμονικοῖς παραστὰς δικαστηρίοις θύειν τε τοῖς λεγομένοις προσταχθεὶς θεοῖς, ἕνα μόνον ἔφησεν εἰδέναι, ᾧ καθῆκεν ὡς αὐτὸς βούλεται θύειν· ὡς δὲ κἂν τοῖς βασιλεῦσι τέσσαρσιν σπένδειν ἐκελεύετο, ῥῆμά τι φθεγξάμενος τῶν οὐ προσηνῶν αὐτοῖς, αὐτίκα τὴν κεφαλὴν ἀποτέμνεται, τὸ ποιητικὸν εἰπὼν ἐκεῖνο « οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω, εἷς βασιλεύς ». Δαισίου μηνὸς ἑβδόμη (πρὸ ἑπτὰ εἰδῶν Ἰουνίων λέγοιτ' ἂν παρὰ Ῥωμαίοις), ἡμέρᾳ τετράδι σαββάτου τοῦτο πρῶτον ἐπὶ Καισαρείας τῆς Παλαιστίνης ἀπετελέσθη σημεῖον.

Sinait. gr. 627 = Σο, ff. 24-26
Barber. gr. 469 = Bi, ff. 31-32
Crypt. Δ.α. XXIII = Cn, ff. 87ᵛ-89

Ὁ κανών.

⟨Ἐν τοῖς θεοτοκίοις⟩· Γεωργίου.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Ἡ αἴγλη τοῦ παναγίου πνεύματος
φαιδρύνει ἅπαντας
τοὺς φιλεόρτους σήμερον ἡμᾶς
Προκοπίου ἐντεύξεσιν,
καὶ τῶν παθῶν καὶ θλίψεων
τὸ σκότος λύει ἐπιλάμψει αὐτῆς.

(*) EUSEBIUS, *Werke*, II, 2, ed. E. SCHWARTZ, Leipzig 1908, 907-908.

tit. Ἕτερος κανὼν τοῦ ἁγίου μάρτυρος προκοπίου Σο, qui ante hunc praebet canonem Πλουσίαις μαρμαρυγαῖς, ed. MR VI, 64 ὁ κανὼν τοῦ ἁγίου μεγαλομάρτυρος προκοπίου Bi nomen auctoris, in theotociis traditum, Σο Bi in rubrica om. Cn autem, qui theotocia substituit, refert in margine sigla Θεοφάνους

heirm. α' EE 94, n. 133, Joannis

Ὡς κρίνον ἐν τῷ λειμῶνι, ἔνδοξε,
τῆς ἐκκλησίας Χριστοῦ
ἀναδοθεὶς τῇ χάριτι αὐτοῦ,
εὐωδίαν, Προκόπιε,
διέπνευσας ἀθλήσεως
καὶ τῶν θαυμάτων μύρα τίμια.

Τῆς πλάνης τὰ νοητά, Προκόπιε,
ἅρματα ἔδυσας
εἰς νοητὸν τῶν ἄθλων σου βυθὸν
καὶ λαοὺς καθωδήγησας
θαυμάτων ταῖς ἐλλάμψεσι
τῆς εὐσεβείας εἰς κατάπαυσιν.

θεοτ. Γνωρίσαι τοῖς ἐπὶ γῆς τὴν ἄφατον
καὶ ὑπὲρ ἔννοιαν
φιλανθρωπίαν θέλων ὁ υἱὸς
τοῦ θεοῦ, θεονύμφευτε,
ἐκ σοῦ σαρκὶ γεγέννηται,
πιστοῖς παρέχων ἀναγέννησιν.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Ἀπήμβλυνας τοῦ ἐχθροῦ
τόξα καὶ βέλη τῇ στερρᾷ, ἔνδοξε,
ὁμολογίᾳ Χριστοῦ,
σὺ δὲ ἀπαράτρωτος ἔμεινας.

Κατέβαλες τὴν ἰσχὺν
τοῦ πολεμήτορος ἐχθροῦ, ἔνδοξε,
καὶ εἰς θαυμάτων αὐτὸς
ὕψος ἀνηρπάγης, Προκόπιε.

12 μύρα τίμια] τὰ παράδοξα Cn 14 ἔδυσας] ἔβλυσας Cn 19-24 pro hoc θεοτ. substituit Cn: Ἀσπόρως τῷ τοῦ πατρὸς βουλήματι / ἐκ θείου πνεύματος (cetera om.), cfr. PaR 280 et IHG I, 192

heirm. γ' EE 94, n. 133, Joannis 29 τὴν ἰσχὺν] τοῦ ἐχθροῦ Cn 30 ἐχθροῦ] ἰσχὺν Cn

13 ss. Cfr. Ex. 14,23-28

Τὴν λοίμην τὴν νοητὴν
τῆς ἀσεβείας ἐναθλῶν ἔπαυσας
καὶ ἰατρείαν ψυχαῖς
θαύμασιν, Προκόπιε, ἔβλυσας.

θεοτ. Ἐπαύθη ἡ τοῦ ἐχθροῦ
δυσμενεστάτη τυραννίς, ἄχραντε,
διὰ τοῦ τόκου τοῦ σοῦ
καὶ βροτοὶ δουλείας ἐρρύσθημεν.

ᾠδὴ δʹ. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Ἐν τῇ πέτρᾳ τῆς ἀγάπης τῆς τοῦ κυρίου
ἑδραιωθείς, Προκόπιε,
ἐχθρῶν τρικυμίαις
οὐδ᾽ ὅλως σεσάλευσαι,
τῆς πλάνης δὲ ἔσεισας
ἐναθλῶν γενναίως θεμέλια.

Τῷ τῶν λόγων σου κατέφλεξας πυρὶ θείῳ
τῶν ἀσεβῶν, Προκόπιε,
σοφίσματα ψεύδους
καὶ θαυμάτων νάμασιν
f. 24v ‖ ἀνθρώπους κατήρδευσας
καὶ λόγοις ἐνθέοις ἐπηύξησας.

Τὰ σωτήρια, Προκόπιε, τοῦ δεσπότου
πάθη ἀναδεξάμενος
ἐν τῷ σώματί σου,
τῆς αὐτοῦ ἐγέρσεως
συμμέτοχος γέγονας
κοινωνός τε δόξης τῆς κρείττονος.

---

33 λύμην Σο Cn 37-40 pro hoc θεοτ. refert Cn: Σὺ μόνη τοῖς ἐπὶ γῆς / τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, cfr. PaR 281 et IHG III, 569
heirm. δʹ EE 94, n. 133, Joannis 44 σεσάλευται Σο 47-52 troparium om. Bi

---

41 ss. Cfr. Matth. 7,24; Luc. 6,48

Ἀθεότητος, Προκόπιε, σηπεδόνας
τεμὼν τῇ χειρουργίᾳ
τῆς ὁμολογίας,
ἐρρύσω ἀνθρώπους φθορᾶς,
διὸ καὶ πρεσβείαις σου
πάντα θεραπεύεις νοσήματα.

θεοτ. Ὡραΐζεται ἐνδόξως ἡ ἐκκλησία
ἐπὶ τοῖς σοῖς, πανάχραντε,
θείοις μεγαλείοις
καὶ κοσμεῖται τούτοις φαιδρῶς
καὶ πόθῳ δοξάζει σε
καὶ ὑμνολογεῖ σου τὴν κύησιν.

ᾠδὴ εʹ. *Σύ, κύριέ μου, φῶς*

Σὺ ἔλυσας, σοφέ,
τῆς ἀπάτης τὸν σύνδεσμον
τῇ θείᾳ σου καρτερίᾳ
καὶ ἀνθρώπους συνῆψας
Χριστῷ, μάρτυς Προκόπιε.

Σὺ ἔθλασας θηρῶν
νοουμένων, Προκόπιε,
τῇ ῥάβδῳ τῆς σῆς ἀνδρείας
κεφαλὰς καὶ τῆς τούτων
θήρας ἀνθρώπους ἥρπασας.

Τοῖς νάμασιν, σοφέ,
ἀειρύτων θαυμάτων σου
ἀπόπλυνον τῶν σωμάτων
καὶ ψυχῶν ἡμῶν πάθη,
ἀοίδιμε Προκόπιε.

59-64 troparium om. Cn 65-70 θεοτ. in Cn: Ἀπειρογάμως ἐκύησας ὦ παρθένε / καὶ μετὰ τόκον ὤφθης ... ed. in PaR 281 et alibi, cfr. IHG I, 147 69 σε] σου Σο
heirm. εʹ EE 94, n. 133, Joannis 75 Χριστῷ, μάρτυς] χρηστομάρτυς Cn 80 ἥρπασεν Σο, ἔσωσας Cn 81 νάμασιν] νεύμασιν Cn

---

76-79 Cfr. Ps. 57,7

θεοτ. Ῥωσθέντες διὰ σοῦ
τῇ δυνάμει τοῦ πνεύματος,
πολέμους τοὺς ἀντιπάλους
τῆς Χριστοῦ ἀληθείας
τροπούμεθα, πανάχραντε.

ᾠδὴ ς'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, κύριε,

Θύματα
τὰ λογικὰ θύων, μάρτυς Προκόπιε,
ὑπὲρ ἡμῶν τῷ τυθέντι,
ἐν σαρκὶ δεσπότῃ σαυτὸν προσῆξας,
τούτῳ θῦμα
πυρὶ ὁλοκαυτώσας ἀθλήσεως.

Ἔσβεσας
τῆς ἀσεβείας φλόγα, Προκόπιε,
ἱδρῶσι τοῦ μαρτυρίου
καὶ αἱμάτων χύσει ἴαμα πᾶσιν
f. 25 ἐπή||γασας
τοῖς πιστῶς σε τιμῶσιν ὁπλίτην Χριστοῦ.

Σύμβολα
τὰ τῆς ψυχῆς σου, μάρτυς Προκόπιε,
ὡραιοτάτης εἰδέας
ἡ ἐκτὸς εὐπρέπεια ὑπεδήλου,
διὰ τοῦτο
τοῖς ἐχθροῖς ἀνεδείχθης αἰδέσιμος.

86-90 θεοτ. in Cn: Σὲ ὅπλον ἀρραγὲς / κατ' ἐχθρῶν προβαλλόμεθα (cetera om.), ed. in PaR 282, cfr. etiam IHG III, 466 86 Ῥυσθέντες Σο
heirm. ς' EE 94, n. 133, Joannis 92 τὰ om. Bi μάρτυς θύων Bi 98 Προκόπιε] μακάριε Σο 99 ἱδρῶσι] δρόσον τὴν Cn 114 τὰ om Bi Cn μάρτυς] παμμάκαρ Cn 115 ἰδέας Bi 116 εὐκτὸς Cn 118 αἰδέσιμος] ἀήττητος Cn

---

91 ss. Cfr. Rom. 12,1

θεοτ. Γνόντες σου
τὰ ὑπὲρ λόγον θεῖα μυστήρια
καὶ τὴν ἀπόρρητον δόξαν,
οἱ ἐν σοὶ καυχώμενοι, παναγία,
κυρίως σε
θεοτόκον ἀπαύστως δοξάζομεν.

ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*
ἀβραμιαῖοι παῖδες τῇ περσικῇ

Ἐν ἀθεΐᾳ
γνῶσιν θεοῦ κηρύττων, μάρτυς σοφέ,
πάντας
τοὺς ἐχθροὺς κατέπληττες καὶ λαοὺς
εἰς ἐπίγνωσιν, Προκόπιε,
τοῦ πλαστουργοῦ αὐτῶν
καθωδήγεις σε πόθῳ γεραίροντας.

Λόγοις πυρφόροις
τὸ φρυγανῶδες φλέξας ψεῦδος, σοφέ,
φέγγος
ἀληθείας ηὔγασας τοῖς πιστοῖς
καὶ θαυμάτων ἐπιλάμψεσι
τούτους ἐφαίδρυνας
τὸν Χριστὸν ἐπιγνόντας, Προκόπιε.

Ἐν δυσεκλύτοις
κατεχομένους βρόχοις, μάρτυς Χριστοῦ,
νόσων

119-124 in Cn prima verba θεοτ.: Ὢ θαῦμα / τῶν ἁπάντων θαυμάτων καινότερον, PaR 283, cfr. etiam IHG V. 1, 129
post odem ς', in margine superiore f. 88v in Cn, alia manus add. κάθ. Τῷ ζήλῳ Χριστοῦ τῷ θείῳ, ed. in MR VI, 67 et alibi: cfr. IHG IV, 328
heirm. ζ' EE 94, n. 133, Joannis 131 καθωδήγεις σε] καθοδηγήσας Σο, καθόδηγεῖς σε Cn 139 Ἐν τοῖς ἐκλύτοις Σο 140 κατεχομένοις Bi Cn βρόχους Σο

---

133 Cfr. Is. 47,14

καὶ παθῶν καὶ θλίψεων ἐπιστάς,
ἐπισκέψει σου ἀπόλυσον
ἡμᾶς, Προκόπιε,
ἰατρὸν καὶ προστάτην τιμῶντάς σε.

θεοτ. Ἰσχὺν καὶ κράτος
σὲ ἀσθενοῦσι πᾶσιν ὁ δυνατὸς
λόγος
τοῦ θεοῦ, παρθένε, ἐκ σοῦ τεχθείς,
ἐδωρήσατο κραυγάζουσιν·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

ᾠδὴ η΄. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Ἄνω τὸ πολίτευμα, σοφέ,
πρὸς τὰ οὐράνια
ἔχων, Προκόπιε,
τοῦ κόσμου ἅπασαν, ἔνδοξε,
ματαιότητα κατέλιπες·
διὸ τὰ ὄντως ἀγαθὰ
διὰ ἀθλήσεως
ἐκληρώσω
καὶ θαυμάτων θείαν χάριν ἀπείληφας.

f. 25v || Τῆς υἱοθεσίας τὴν στολὴν
τῇ τῶν αἱμάτων σου
βαφῇ, Προκόπιε,
καὶ τῆς ἀθλήσεως στίγμασι
λαμπροτέραν ἀπετέλεσας

144 ἡμῶν Σο 146-152 θεοτ. in Cn: Τὸ τοῦ ὑψίστου / ἡγιασμένον θεῖον σκήνωμα / χαῖρε (cetera om.), PaR 284, cfr. IHG IV, 262 151-152 post εὐλογημένος Bi, post τῆς Σο cetera om.
heirm. η΄ EE 94, n. 133, Joannis 157 κατέλειπες Σο 158 διὸ] διὰ Σο Cn 159 καὶ δι' ἀθλήσεως Σο 161 χάριν θείαν Cn 163 τῇ] τὴν Σο

153-157 Cfr. Philip. 3,19-20 162 ss. Cfr. Rom. 8,15; Gal. 4,5; Apoc. 7,13-15

καὶ εὐωχίας μυστικῆς
τοῦ βασιλέως Χριστοῦ
ἠξιώθης,
θαύμασιν ἀεὶ πιστοὺς δεξιούμενος.

Ταμεῖον χαρίτων σε Χριστός,
μάρτυς Προκόπιε,
πᾶσιν ἀνέδειξεν,
διά σου ἄφθονα θαύματα
καὶ ἰάματα δωρούμενος
τοῖς μεγαλόδωρον αὐτὸν
πόθῳ δοξάζουσι
καὶ βοῶσιν·
« πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

θεοτ. Ὁ ἐν θρόνῳ δόξης τῷ πατρὶ
συγκαθεζόμενος
υἱὸς καὶ λόγος αὐτοῦ,
σὲ θεῖον ὄχημα, ἄχραντε,
καὶ καθέδραν ὑπερένδοξον,
ἐκ σοῦ τεχθεὶς σωματικῶς,
μόνην εἰργάσατο,
ἵνα πάντες
σὲ οἱ βροτοὶ ἀνυμνοῦσιν ὡς δέσποιναν.

ᾠδὴ θ΄. *Λίθος ἀχειρότμητος ὄρους*

Ἔχων τὸ ἀήττητον κράτος
τοῦ βασιλέως καὶ δεσπότου
ἐν τῇ τῆς ἀθλήσεως πάλῃ

177 πόθῳ δοξάζουσι] ἀνακηρύττουσι Cn 178 καὶ βοῶμεν Bi 179 post πάντα Bi Cn, post ἔργα Σο cetera om. 180-188 pro hoc θεοτ. praebet Cn: Σὺ μόνη ἐν πάσαις γενεαῖς, παρθένε ἄχραντε (cetera om.), PaR 285 et alibi, cfr. IHG III, 569 187 ἢν ἅπαντες Bi 188 σὲ οἱ om. Bi ἀνυμνοῦσιν sic cdd.
heirm. θ΄ EE 94, n. 133, Joannis 191 πάλῃ] πάλιν Cn

167-169 Cfr. Matth. 22,1-14; Luc. 14,16-24 180 Cfr. Matth. 19,28 183-184 Cfr. Ez. 1,15-27

εἰς συνεργίαν,
μάρτυς Προκόπιε,
τὸ τοῦ ἐχθροῦ ἀντίθεον
θράσος καθεῖλες καὶ ὑπέταξας.

Ὡς ἡλιακαῖς λαμπηδόσι
τῇ τῶν θαυμάτων ἐπιλάμψει
καὶ τῇ τῆς ἀθλήσεως αἴγλῃ
ἐνθέως, μάρτυς,
καταλαμπόμενος,
ἀειφανής, Προκόπιε,
φωστὴρ ἐδείχθης ἐν τοῖς πέρασιν.

Σὺ ἐξ ἀειρύτων χαρίτων
θαυμάτων νάματα ἀντλήσας,
πάσῃ δαψιλῇ μεταδόσει
ταῦτα προχέεις,
μάρτυς Προκόπιε,
τοῖς σὲ πιστῶς δοξάζουσι
καὶ τὸν δεσπότην μεγαλύνουσιν.

Νύκτα τῶν παθῶν καὶ κινδύνων
καὶ περιστάσεων ἐλάσας
ἀφ' ἡμῶν, Προκόπιε, αἴγλῃ
τῆς εὐθυμίας
πάντας καταύγασον
τοὺς πίστει εὐφημοῦντάς σε
καὶ τὸν δεσπότην μεγαλύνοντας.

f. 26 θεοτ. || Ὕπνον τῆς ψυχῆς μου καὶ ὄκνον
ἀποσοβήσασα, παρθένε,
ἔγειρον εἰς δόξαν καὶ αἶνον
τοῦ σὲ προστάτιν
παρασχομένου βροτοῖς,
ὅπως ἀγρύπνῳ ὄμματι
τοῦτον δοξάζων, μεγαλύνω σε.

---

195 θράσος] θάρσος Σο, κράτος Cn 201 ἀειφανῆ Σο 203-209 troparium om. Bi 210-216 troparium om. Cn 220 τοῦ] τοὺς Σο Bi προστάτην cdd. 221 παρεχομένου Σο

IN SANCTUM MARTYREM PANCRATIUM TAUROMENII EPISCOPUM

Synaxarium 807-809: Ἄθλησις τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἱερομάρτυρος Π α γ κ ρ α τ ί ο υ ἐπισκόπου Ταυρομενίου. Οὗτος ὑπῆρχεν ἐπὶ τῶν χρόνων τῶν ἀποστόλων, ἕλκων τὸ γένος ἐκ τῶν ὁρίων Ἀντιοχείας. Οὗτος τὸ ἅγιον βάπτισμα ἐδέξατο ἐν τῇ ἁγίᾳ Σιὼν ἅμα πατρὶ καὶ μητρί. Μετὰ δὲ τὴν τούτων ἀποβίωσιν καταλιπὼν ἅπαντα τὰ προσόντα αὐτῷ, ἔρχεται ἐπὶ τὰ ὅρια Πόντου· καὶ ἐπί τι σπήλαιον εἰσδύς, καταμόνας ἦν ἀσκῶν καὶ ἑαυτῷ προσέχων καὶ μόνῳ Θεῷ προσομιλῶν. Ὁ δὲ κορυφαῖος τῶν ἀποστόλων Πέτρος διερχόμενος τὰς πόλεις καὶ διδάσκων, κατέλαβε τὸν ἄνδρα ἐν τῷ Πόντῳ, καὶ ἀναλαβὼν αὐτὸν ἦλθεν εἰς Ἀντιόχειαν, εἶτα εἰς τὰ τῆς Κιλικίας μέρη. Ὅτε καὶ τῷ μεγάλῳ ἀποστόλῳ Παύλῳ περιτυχὼν ἅμα αὐτῷ χειροτονεῖ πρῶτον μὲν Κρίσκεντα εἰς Γαλατίαν, ἔπειτα Μαρκιανὸν εἰς Συράκουσαν, εἶτα τὸν ἅγιον Παγκράτιον εἰς τὸ Ταυρομένιον. Ὁ δὲ Παγκράτιος εἰσελθὼν ἐν τοῖς πλοίοις Λυκαονίδου καὶ Ῥωμύλου τῶν ναυκλήρων, κατέλαβε τὴν πρὸς ἣν ἐπέμφθη χώραν· σημείων δὲ πλείστων παρὰ τοῦ ἁγίου τελουμένων Παγκρατίου, τῇ τοῦ Χριστοῦ πίστει ἐκ προοιμίων οἱ ναύκληροι προστίθενται καὶ τὰ σεβάσματα τῶν κατὰ τὴν χώραν τοῦ τε Φάλκωνος καὶ Λύσωνος καὶ τῶν λοιπῶν δαιμόνων ἠφανίσθησαν. Ὁ δὲ τοῦ τόπου ἡγεμών, ᾧ ὄνομα Βονιφάτιος, ἰδὼν τὰ γενόμενα τεράστια καὶ ὑπερθαυμάσας, ἐπίστευσε τῷ Χριστῷ καὶ σπουδὴν πολλὴν θέμενος ἐκκλησίαν ἐδείματο ἐν τριάκοντα μόναις ἡμέραις. Ὁ δὲ Παγκράτιος ἦν θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν τῇ τοῦ Χριστοῦ χάριτι· διὸ καὶ καθεκάστην προσετίθει πλήθη πολλὰ τῷ Χριστῷ καὶ Θεῷ, καὶ ἐβαπτίζοντο. Μόνοι δὲ οἱ Μοντανοὶ ἔμειναν ἐν τῇ ἀπιστίᾳ· οἵτινες καὶ ἀπεχθῶς ἔχοντες πρὸς τὸν ἅγιον καιροῦ λαβόμενοι καὶ ἐπιθέμενοι αὐτῷ δόλῳ μετὰ καὶ Ἀρταγάλου τοῦ αὐτῶν ἀρχηγοῦ, ἔκτειναν καὶ πρὸς τὸν ποθούμενον αὐτῷ παρέπεμψαν Κύριον, καὶ οὕτως εὕρατο τῶν πολλῶν πόνων τὴν ἀντίδοσιν.

Vallic. gr. E 55 = Ec, ff. 17v-20
Crypt. Δ.γ. III = Di, ff. 134v-136v

Ὁ κανὼν ⟨φέρων ἀκροστιχίδα⟩·
Ὕμνοις, Παγκράτιε σοφέ, ἱεροῖ σε· ὁ ἐλάχιστος Ἠλίας.

Ἦχος πλ. δʹ.

ᾠδὴ αʹ. *Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν*

Μνησθείς μου, Παγκράτιε, πρὸς θεόν,
τὸν ὕμνον προσδέχου,
χορηγῶν μοι τὴν προφορὰν
τῶν λόγων τῶν θείων σου ἐπαίνων·
καὶ γὰρ ποθέων δοξάζειν σε πρόσειμι.

Νοὸς ἐκκαθάρας τὸ τριμερές,
εἰς ὕψος ἐπήρθης
ἀπαθείας ὡς φοιτητὴς
καὶ πρόβλημα Πέτρου τοῦ μεγίστου
τῶν ἀποστόλων, παμμάκαρ Παγκράτιε.

Ὁ μύστης τῶν ἄνω θεωριῶν,
ὁ κῆρυξ τοῦ λόγου,
τῶν ἀρρήτων ὁ ἑρμηνεύς,
Παγκράτιε, σῶζέ σου τὴν ποίμνην,
ἥνπερ ἐκτήσω διὰ τοῦ βαπτίσματος.

θεοτ. Ὢι τάξεις ἀγγέλων δουλοπρεπῶς
παρίστανται φόβῳ,
ἀνυμνοῦσαι ὡς ποιητήν,
ἀγκάλαις ὡς βρέφος ἐπιφέρεις,
θεοκυῆτορ ⟨ἁγνὴ⟩ ἀπειρόγαμε.

---

tit. acrostichidem tacent cdd.: eadem ex primis litteris heirm. et troparioriorum, praeter theotocia, deducitur: Ὕμνοις, Παγκράτιε σοφέ, [η]ἱεροῖ [σ]σε ὁ ἐλάχιστος Ἠλίας[τ], cfr. etiam commentarium pp. 550 ss.

heirm. αʹ EE 220, n. 315, Joannis   ὡσεὶ] ὡς εἰς Ec   4 τοῦ λόγου Di   5 ποθέων (ποθέον Di) pro ποθῶν metri causa?   πρόσημι Ec, πρόσημοι Di   20 ἁγνὴ add.: duae syllabae desiderantur

ᾠδὴ βʹ. *Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι ὁ θεὸς ὑμῶν,
ὁ πρὸ τῶν αἰώνων*

Σὲ ἡ ἐκκλησία
προστάτην ἔχουσα ἀρραγέστατον,
πᾶσαν ἐναντίων
ἀποκρούεται βουλήν,
ἅγιε Παγκράτιε, τριάδος ὑπέρμαχε,
σημάντωρ τῶν ἀπορρήτων,
κοινωνὲ τοῦ Ἰησοῦ ὡραιόψυχε.

Πλοῦτον ἐπίκηρον
πτωχοῖς καὶ πένησι διεσκόρπισας
ἕνεκεν τῆς ἄνω
βασιλείας καὶ ζωῆς,
ἅγιε Παγκράτιε, ἀγγέλων συνόμιλε,
ἐκφάντωρ τῶν ἀπορρήτων,
τοῦ Χριστοῦ καὶ λειτουργὲ ἱερώτατε.

f. 18 ‖ Ἀφομοιούμενον
τῶν ἄνω τάξεων βίον ἤσκησας,
Πόντον παροικήσας,
ἐπ' ἐλπίδι τῆς ζωῆς,
ἅγιε Παγκράτιε, δικαίων ὁμόσκηνε,
μαχήτωρ τῶν ἀτασθάλων,
τῶν παθῶν ὀλοθρευτὰ θεοδόξαστε.

Γέης τὸ φρόνημα
αἰχμαλωτίσας σοι, ἱερώτατε,

---

heirm. βʹ EE 226, n. 323, Germani   26 σημάντωρ sic cdd.   30 ἥνεκα Di   33 ἐκφάντωρ sic cdd.   ἀπορρήτων] μυστηρίων Di   35-41 troparium om. Di   40 μαχήτωρ Ec   ἀταστάλων Ec   42 Γέης] Ζέης Ec   43-45 αἰχμαλωτίσας σου / δι' εὐσέβειαν / ἤχθης μαθητεύων / ἀποστόλων γεγηθῶς Di, qui tamen difficile legitur

---

28-31 Cfr. Matth. 19,21 ss.   42-43 Cfr. Rom. 8,6

ἤχθης μαθητὴς ὢν
ἀποστόλων, γεγονώς,
ἅγιε Παγκράτιε, δοχεῖον τῆς χάριτος,
διῶκτα τῶν ἀερίων,
τῶν ψυχῶν θεραπευτὰ θεοπλούτιστε.

Κύριον αἴτησαι
ὑπὲρ τῆς ποίμνης σου ἐμμελέστατα,
ὅπως λυτρωθείη
ἐκ πυρὸς τοῦ ἀφεγγοῦς,
ἅγιε Παγκράτιε, ἑσπέρων ὁ ἥλιος,
συμμύστα τῶν ἀποστόλων,
τῶν νοσούντων ἰατρὲ θαυμαστότατε.

θεοτ. * Ἄρρητον τὸ θαῦμα
τῆς σῆς κυήσεως, μητροπάρθενε·
πῶς γὰρ καὶ λοχεύεις
καὶ ἁγνεύεις ἐν ταὐτῷ;
πῶς παιδοτοκεῖς καὶ ἀγνοεῖς ὅλως πεῖραν ἀνδρός;
« ὡς οἶδεν ὁ ὑπὲρ φύσιν
ἐξ ἐμοῦ καινοπρεπῶς λόγος θεοῦ γεννηθείς ».

ᾠδὴ γʹ. *Ῥάβδος εἰς τύπον*
τοῦ μυστηρίου παραλαμβάνεται

Ἄνθραξ φωσφόρος
τῇ Σικελίᾳ ἐπικομίζεται·
τῷ χρισμῷ γὰρ ἐκλάμπει ὁ ἱεράρχης,
τῇ τυραννούσῃ δὲ πρώην
σκοτομήνῃ νῦν ἐφέστηκεν

49 Κύριον] Θεὸν Ec 56-62 θεοτ. ed. in TR 23 et alibi: cfr. IHG I, 177 60 πεῖραν ὅλως TR Di 61 εἶδεν TR 62 ἐξ ἐμοῦ] ἐκ σοῦ TR λόγος] ὅλως Ec
heirm. γʹ EE 224, n. 322, Cosmae 64 τῇ ἐκκλησίᾳ Di 67 σκοτομήνῃ] ὁμηγύρῃ Di

63 Is. 6,6

ἄπνους ὁ ζῶν
εἰς κράτος καὶ στερέωμα.

Τέττιξ χριστόφρων
τῇ Σικελίᾳ ἐπαποστέλλεται
προβληθεὶς παρὰ Πέτρου ὁ ἱεράρχης,
καὶ τὴν βακχεύουσαν πρώην
πολιτείαν καθωδήγησεν,
φῶς πρὸς ζωὴν
καὶ κράτος καὶ στερέωμα.

Ἰσοπροστάτης
τοῖς ἐκτελοῦσι τὴν ἐκδημίαν σου·
μιμητὴς γὰρ ἐδείχθης τοῦ πλαστουργοῦ σου,
τῷ ἱερῷ σου δὲ μᾶλλον
νῦν ποιμνίῳ, ὦ Παγκράτιε,
τεῖχος, λιμὴν
καὶ κράτος καὶ στερέωμα.

Εὔθυμος ῥύστης
Βονηφατίῳ ἀναγνωρίζεται
μεσιτείᾳ τοῦ θείου Λυκαονίδους
τῇ ἀγαθότητι Χριστοῦ
ὑπερτάτως ὁ Παγκράτιος,
ὃν εὐσεβῶς
ὑμνοῦντες μακαρίσωμεν.

θεοτ. Ἔσχες ἐν μήτρᾳ
τὸν πρὸ αἰώνων ἄνακτα κύριον
f. 18v ἐκ πατρὸς || γεννηθέντα, ἄφθορε κόρη,
ὃν καὶ τεκοῦσα, παρθένος
ἐτηρήθης γαλουχήσασα
πάντων ἡμῶν
εἰς δόξαν καὶ στερέωμα.

68 ὁ] ὡς Di 76 καὶ κράτος] εἰς κράτος Di vv. 77-83 cdd. post vv. 84-90 tradunt, sed acrostichis hunc ordinem repetit vv. 77-119 tantum ex parte leguntur in Di 79 πλαστουργοῦ] ποιητοῦ Di 84 Εὔθυμος scripsi: Ὤφθιμος Ec, minime legitur Di, ubi fortasse <Εὔ>φημος legendum 85 βονιφατίω Ec 86 λυκαωνίδους Ec, λυκαονίδους Di pro Λυκαονίδου propter metaclisim 88 ὑπέρτατος Ec 95 ἐτηρήθης] θεοτόκε Di γαλουχήσασα] ἐγαλού ... Di, ubi v. 96 non legitur 97 στερέωμα] ἀνάκλησιν Di

ᾠδὴ δ'. *Σύ μου, Χριστέ,*
κύριος, σύ μου καὶ δύναμις

Ὅσοι τῆς σῆς
ἐπιδεόμεθα χάριτος,
ἱεράρχα,
τύχοιμεν ἐλλάμψεως
τῆς παρὰ σοῦ
ἀντιληπτικῶς,
ἵνα κατὰ πάντα
καὶ διὰ πάντων τὰ σὰ ἐκ τῶν σῶν
προσφέρωμέν σοι, πάτερ,
εὐχαρίστως βοῶντες·
« τῷ στεφάνῳ σου δόξα, Παγκράτιε ».

Φωτιστικῶς
ἔγνω Χριστὸν Βονηφάτιος
ὑπαχθείς σου,
πάτερ, τοῖς διδάγμασιν,
καὶ κατιδὼν
ὅπλῳ τοῦ σταυροῦ
τούτου βυθισθέντα
τὰ πεπλασμένα σεβάσματα,
διὸ καὶ ἀνεβόα
σὺν τῷ Λυκαονίδει·
« ὁ θεὸς Παγκρατίου, ἱλάσω μοι ».

Ἕλκει λαὸν
πρὸς σωτηρίαν Παγκράτιος
ἐξ ἀγνοίας
ῥήμασι καὶ θαύμασιν,
τερατουργῶν
ὥσπερ Μωϋσῆς
χάριτι κυρίου,
ὑφ' οὗ ἀπαύστως δοξάζεται,

---

heirm. δ' EE 219, n. 314, Joannis 110 βονηφάτιος cdd. 118 λυκαωνίδι Ec, λυκαονίδει forte Di, qui minime legitur: cfr. app. crit. ad v. 86

μεθ' οὗ συνεορτάζει
ἡ ὑφήλιος πᾶσα,
τὴν αὐτοῦ ἐκτελοῦσα μετάστασιν.

Ἡ διὰ σοῦ
καὶ ὑπὸ σοῦ ἐπιγνώσασα
φῶς τὸ μέγα
ποίμνη σου, Παγκράτιε,
χρεωστικῶς
σὲ δοξολογεῖ
καὶ ἐγκαυχωμένη
ἐν σοὶ πιστῶς ἐναβρύνεται,
βοῶσά σοι ἀπαύστως·
« ἣν ἐν σοὶ κατηρτίσω
ἀσινῆ περισκέπων με σάωζε ».

θεοτ. * Σὺ τῶν πιστῶν
καύχημα πέλεις, ἀνύμφευτε,
σὺ προστάτις,
σὺ καὶ καταφύγιον
χριστιανῶν,
τεῖχος καὶ λιμήν·
πρὸς γὰρ τὸν υἱόν σου
ἐντεύξεις φέρεις, πανάμωμε,
καὶ σώζεις ἐκ κινδύνων
τοὺς ἐν πίστει καὶ πόθῳ
θεοτόκον ἁγνήν σε γινώσκοντας.

ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*

Ἐταπείνωσας φρένα
ὑψαυχούντων τυράννων τοῖς θαυμασίοις σου
καὶ δαιμόνων θράση

---

128 μεθ' ὧν Ec 131 Ἡ] Ὁ Ec 138 πιστῶς] ἀεὶ Di 141 σάωζε ex σαώζω: σάοζε Ec, σώζοιε Di 142-152 θεοτ. ed. in MR I, 293 et alibi: cfr. IHG III, 603 144 προστάτης Di 150 σώζοις Ec 152 γινώσκοντες Ec, δοξάζοντας Di
heirm. ε' EE 219, n. 314, Joannis

σταυροτύπῳ δυνάμει κατέαξας,
τὴν εἰκόνα ἔχων τοῦ Ἰησοῦ
ὑπερμαχοῦσαν
ἐπὶ πᾶσί σοι, πάτερ Παγκράτιε.

Ῥωμαλέως ἀντέστης
δι' εὐχῆς Ἀκυλίνῳ τῷ πολεμήτορι
σὺν ἑξακοσίαις
χιλιάσι πορθοῦντι τὴν πόλιν σου,
καὶ ἐρρύσω ταύτην ῥώμῃ σταυροῦ

160-165 *Vita et passio* e cd. Vatic. gr. 1591, f. 95ᵛ, II col.: ὁ οὖν Ἀκυλῖνος, συναθροίσας τὸν αὐτοῦ λαόν, λέγει· « ἀπέλθωμεν, πολεμήσωμεν, ζητήσωμεν τὰ ἐκχυθέντα αἵματα τῶν ἀδελφῶν || (f. 96ʳ, I col.) ἡμῶν, ἃ ἐξέχεεν Ταῦρος. μὴ καὶ ἄρτι Ταῦρος ἀπαντήσει ἡμῖν ὁ πολύς· καὶ Βονηφάτιος γὰρ ἄρχει, οὐδεὶς ὢν ἐν πολέμοις ». καὶ συναθροισθέντες ὡσεὶ ἑξακόσιαι χιλιάδες, διεπέρασαν καὶ ἦλθον νυκτὶ καὶ ἔστησαν ἐν τῷ φιλικῷ τοπίσκῳ καὶ ἀπῆλθον καὶ κατεκράτησαν τὰς ἀρχὰς τῶν ὑδάτων καὶ διῆλθον καὶ περιεκύκλωσαν τὴν πόλιν. ἦν δὲ ὁ ἀριθμὸς τῶν σπωμένων ῥομφαίαν ἐν τῇ πόλει χιλιάδες τεσσαράκοντα. ὡς δὲ ἐσάφησαν ἄφνω πέριξ τῆς πόλεως οἱ περὶ Ἀκυλῖνον, φόβος ἐπέπεσεν ἐπὶ τὴν πόλιν. σαλπίσας οὖν καὶ Βονηφάτιος, διανέστησαν καὶ περιεκράτησαν τὰ τείχη. ἀκούσας οὖν ὁ μακάριος ὅτι οἱ ὑπεναντίοι τὴν πόλιν περιεκράτησαν, ἐδέετο τοῦ θεοῦ . . . || (f. 97ʳ, I col.) . . . ἀναστὰς οὖν ὁ μακάριος καὶ ἀποκείρας ἐν τάχει ἕνα τῶν μαθητῶν αὐτοῦ ὀνόματι Τατιανόν, ἔδωκεν αὐτῷ τὸν κλῆρον τοῦ διακόνου καὶ λέγει πρός με· « ἄγωμεν καὶ ἡμεῖς πολεμήσωμεν, τέκνον, κατέχοντες τὰ ὅπλα ἡμῶν καὶ ἀπελθόντες τροπωσώμεθα τοὺς ἐναντιουμένους ». καὶ φορέσας ὁ μακάριος τὴν ἱερὰν στολὴν αὐτοῦ καὶ λαβὼν τὸν τίμιον σταυρὸν ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἐπιδεδωκὼς ἐμοὶ τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου, καὶ τῷ ἀδελφῷ Τατιανῷ τῷ διάκονι, τοῦ μακα|ρίου (II col.) Πέτρου τοῦ ἀποστόλου τὴν εἰκόνα, ἐξήλθομεν καὶ ἤλθομεν ὅπου ἦν ἡ δύναμις τῶν ἐναντίων. καὶ ἦσαν κατακρατήσαντες τοῦ τείχους καὶ ἡ πόλις ὅλη ἠρέμα, ὡς διδαχθέντες ὑπὸ τοῦ μακαρίου Παγκρατίου. ἀνελθὼν οὖν ὁ μακάριος καὶ σταθεὶς ἐφ' ὑψηλοῦ τόπου καὶ ἁπλώσας τὰς χεῖρας προσευξάμενος, ἐποίησεν τὴν ἐν Χριστῷ σφραγίδα ἐν τῇ ἀνατολῇ καὶ ἐν τῇ δύσει καὶ ἄρκτῳ καὶ μεσημβρίᾳ καί φησιν ὁ μακάριος· « κύριε Ἰησοῦ Χριστέ, ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς . . . δεῖξον εἰς αὐτούς, Ἰησοῦ Χριστέ, τὴν ἀόρατον δύναμίν σου διὰ τοῦ ζωοποιοῦ σου σταυροῦ καὶ τῶν ἀχράντων εἰκόνων, ὧν ἡμῖν δέδωκας, δέσποτα, ὅπλον ἀκαταμάχητον κατὰ τῶν ἐπερχομένων ἡμῖν ἐχθρῶν . . . || (f. 97ᵛ, I col.) . . . καὶ πληρώσας ὁ μακάριος τὴν εὐχήν, ὕψωσε τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν καὶ τὰς ἁγίας εἰκόνας, στήσας ἐμὲ ἐκ δεξιῶν κατέχοντα τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς παναγίας θεοτόκου, καὶ Τατιανὸν ἐξ εὐωνύμων κατέχοντα τὴν εἰκόνα τοῦ μακαρίου Πέτρου. | (II col.) αὐτὸς μέσον εἱστήκει κατέχων τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν. ὡς ὑψώσαμεν τὰ ὅπλα τοῦ Χριστοῦ, σκότος ἐγένετο αὐτοῖς καὶ στραφέντες ἀνήλισκον ἀλλήλους. ὁ δὲ μακάριος ἑωρακὼς τὰς παρεμβολὰς τῶν ἐναντίων, ὅτι ἀλλήλους ἀπέκτανον ἐν στόματι ῥομφαίας, προσηύχετο λέγων· « κύριε Ἰησοῦ Χριστέ, ὁ θεὸς ἡμῶν, δὸς κατάνυξιν ταῖς καρδίαις τῶν ἀνθρώπων τούτων . . . ».

καὶ τῶν εἰκόνων,
πατροπάτορ θεόφρον Παγκράτιε.

f. 19 || Ὁ τὰς θείας εἰκόνας
μὴ τιμῶν ὀρθοδόξως, ἔστω ἀνάθεμα·
δι' αὐτῶν γὰρ ἤδη
ἐναντίων τροποῦνται κακόνοιαι,
δι' αὐτῶν ῥωννῦνται οἱ ἀσθενεῖς
καὶ ἀπωσμένοι,
δι' αὐτῶν καὶ Παγκράτιος ἤστραψεν.

θεοτ. * Μητρικὴν παρρησίαν
τὴν πρὸς τὸν υἱόν σου κεκτημένη, πάναγνε,
συγγενοῦς προνοίας
τῆς ἡμῶν μὴ παρίδῃς, δεόμεθα,
ὅτι σὲ καὶ μόνην χριστιανοὶ
πρὸς τὸν δεσπότην
ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

ᾠδὴ ς'. *Ἱλάσθητί μοι, σωτήρ,*

Συνήγμεθα μυστικῶς
ἀνευφημοῦντες τὴν δόξαν σου,
Παγκράτιε ἱερέ,
μαρτύρων συμμέτοχε·
διὰ σοῦ γὰρ ἔγνωμεν
προσκυνεῖν πατέρα
καὶ υἱὸν καὶ πνεῦμα ἅγιον.

Συνέσεισας τῶν γλυπτῶν
τὴν χειροποίητον δύναμιν
καὶ ἔστησας τοῦ σταυροῦ
τὸ ἄσειστον τρόπαιον,

---

166 προτωπάτωρ θεόφρων Di 171 ῥωννῦνται sic cdd. metri causa pro ῥώννυνται: cfr. p. 338 v. 54 174-180 θεοτ. ed. in MR III, 283 et alibi: cfr. IHG II, 427 179 δεσπότην non legitur in Di
heirm. ς' EE 220, n. 315, Joannis σῶτερ Ec 183 ἱερὲ] ἱερεῦ Di 184 μαρτύρων συμμέτοχε] λευΐτα θεόληπτε Di

δι' οὗ ἐξελήλακας
τοῦ γυναίου ἄλγος
τῶν χοιρέων, ὦ Παγκράτιε.

Ἐπίδος πρεσβευτικῶς
τοῖς σὲ ποθοῦσι τὴν χάριν σου,
διάσωζε ἀσινεῖς
τοὺς ἐκτελοῦντας τὴν μνήμην σου,
φύλαττε τὴν ποίμνην σου
καὶ τὴν πόλιν ταύτην,
ἱερώτατε Παγκράτιε.

θεοτ. * Ῥυσθείημεν τῶν δεινῶν
πταισμάτων ταῖς ἱκεσίαις σου,

---

194 τὸ χύρεον Di
202-208 θεοτ. ed. in MR II, 292 et alibi: cfr. IHG III, 437

192-194 *Ibid.*, f. 47v, I col. (in margine tit. θαῦμα β'): ἑτέρα δὲ γυνὴ ἦλθεν ἐν ἀληθινῇ διαθέσει γονυπετοῦσα τῷ μακαρίῳ· οὐκ ἐτόλμα γὰρ ἔτι τις πειράσαι αὐτόν (cfr. notas ad vv. 217-222). ἦν δὲ αὐτὴ ἐν πολλῷ πλούτῳ· ὁ γὰρ ταύτης ἀνὴρ τριβοῦνος ἐγεγόνει τῇ ἀξίᾳ καὶ ἐν πολέμῳ συνέβη αὐτὸν πεσεῖν. αὕτη οὖν εἶχεν ἐν τῷ τραχήλῳ χοιρέαν, ὡς πολὺν ἀγῶ|να (II col.) εἶναι ἐν αὐτῇ τῆς ἀσθενείας. ἡ καὶ ἐδέετο τὸν μακάριον λέγουσα· «ἅγιε Παγκράτιε, δοῦλε τοῦ ἀληθινοῦ θεοῦ, δέξαι τὴν ἁμαρτωλὸν καὶ ἀχρείαν καὶ δεδουλωμένην τούτῳ τῷ ἀνιάτῳ πάθει, καὶ ἐλέησόν με τῇ πρεσβείᾳ σου· δυσώπησον τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν καὶ λύτρωσαί με τὴν ἐλεεινὴν ἐκ τῆς ὀδύνης ταύτης. οὐκ ἔτι γὰρ ὑποφέρω τὰς τομὰς τῶν σιδήρων καὶ καυστήρων τὴν ἀγρίωσιν καὶ τῶν αὐστηρῶν φαρμάκων τὰς ἐπιθέσεις. ἅπαντες γὰρ οἱ ἐν τῇ πόλει ἰατροὶ ἐπ' ἐμὲ χεῖρας ἐπέβαλον, ἑκάστου ἐν σπουδῇ τὴν σοφιστικὴν αὐτοῦ τέχνην ἐφαπλώσαντος, καὶ εἰς ἐμὲ εἶδος θεραπείας οὐκ ἐνέργησεν ... ». || (f. 48r, I col.) ... ὁ δὲ μακάριος Παγκράτιος δακρύσας καὶ στενάξας ἐκ βάθους καρδίας, εἰσῆλθεν ἐν τῷ εὐκτηρίῳ καὶ ῥίψας ἑαυτὸν ἐν τῷ ἐδάφει, ἀνήνεγκεν συνεχέστερον κλαυθμὸν καὶ εἶπεν· « ... εὐλογητὸς κύριος, ... δεῖξον τὴν σὴν φιλανθρωπίαν ἐπὶ τὴν γυναῖκα ταύτην καὶ ἴασαι αὐτήν... | (II col.) ... » καὶ πληρώσας τὴν εὐχὴν ἐξῆλθεν... καλέσας οὖν ὁ μακάριος τὴν γυναῖκα ἐνώπιον παντὸς τοῦ λαοῦ, εἶπεν αὐτῇ· « ... ἰδοὺ οὖν λέγω σοι· ὡς πιστεύσασαν τῷ θεῷ καὶ πατρί, ἰᾶταί σε κύριος Ἰησοῦς Χριστός, ὁ ἐκ παρθένου τεχθεὶς διὰ πνεύματος ἁγίου ». καὶ λαβὼν τὸ γύναιον, ποιήσας τὴν ἐν Χριστῷ σφραγίδα ἐπὶ τοῦ μετώπου καὶ τοῦ στήθους, καὶ δακτυλοτυπήσας τὸ πάθος, λέγει ἰσχυρᾷ τῇ φωνῇ· « ... νῦν δὲ λέγω σοι, πάθος ἀνίατον, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος τῶν ἁπάντων, ἔξελθε ἐκ τοῦ πλάσματος τοῦ θεοῦ μου ». καὶ κρατήσας τὸ πάθος ὁ μακάριος, ἀπέσπασεν αὐτὸ ἀπὸ τοῦ τραχήλου τῆς γυναικὸς καὶ ἔρριψεν αὐτὸ ἐν τῷ ἐδάφει...

θεογεννῆτορ ἁγνή,
καὶ τύχοιμεν, πάναγνε,
τῆς θείας ἐλλάμψεως
τοῦ ἐκ σοῦ ἀφράστως
σαρκωθέντος υἱοῦ τοῦ θεοῦ.

Κοντάκιον.

Ἦχος πλ. δ'. *Τῷ φαεινῷ σου βίῳ*

Ἱερωσύνῃ θείᾳ
ἀξίως τετίμησαι
....

ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Ἐκ τῆς Ἀντιοχείας
καταντήσας καὶ Πόντου
πρὸς τὰ ἑσπέρια,
ἐφώτισας τὴν δύσιν
τῇ αἴγλῃ τῶν θαυμάτων,
ἀναμέλπων, Παγκράτιε·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

Λεπρωθεῖσαν ἴασω

κοντάκ., quod. om. Di, ed. in EEBS 28 (1958), 310
heirm. ζ' EE 224, n. 321, Joannis 210 καὶ Πόντου] εἰς πόντον Di vv. 215-216, 223-224, 231-232, 239-240 post τῶν Di, post πατέρων Ec cetera om.

217-222 *Ibid.*, f. 45v, I col. (in margine tit. θαῦμα α'): καὶ ἀπελθόντων αὐτῶν, ἐγένετο ὡσεὶ ὥρας μιᾶς διάστημα καὶ ἦλθεν γυνὴ ἱέρισσα, ᾗ ὄνομα Χρυσῆ. αὕτη ἦν παρεδρεύουσα τῷ θυσιαστηρίῳ τῇ θυγατρὶ Ἥρωνος. ἦν δὲ λεπρὰ καὶ πολλαχῶς, ὡς οἱ ἰδόντες ἔλεγον, οἱ μιαροὶ δαίμονες μητέρα Χρυσῆν αὐτὴν ἐφώνουν.

Βενεδίκταν εὐχαῖς σου,
πάτερ Παγκράτιε,
πρὸς φῶς ἐξ ἀπιστίας
τῆς γνώσεως μεθέλκων,
καὶ ῥωσθεῖσα ἀνέκραζεν·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

222 ἀνέκραζες Ec

αὕτη οὖν ἱέρισσα ἐν τῇ καρδίᾳ αὐτῆς τὸν μακάριον πειράσαι ἠβούλετο καί φησιν πρὸς αὐτόν· « εἰ ἀληθῆ εἰσι τὰ παρὰ σοῦ κηρυσσόμενα, μεγαλώτατε, ἐγὼ σήμερον ἔτη τεσσαράκοντα ἱέρισσα ἐν τῷ ναῷ τῆς μεγάλης θέας Ἥρωνος θυγατρός, συνέβη δὲ γενέσθαι με ἐν τῇ ἀπρεπείᾳ ταύτῃ τῆς σαρκός· εἰ λόγῳ ἰάσῃ με, πιστεύω τῷ θεῷ, ὃν (ᾧ cd.) ἡμῖν ἐπαγγέλλει ». ... || (f. 46r, I col.) ... ὁ δὲ μακάριος, βλέπων τὴν ἔνστασιν τῆς γυναικὸς καὶ γνοὺς τῷ πνεύματι ὅτι πειράσαι βούλεται τὴν χάριν τοῦ ἁγίου πνεύματος τὴν δοθεῖσαν αὐτῷ, σταθεὶς προσηύξατο καὶ λέγει τῇ γυναικί· « λῦσον τὴν ζώνην σου ». ἡ δὲ τάχιστα ἔλυσεν, καὶ ποιήσας τὴν ἐν Χριστῷ σφραγίδα ἐπ' αὐτῇ καὶ ἐξέπεσεν ὡσεὶ λεπίδες ἡ νόσος τῆς λέπρας, καὶ ἐγένετο ὅλη ὑγιής, στραφὲν τὸ εἶδος τῆς σαρκὸς αὐτῆς ἐπ' αὐτήν. ὡς οὖν ἑώρακεν ἑαυτὴν ὑγιῆ, ἀντὶ εὐχαριστίας τῆς πρὸς τὸν θεόν, λέγει πρὸς τὸν μακάριον· « οὐδέν μοι ἀγαθὸν σὺ πεποί|ηκας (II col.)· καὶ γὰρ πεπείρακά σε, εἰ ἐπίστασαι τὴν ἰατρικὴν μέθοδον, ἐπεὶ οἱ ἡμέτεροι σοφοὶ πλειοτέρας νόσους ἀπελαύνουσι ». ὁ δὲ μακάριος πρὸς αὐτήν· « ὦ γύναι, ὅτι ἐπείρασας [κύριον τὸν] κύριον τὸν θεὸν τὸν ἰώμενον πᾶσαν νόσον· τὸ ἔργον τοῦτο, γύναι, οὐκ ἔστιν ἀνθρωπίνης ἐργασίας, ἀλλὰ θείας ἐπισκέψεως, καὶ οὐδεὶς τῶν σοφῶν ποιεῖ τοιοῦτον. ὅμως ὁ τὴν ῥῶσιν ταύτην δούς, δύναται ἀξιῶσαί σε δισσῆς λέπρας, ἵνα πολλοῖς ἰατροῖς προσέλθῃς καὶ μηδὲν ὠφεληθῇς ». καὶ ἐπάρας ὁ μακάριος τὰς ἐκπεσούσας λεπίδας σὺν τῷ χοΐ, ἔρριψεν πρὸς αὐτὴν λέγων οὕτως· « ... ὅτι δισσὴν τὴν λέπραν λαμβάνεις, ὡς ψευσαμένη τὴν χάριν τῆς ἰάσεως ». καὶ ἀνῆψεν σὺν τῷ λόγῳ Παγκρατίου || (f. 46v, I col.) ἡ σάρξ αὐτῆς φλυκταίνας ὡς ἐκ πυρὸς ἀπὸ ποδῶν μέχρι κορυφῆς, ὡς καὶ τοὺς ὀφθαλμοὺς αὐτῆς πληθῆναι. καὶ ἦν ἰδεῖν τὴν τάλαιναν νῦν δὲ εὐγνώμονα καὶ πιστὴν ἐν δεινῷ πάθει... ἦν δὲ καὶ ἡ βοὴ τῆς ταλαίνης ἰσχυρὰ καὶ ἔκραζεν, λέγουσα· « ἐλέησόν με, ἅγιε Παγκράτιε, ἐλέησόν με, δοῦλε τοῦ ἀληθινοῦ θεοῦ ... » | (II col.) ... ὁ δὲ μακάριος Παγκράτιος πρὸς αὐτήν· « ὦ γύναι, τί εἰς ἐμὲ ἐλπίδα ἔχειν νομίζεις; εἰς κύριον Ἰησοῦν Χριστὸν ἔχε τὴν ἐλπίδα σου... » || (f. 47r, I col.) ἡ δέ τούτοις μηδὲν ἀποκριθεῖσα, ἐδέετο τοῦ ἁγίου Παγκρατίου· « ἐλέησον τὴν ἐν πολλῷ ἀγῶνι οὖσαν, ἅγιε Παγκράτιε, καὶ συγκαταρίθμησόν με τῇ ποίμνῃ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ». ὁ δὲ μακάριος σπλαγχνισθεὶς εἰσῆλθεν εἰς τὸ εὐκτήριον καὶ σταθεὶς ἐνώπιον τοῦ θυσιαστηρίου ἐποίησεν εὐχὴν ὑπὲρ αὐτῆς, ποιῶν τὴν ἐν Χριστῷ σφραγίδα, καὶ εὐθέως σὺν τῇ ἀφῇ τοῦ μεγάλου σταυροῦ ἐξέπεσαν τὰ τῶν φλυκταίνων ὕδατα καὶ ἐγένετο ἐν ῥώσει ἡ νόσος... ὁ οὖν μακάριος κατηχήσας αὐτὴν καὶ χρίσας τῷ ἁγίῳ ἐλαίῳ ἐβάπτισεν, καὶ ἐν τῷ συμπληρωθῆναι τὴν ἀπόθεσιν τῶν | (II col.) ἀμφίων, ἐχειροτόνησεν αὐτὴν διάκονα. αὕτη δὲ ἡ μακαρία κατὰ σάββατον ἐπλήρου τὴν καλλιεργίαν τοῦ εὐκτηρίου. ἣ καὶ μετωνομάσθη ὑπὸ τοῦ μακαρίου Βενεδίκτα...

f. 19v || Ἀγαθῇ προαιρέσει
ὑπὸ σοῦ παιδευθεῖσαι,
πάτερ Παγκράτιε,
Σεργία καὶ Σωσάννα
ἐνίκησαν Ἑλίδου
τὴν κακόνοιαν μέλπουσαι·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

Χεῖρα ὄρεξον, πάτερ,
βοηθείας τοῖς πίστει
ἐπιτελοῦσί σου
τὴν πανσέβαστον μνήμην,
διδούς σοι τῷ ποιμνίῳ
μελῳδοῦντι τὸν ἔλεον·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

Θεοτ. Ἡ τῆς Εὔας τὴν λύπην
εἰς χαρὰν τρεψαμένη,
μῆτερ τοῦ τόκου σου,
ἀνύψωσον τὸ κέρας,
ἁγνή, τῶν ὀρθοδόξων
καὶ κατάβαλε σύστημα
αἱρετιζόντων, μόνη
ἁγνὴ θεοκυῆτορ.

228 σεγία καὶ σουσάννα Di 236 τὴν πάνσεπτον σου μνήμην Di 241 Ἡ τὴν λύπην τῆς εὔας Di 243 μήτηρ τῶ τόκω σου Di 247 μόνη] εἰς σὲ Di 248 ἁγνὴ θεοκυῆτορ] θεοκυήτωρ μόνη Di

225-230 Cfr. commentarium p. 549 s.

244 Cfr. I Regn. 2,1.10 et similes locos

ᾠδὴ η'. *Ἰερουσαλὴμ ἡγιασμένης*
εὐγενεῖς ὄντες παῖδες ἐδείχθησαν,
οἱ τῶν ἐν αὐτῇ θείων θρησκευμάτων
μὴ λαβόντες λήθην ὀλόλιθον,
ἀλλὰ τὸ βαβυλώνιον πῦρ
ἑαυτοῖς εὐσεβοῦσι προξενήσαντες,
ἐν ᾧ δροσισθέντες ἔψαλλον·
« εὐλογεῖτε, τὰ ποιήματα πάντα, τὸν κύριον ».

Συναναχραθεὶς τοῖς ἀποστόλοις
διὰ πίστεως, πάτερ Παγκράτιε,
τούτων τῆς αὐτῆς δόξης ἠξιώθης
ἐπιπνοίᾳ ὄντως τοῦ πνεύματος,
καὶ τὰς ἐπουρανίους σκηνὰς
κατοικῶν, ἐποπτεύεις τοὺς ὑμνοῦντάς σε,
σώζων ἐκβοῶντας ἄληκτα·
« εὐλογεῖτε, τὰ ποιήματα πάντα, τὸν κύριον ».

Ταυρομενιτῶν τὸ μέγα κλέος,
μεγαλώνυμε πάτερ Παγκράτιε,
καὶ τῆς Σικελῶν νήσου συμμαχήτωρ,
ἀοράτως φάνηθι, σώζων με,
καὶ τοὺς ἐπιτελοῦντας τὴν σὴν
πρὸς θεὸν ἐκδημίαν διαφύλαττε,
νέμων τοῖς βοῶσιν ἴασιν·
« εὐλογεῖτε, τὰ ποιήματα πάντα, τὸν κύριον ».

Ὁ μυροσταγὴς καὶ φωτοβόλος
καὶ ἡδύπνοος τάφος σου, ἅγιε,
τοὺς εἰλικρινεῖ πίστει προσιόντας
τῇ ὀσμῇ τῆς τούτου ἐκπνεύσεως
ὡς μυρωδίας πέλων μεστός,

---

heirm. EE 233, n. 334, Andreae Πηροῦ vel Cretensis (?), tantum primum v. in Di patet heirm. 4 ὀλόλιθον] ἀθόλωτον Ec 6 εὐσεβοὺς Ec 8 post εὐλογεῖτε cetera om. Ec. vv. 255, 264, 272, 288 detruncant cdd. 265 Ὁ] Ἡ Ec φωτοβόλος] φωτοφόρος Di

ὑγιεῖς προεκπέμπεις, ὦ Παγκράτιε,
ὃν περικυκλοῦντες ψάλλομεν·
« εὐλογεῖτε, τὰ ποιήματα πάντα, τὸν κύριον ».

Σὺν τῷ θαυμαστῷ ἱερομύστῃ
Εὐαγρίῳ ὑμνείσθω ὁ Βονηφάτιος
καὶ Τατιανὸς ἅμα Νεοφύτῳ
Ἐλπιδίῳ καὶ Ἐπαφρόδιτος
καὶ Λυκαονίδης ὁ σοφὸς
σὺν Σωσάννᾳ, Βενεδίκτᾳ καὶ Σεργίᾳ,
Φοῖνιξ καὶ Ἑλένη Νίκων τε
καὶ Παυλίνη, ὧν ἐξάρχει ὁ μέγας Παγκράτιος.

20 θεοτ. || Σὺν τῷ Γαβριὴλ τῇ θεοτόκῳ
ἀσιγήτως τὸ « χαῖρε » βοήσωμεν,
ὅτι δι' αὐτῆς πλάνης λυτρωθέντες,
τὴν ζωὴν τὴν ἄληκτον ηὕραμεν
καὶ τὴν ἐν παραδείσῳ τρυφὴν
οἱ θνητοὶ ὡς ἀρχῆθεν ἀπελάβομεν,
ἐν ᾧ εἰσιόντες κράζομεν·
« εὐλογεῖτε, τὰ ποιήματα πάντα, τὸν κύριον ».

ᾠδὴ θ'. *Ἡ ἀνατραφεῖσα*
εἰς τὰ ἅγια τῶν ἁγίων
καὶ τεκοῦσα τὸ φῶς τῆς οἰκουμένης,
κεχαριτωμένη,
χαῖρε· ὁ κύριος μετὰ σοῦ.

Λύτρωσαι τὴν ποίμνην,
ὦ Παγκράτιε, ἣν ἐκτήσω
ἐκ παντοίας ἐπιβουλῆς τοῦ πέλας,

---

270 ὦ om. Di 274 βονηφάτιος cdd. 277 λυκαωνίδης cdd. 278 σουσάννα Di σεγία Di 279 τε] δε Di 282 post χαῖρε, πάντες add. Di 283 λυτρωθέντων Ec

heirm. θ' EE 229, n. 327 Andreae, integer invenitur in cdd. heirm 4-5: κεχαριτωμένη μήτηρ, / ὕμνοις τὸν τόκον σου μεγαλύνομεν EE ex v. 289 usque ad finem tantum ex parte legitur Di

ἀγαθοεργίας
ταύτην κράτυνον πάντοτε.

Ἴασαι τοὺς πόθῳ,
ὦ Παγκράτιε, ἐκτελοῦντας
τὴν ἡμέραν τῆς παγκλεοῦς σου μνήμης,
λώβης ἐκ παντοίας
τούτους, πάτερ, λυτρούμενος.

Ἄφεσιν πταισμάτων
ἀντιδίδου μοι ταῖς εὐχαῖς σου,
ἱεράρχα, ταῖς ἐκκλησίαις νέμων
βάσιμον κρηπῖδα,
πάτερ, τὴν τῶν εἰκόνων τιμήν.

Σῶσον τὸν λαόν σου,
ὁ θεὸς ἡμῶν, ταῖς πρεσβείαις
Παγκρατίου τοῦ ἱεροῦ ποιμένος,
κατ' ἐχθρῶν παρέχων
νίκας τῷ εὐσεβεῖ βασιλεῖ.

Τείχιζε τὴν πόλιν,
ἣν ἐπύργωσας σαῖς πρεσβείαις,
ἱεράρχα, λιμοῦ σεισμοῦ μαχαίρας
καὶ ἐπιδρομῆς
Ἀράβων ταύτην λυτρούμενος.

θεοτ. Ὄλεσον τὰ ἔθνη
τὰ τὸν πόλεμον συγκροτοῦντα,
θεοτόκε, καὶ κακοδόξων στίφη,
σκέπουσα ἡμᾶς
τοὺς πόθῳ ὑμνοῦντάς σου τὴν μορφήν.

301 τῇ ἐκκλησίᾳ Di 311 σεισμοῦ λιμοῦ μαχαίρας Di 318 τιμόντας Di

IN SANCTOS MARTYRES PATERMUTHIUM, COPRETEM, ALEXANDRUM

Synaxarium (*Selecta*) 807[55]-810[42]: Πατερμουθίου, Κόπρη καὶ Ἀλεξάνδρου. Οὗτοι κατὰ τοὺς χρόνους Ἰουλιανοῦ τοῦ παραβάτου ὑπῆρχον ⟨ἐν⟩ τῇ κατ' Αἴγυπτον ἐρήμῳ τὸν ἀσκητικὸν καὶ μονήρη βίον μετερχόμενοι. Πρὸς δὲ τὸν κατὰ Περσῶν πόλεμον ὁ Ἰουλιανὸς ἀπιών, ἐπεὶ τὰ κατὰ τοὺς ἁγίους ἔμαθεν, ἐκέλευσε παραστῆναι αὐτούς· καὶ δὴ παραστάντων καὶ τὸν Χριστὸν ὁμολογησάντων, ἠρώτησε τὸν Πατερμούθιον, ἐν ποίῳ χρόνῳ τῆς ἡλικίας ἐστί. Τοῦ δὲ εἰπόντος ἐν πέμπτῳ καὶ ἑβδομηκοστῷ, ἀποστρέψας εἰς τὸν Κόπρην, τὰς τῶν ἐτῶν περιόδους, αἷς συνέζησεν, ἀπαριθμῆσαι ἐκέλευσεν. Εἰπόντος δὲ αὐτοῦ τεσσαράκοντα καὶ πέντε ὑπάρχειν, τότε τὸν μὲν πρεσβύτερον ἔξω γενέσθαι προσέταξε. Παντοίαις δὲ κολακείαις καὶ ἀπάταις χρησάμενος καὶ προσθεὶς ἀπειλάς, ἔπεισε τὸν Κόπρην ἀρνήσασθαι τὸν Χριστὸν καὶ σέβας τοῖς εἰδώλοις προσνεῖμαι. Τοῦτο γνοὺς ὁ ἅγιος Πατερμούθιος, ἐδέετο τοῦ Θεοῦ ἐπιστρέψαι αὐτὸν ἐκ τῆς πλάνης καὶ μὴ συγχωρῆσαι διακενῆς τὸν ἐν τῇ ἀσκήσει κάματον γενέσθαι αὐτοῦ. Ὡς δὲ εἰσήχθη αὖθις πρὸς τὸν Ἰουλιανὸν καὶ εἶδε τὸν Κόπρην ἐν ἱματίοις λαμπροῖς παρεστηκότα, ταλανίσας αὐτὸν καὶ τῆς προτέρας διαγωγῆς καὶ τῶν μακρῶν νηστειῶν καὶ ἀγρυπνιῶν καὶ σχεδὸν τῆς ἀσωμάτου ζωῆς ἀναμνήσας εἰς κατάνυξιν ἤγαγεν. Ὃς εὐθὺς εἰς τὸν οὐρανὸν ἀναβλέψας· « Οὐκέτι, εἶπεν, Ἰουλιανίτης εἰμὶ ἀλλὰ δοῦλος ἀνάξιος τοῦ Χριστοῦ ». Ὁ δὲ τύραννος προσέταξε πυράγραν χαλκέως ἀνθρακωθεῖσαν τῇ γλώσσῃ προσενεχθῆναι αὐτοῦ· εἶτα εἰς ἐσχάραν βληθῆναι πυρός. Εἰς ἣν ἀπαγόμενος ἐδειλίασεν· ἀλλὰ ταῖς τοῦ ἁγίου Πατερμουθίου παραινέσεσιν ἀναρρωσθεὶς εἰσῆλθεν ἅμα αὐτῷ εἰς τὴν τοῦ πυρὸς ἐσχάραν. Ταύτης δὲ ψυχρανθείσης, αὖθις ἀναφθῆναι προσέταξε κάμινον καὶ εἰσαχθῆναι αὐτούς. Διαμείναντες δὲ καὶ ἐν αὐτῇ ἀπαθεῖς, ἐξεκαλέσαντο πρὸς τὴν εἰς Χριστὸν πίστιν τὸν στρατιώτην Ἀλέξανδρον· ὃς ἐπὶ τῆς ἐσχάρας τοῦ πυρὸς ἀλωβήτους διαφυλαχθέντας τούτους ἰδὼν πρῶτος αὐτῶν ὑπέδυ τὴν κάμινον τὸ τοῦ Χριστοῦ ἐπικαλούμενος ὄνομα. Ἐξαχθέντες οὖν ἐκεῖθεν τοὺς αὐχένας ἐτμήθησαν.

Vallic. gr. E 55 = Ec, ff. 20r-22v
Crypt. Δ.α. XI = Co, ff. 27-29
Sinait. gr. 624 = Σμ, ff. 33r-35
Sinait. gr. 626 = Σξ, ff. 52v-54v
Vatic. gr. 2308 = W, ff. 92r-94v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Ὠδὴν ἀθληταῖς ἀζύγοις ταύτην φέρω· Ἰωσήφ.

Ἦχος δ'.

ᾠδὴ α'. *Αἴσομαί σοι, κύριε ὁ θεός μου,*

* Ὤφθη ἡ πανέορτος ὑμῶν μνήμη
ἡλιακαῖς μαρμαρυγαῖς
τὸν κόσμον φωτίζουσα,
σεπτοὶ ὁσιομάρτυρες,
ἀγγέλων ἰσοστάσιοι.

f. 21 * ‖ Δακρύων τὸ πρότερον ἐπομβρίαις
τῶν ψυχικῶν ὑμῶν παθῶν
τὸν ῥύπον ἐκπλύναντες,
ἀθλήσεως τὸ δεύτερον
ἐν αἵματι ἐλούσασθε.

Ἤρθητε ἐκ δόξης εἰς θείαν δόξαν,
διπλοῦν ἀγῶνα ἀνδρικῶς
τελέσαντες, ἅγιοι,
διὸ διπλοῦν τὸν στέφανον
ἀξίως ὑπεδέξασθε.

---

tit. sigla Ἰωσήφ in margine refert Ec κανὼν τῶν ἁγίων πατερμουθίου καὶ κόπρι φέρων ἀκροστιχίδα ... Co, ubi in superiore linea legitur ἑσπ<ἑρᾳ> ψάλλομεν, quia hic cd. εἰς τὸν ὄρθρον refert canonem in S. Pancratium, Ὑπέρτιμον λίθον, ed. MR VI, 73: eundem canonem ante nostrum tradunt Σμ Σο W κανὼν ἕτερος τῶν ἁγίων πατερμουθίου καὶ κόπρη· ἀκροστιχὶς ... Σμ, qui tamen nomen Ἰωσήφ om. Τῇ αὐτῇ ἡμέρα· κανὼν εἰς τοὺς ἁγίους ὁσομάρτυρας πατερμουθίου (sic) καὶ κόπριν, φέρων ἀκροστιχίδα τήνδε ... Σξ, ubi sigla Ἰωσήφ in margine refertur Τῇ αὐτῇ ἡμέρα κανὼν W, qui acrostichidem et nomen auctoris om.

heirm. α' EE 103, n. 146, Germani 1-5 troparium, ut plurima alia ex hoc canone, ed. in An νγ' 4 ὁσιμάρτυρες W 6-10 An νγ' 7 ἡμῶν W 8 ἐκπλύνοντες Co vv. 9-10 διπλοῦν καὶ τῆς ἀθλήσεως / τὸν στέφανον ἐδέξασθε An (cfr. vv. 14-15) 11 εἰς] πρὸς Co 14 διὸ om. W τὸν om. Co 15 ἐκομίσασθε Co

θεοτ. * Νέκρωσον τὰ πάθη μου τῆς καρδίας
ἡ τὴν ζωὴν ἡμῶν Χριστὸν
ἀρρήτως κυήσασα,
παρθένε ἀπειρόγαμε,
ἐλπὶς τῶν προστρεχόντων σοι.

ᾠδὴ γ'. *Ὅτι στεῖρα ἔτεκεν*

* Ἀρνησάμενοι κόσμον,
τῷ δι' ἡμᾶς ἐν τῷ κόσμῳ
διὰ σαρκὸς ἐλθόντι
ἠκολουθήσατε Χριστῷ·
διὸ τὴν ὑπερκόσμιον,
πανόλβιοι,
δόξαν ἐκληρώσασθε.

* Θυρεῷ εὐσεβείας
καθοπλισθέντες καθεῖλαν
τὰς παρατάξεις πάσας
οἱ ἀθληταὶ τοῦ δυσμενοῦς
καὶ νικηταὶ γενόμενοι,
κραυγάζουσιν·
« ἅγιος εἶ, κύριε ».

Λογισμῷ εὐσεβείας
ἀποσκοποῦντες τὰ θεῖα,
τὴν ἀλογίαν πᾶσαν
κατέβαλον οἱ ἀθληταὶ
τοῦ δυσμενοῦς προστάττοντος

16-20 θεοτ. An νγ' 16 μου τῆς καρδίας] τὰ τῆς ψυχῆς μου An

heirm. γ' EE 97, n. 138, Joannis 21-27 troparium ed. in An νγ' 21 Κόσμον ἀρνησάμενοι An 23 διὰ σαρκὸς] σαρκὶ θεῷ An 28-34 An νγ' 28 Εὐσεβείας θώρακι An 29 καθεῖλον W An vv. 32-34 νέμειν θεοῖς προστάττοντος ἀσεβέσι / σέβας ἀλογώτατον Co (cfr. vv. 39-41) v. 34 δόξα σοι φιλάνθρωπε Σμ W vv. 39-41 καὶ νικηταὶ γενόμενοι / κραυγάζουσιν / ἅγιος εἶ κύριε Co (cfr. vv. 32-34)

---

21 Cfr. Tit. 2,12

νέμειν σέβας
θεοῖς ἀλογώτατον.

θεοτ. * Ἡ σωτήριος πύλη,
τῆς μετανοίας μοι πύλας
ὡς ἀγαθὴ προστάτις
διάνοιξον καὶ ἐκ πυλῶν
τῆς ἁμαρτίας ῥῦσαί με,
φρουροῦσά με
θείᾳ δυναστείᾳ σου.

Κάθισμα.

Ἦχος α΄. *Τοῦ λίθου σφραγισθέντος*

Πυρὸς νῦν θερμοτέραν
τὴν προαίρεσιν ἔχοντες,
πυρὶ προσομιλοῦντες
οὐκ ἐφλέχθητε, ἅγιοι,
ἀλλ᾽ ὤφθητε ὡς εὔριζος χρυσός,
τοῦ πνεύματος τὴν δρόσον δαψιλῶς
οὐρανόθεν λαβόντες
ὡς τοῦ Χριστοῦ ἀθλοφόροι ἀήττητοι·
δόξα τῷ ἐνισχύσαντι ὑμᾶς,
δόξα τῷ στεφανώσαντι,
δόξα τῷ ἐνεργοῦντι δι᾽ ὑμῶν
πᾶσιν ἰάματα.

42-48 θεοτ. An νγ΄ 42 Πύλη ἡ σωτήριος An 44 προστάτης Co Σμ 47 φρουροῦσά με] φρουρήσασα An
κάθ. om. Co Σξ, ante canonem referunt Σμ (f. 31v) et W (ff. 89v-90)
heirm. καθ. HR 234 1 νῦν] ὡς Σμ W 5 εὐριζότερος W 9 ἡμᾶς Ec v. 12 om. W

42 Ez. 44,2 43-46 Cfr. Matth. 7,13-14

ᾠδὴ δ΄. *Δι᾽ ἀγάπησιν, οἰκτίρμον, τῆς σῆς εἰκόνος*

* Τῇ ἀγάπῃ πυρακτούμενοι τοῦ δεσπότου,
τὰς πυρακτώσεις ἅμα
τῆς βραζούσης καμίνου,
μάρτυρες, ὑπήλθετε
Χριστὸν μεγαλύνοντες.

Ἀπεμάρανας τὰ πάθη δι᾽ ἐγκρατείας,
ἀειθαλὲς δὲ δένδρον,
Πατερμούθιε, ὤφθης,
φέρων ἀμαράντινον
καρπὸν τῆς ἀθλήσεως.

f. 21v ‖ Ἱεραῖς σου νουθεσίαις ἀνεκαλέσω
τὸν εἰς βυθὸν ἀπάτης
κυλισθέντα ἀφρόνως
Κόπριν, Πατερμούθιε,
μεθ᾽ οὗ χαίρων ἤθλησας.

θεοτ. * Σωματοῦται ἐκ λαγόνων σου θεὸς λόγος,
θεοχυῆτορ κόρη,
καὶ ὁρᾶται ὡς βρέφος,
πᾶσιν ἀναγέννησιν
φρικτὴν παρεχόμενος.

ᾠδὴ ε΄. *Σύ, κύριέ μου, φῶς*

Ἀδίκῳ βασιλεῖ
πειθαρχήσας, ἐξένευσας
τῆς κρείττονος, μάρτυς Κόπρι,

heirm. δ΄ EE 97, n. 138, Joannis 49-53 An νδ΄ v. 51 τῶν ὀδυνῶν ἀνδρείως An 52 ὑπήλθατε Ec, ἠνέγκατε An 54 Ὑπεμάρανας W 55 δὲ] τε W 62 κόπρην W 64-68 θεοτ. An νδ΄
heirm. ε΄ EE 94, n. 133, Joannis 71 τῆς] τὴν W κόπρη W

55-58 Cfr. Matth. 7,17-19; 12,33; Luc. 6,43-44

καὶ ἀμώμου θρησκείας,
ἀθλήσας δὲ δεδόξασαι.

Ζεῦγος οἱ ἀθληταὶ
τὸν σταυρὸν ὥσπερ ἄροτρον
ἐφέλκοντες, μαρτυρίου
τὸν πολύφορον στάχυν
ἐνθέως ἐγεώργησαν.

* Ὑψούμενα σφοδρῶς
τῶν βασάνων τὰ κύματα
οὐκ ἴσχυσαν τῶν μαρτύρων
τὰς ὁλκάδας βυθίσαι
κυβερνωμένας πνεύματι.

θεοτ. * Γεννώμενος ἐκ σοῦ
ὁ παντέλειος ἄνθρωπος
ἐθέωσε τὴν φθαρεῖσαν
τῶν ἀνθρώπων οὐσίαν,
παρθένε ἀπειρόγαμε.

ᾠδὴ ϛʹ. *Ἐβόησε*
προτυπῶν τὴν ταφὴν τὴν τριήμερον

Οὐκ εἴασας
σοῦ τὸν ἄρνα τοῦ λύκου κατάβρωμα
χρηματίσαι
ἕως τέλους, σοφὲ Πατερμούθιε,
ἀλλ' ἐκσπάσας τοῦτον,
ὡς ποιμὴν τῷ θεῷ προσενήνοχας.

---

72 θρησκείας] λατρείας Σξ in margine, pro verbo in textu deleto 73 δὲ om. W 78 γεωργήσασαν W 79-83 An νδʹ 79 Ὑψούμενας W 81 ἴσχυσε Σμ W An τῶν] τῷ Σμ 84-88 θεοτ. An νδʹ 84 Γενόμενος Σμ Σξ 86-87 τὴν ἀνθρώπων / τὴν φθαρεῖσαν W

heirm. ϛʹ EE 125, n. 172, anonymus 89 Οὐκ ἔσας W

---

77 Cfr. Marc. 4,28 89-94 Cfr. Joh. 10,11 ss.; Matth. 18,12 ss.; Luc. 15,4 ss.

* Ἰσότιμοι
καὶ τὴν ἄσκησιν ὡς καὶ τὴν ἄθλησιν
πεφηνότες,
τῶν ἐπάθλων ἐπίσης ἐτύχετε,
ἀθλοφόροι, ὅθεν
σὺν ἀγγέλοις ἀεὶ ἐπαγάλλεσθε.

* Στρεβλούμενοι
καὶ σφοδραῖς ἀλγηδόσι βαλλόμενοι,
τῇ ἀγάπῃ
τοῦ Χριστοῦ ἀταπείνωτοι ὤφθητε·
τὰς ἡμῶν ὀδύνας
διὰ τοῦτο, σοφοί, θεραπεύετε.

θεοτ. * Τὸ « χαῖρέ » σοι
ἀσιγήτως βοῶμεν, πανάχραντε,
τὴν χαρὰν γὰρ
τῶν ἁπάντων Χριστὸν ἀπεκύησας
καὶ τὴν λύπην πᾶσαν
τῆς προμήτορος Εὔας ἀπήλασας.

Κάθισμα.

Ἦχος δʹ. *Ταχὺ προκατάλαβε*

* Ἀσκήσει τὸ πρότερον
πάθη νεκρώσαντες,
ἀθλήσει τὸ δεύτερον
ἐχθρὸν καθείλατε
τὸν πᾶσι πολέμιον,

95-100 An νδʹ 96 καὶ τὴν ἄθλησιν ὡς καὶ τὴν ἄσκησιν Co 97 γεγονότες An 100 σὺν] τοῖς An συναγάλλεσθε An 101-106 An νδʹ 101 Τυπτόμενοι An 105 ὑμῶν W 107-112 θεοτ. An νδʹ 108 ἀηττήτως Σμ

κάθ., quod ante canonem refert Σξ (f. 48v) et om. Σμ W, ed. in An νγʹ post odem γʹ

heirm. καθ. HR 63 4 καθείλατε]ὠλέσατε Co, καθείλετε Σξ An

f. 22 ‖ μάρτυρες θεοφόροι,
τῶν ἀγγέλων πολῖται,
ὅθεν κληρονομεῖτε
τὴν αἰώνιον δόξαν·
διὸ ταῖς ἱκεσίαις ὑμῶν
σώσατε πάντας ἡμᾶς.

ᾠδὴ ζ'. *Ἀβραμιαῖοι ποτὲ*

Ἀποσκοπήσας ὑμῶν
τοὺς ἱεροὺς ἀγῶνας,
τῆς ἀνιέρου πλάνης πέφευγεν
ὁ θεῖος Ἀλέξανδρος
καὶ ἱερὸν ὡς θῦμα
κυρίῳ προσηνέχθη.

Ὑπὸ τοῦ θείου φωτὸς
καταυγασθείς, παμμάκαρ,
τῆς ἀθεΐας σκότος ἔλιπες
κραυγάζων, Ἀλέξανδρε·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

Τὸ τῆς καμίνου εἶδος
καθυπελθὼν προθύμως,
οὐ κατεφλέχθης τελειούμενος
καὶ μέλπων, Ἀλέξανδρε·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

---

6 θεοφόροι] ἀθλοφόροι An   7 σὺν πολῆται ἀγγέλων Co   9 αἰώνιον] ἀΐδιον Σξ An

heirm. ζ' CPC 178, Cosmae: ab illo ed. in EE 102, n. 144, Cosmae, differt   115 πέφυγεν Σξ, ἀπέφευγεν W   121 τῆς om. W   ἔλειπες Ec, ἔλυσας W   vv. 123-124 varie intermittunt cdd.   127 κατεφλέχεις W   128 καὶ μέλπων] κραυγάζων Co   vv. 129-130 varie intermittunt Ec Σμ Σξ W

117-118 Cfr. I Petr. ep. 2,5

θεοτ. Ἡ κιβωτὸς τοῦ νόμου
προδιετύπου πάλαι
τὴν σὴν γαστέρα μάννα φέρουσαν
Χριστὸν τὴν τροφὴν ἡμῶν,
θεοχυῆτορ κόρη
ἀεὶ δεδοξασμένη.

ᾠδὴ η'. *Τὸν ἐν τῷ σταυρῷ*

* Νέκρωσιν παθῶν
ἐνδεδυμένοι,
ἀπενεκρώσατε ἐχθρὸν
βοῶντες, ἀθλοφόροι·
« παῖδες, ὑπερυψοῦτε Χριστὸν
τὸν θεὸν ἡμῶν
εἰς τοὺς αἰῶνας ».

* Φέγγει νοητῷ
πεπυρσευμένοι,
τῆς ἀθεΐας τὴν ἀχλὺν
ἐλύσατε βοῶντες·
« παῖδες, ὑπερυψοῦτε Χριστὸν
τὸν θεὸν ἡμῶν
εἰς τοὺς αἰῶνας ».

---

132 προδ. πάλαι] ἰδοὺ προδιετύπου Co   προδιετύποι Σμ W   133 γαστέραν Σξ   φέρουσα W   135 κόρη] μόνη Co Σμ W   136 ἀεὶ δεδ.] ἁγνὴ εὐλογημένη Co

heirm. η' MR I, 576 integer invenitur in Co: Τὸν ἐν τῷ σταυρῷ / σαρκὶ (σαρκὶ om. MR et metrum troparii respuit) προσηλωθέντα / καὶ ὑποδείξαντα (ἀποδείζαντα MR) ἡμῖν / τρίβον (ὅπλον MR) εἰς σωτηρίαν / παῖδες ὑπερυψοῦτε / Χριστὸν τὸν θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας   137-143 An νε'   139 ἀπὸ νεκρώσατε W   141, 148, 155 pro ὑπερυψοῦτε tradit W εὐλογεῖτε et semper post hoc verbum troparium interrumpit   141-143 post ὑπερυψοῦτε cetera om. Co Σμ Σξ   142-143 post θεὸν cetera om. Ec   144-150 An νε'   148-150 post ὑπερυψοῦτε cetera om. Ec Σμ Σξ   149-150 post τὸν cetera om. Co

---

131 Ex. 25,10   133-134 Cfr. Ex. 16,32-35

* Ἔστητε θεὸν
ὁμολογοῦντες
καὶ κατερράξατε θεοὺς
ἀθέων μελῳδοῦντες·
« παῖδες, ὑπερυψοῦτε Χριστὸν
τὸν θεὸν ἡμῶν
εἰς τοὺς αἰῶνας ».

Ῥώμῃ θεϊκῇ
ὠχυρωμένοι,
τὰ ὀχυρώματα ἐχθροῦ
καθείλετε βοῶντες·
« παῖδες, ὑπερυψοῦτε Χριστὸν
τὸν θεὸν ἡμῶν
εἰς τοὺς αἰῶνας ».

θεοτ. * Ὤφθης οὐρανῶν
ὑψηλοτέρα,
τὸν ἀνυψώσαντα ἡμᾶς
τεκοῦσα, θεοτόκε,
ὃν ὑπερυψοῖ πᾶσα πνοὴ
ὡς θεὸν ἡμῶν
εἰς τοὺς αἰῶνας.

151-157 An νε′ 151 θεῷ W 153 θεοὺς] ἐχθροὺς Co An 154 ἀθέων] ἀθέτους Co, ἐνθέως An vv. 155-157 om. Σμ post ὑπερυψοῦτε sermonem detruncant Ec Σξ v. 157 om. Co 158-164 pro hoc aliud ineditum troparium substituit W:

Ῥήματα ζωῆς
ἐμφορηθέντες
παρὰ τῆς θείας καὶ σεπτῆς
τριάδος, ἀθλοφόροι,
παῖδες εὐλογεῖτε ⟨Χριστὸν
τὸν θεὸν ἡμῶν
εἰς τοὺς αἰῶνας⟩.

159 ἰσχυρομένοι Co 161 καθείλατε Σξ 162-164 post παῖδες cetera om. Σμ, post ὑπερυψοῦτε Ec Co Σξ 165-171 θεοτ. ed. in An νέ 168 θεοτόκε] θεὸν λόγον Co 169 ὑπερυψοῖ] ὑμνεῖ An 171 αἰῶνας om. Ec

ᾠδὴ θ′. *Εὖα μὲν τὸ τῆς παρακοῆς*

Ἰδεῖν ἐφιέμενοι θεοῦ
τὴν ἄρρητον εὐφροσύνην,
ἀξιάγαστοι,
χαίροντες τούτῳ τὸν αὐχένα
ἐκλίνατε καὶ τέλος μακάριον,
σοφοί, τὸ διὰ ξίφους ἐδέξασθε,
ὅθεν ἀξίως μακαρίζεσθε.

* Ὡς δύο φωστῆρες νοητοὶ
φωτίζετε, ἀθλοφόροι,
τὴν ὑφήλιον
φέγγει θαυμάτων παραδόξων
καὶ σκότος νοσημάτων διώκετε
καὶ νέφη πειρασμῶν ἀπελαύνετε,
ὅθεν ἐν πίστει μακαρίζεσθε.

* Συνήφθητε τάξεσιν, σοφοί,
γηθόμενοι τῶν ἀγγέλων,
f. 22v ‖ τὸν ἰσάγγελον
βίον ἐν γῇ πολιτευθέντες,
μαρτύρων ὁμηγύρει εὐφραίνεσθε
καὶ νῦν τῶν πρωτοτόκων φαιδρύνετε
τὴν ἐκκλησίαν, ἀξιάγαστοι.

Ἡ μνήμη ὑμῶν ἡ φωταυγὴς
ἐξέλαμψε τοῦ ἡλίου
τηλαυγέστερον

---

heirm. θ′ EE 98, n. 139, Joannis vel Stephani 172 ἐμφιέμενοι W 174 ἀξιάγαστοι] καὶ τερπνότητα Σξ 179-185 An νε′ 179 δύο] ὄντες An 181 τὴν ὑφήλιω Co 184 νέφει An 185 πίστει μακα deletum in Ec 186-192 An νε′ 187 γηθόμενοι τῶν deletum in Ec 189 ἐπὶ γῆς W 191 πρωτοτόκων φαιδρύνετε] προφαίδρων W

191-192 Hebr. 12,23

πάντας πιστοὺς φωταγωγοῦσα,
ἐν ᾗ περιχαρῶς ἑορτάζομεν,
δεόμενοι πιστῶς· « μνημονεύσατε
τῶν μεμνημένων ὑμῶν πάντοτε ».

θεοτ. * Φωτὸς τοῦ ἐν σοὶ μαρμαρυγαῖς,
θεόνυμφε, τὴν ψυχήν μου
φωταγώγησον,
κείμενον βόθρῳ ἀπωλείας
ἀνάστησον, ἐχθροὺς καταράσσουσα
τοὺς θλίβοντας ἀεὶ τὴν καρδίαν μου
καὶ πρὸς τὰ πάθη συνωθοῦντάς με.

---

197 ἑορτάζοντες Σμ Σξ W 198 δεόμεθα Σμ Σξ W 199 πάντοτε] ἅγιοι Σμ Σξ W 200-206 θεοτ. ed. in An νε' et alibi: cfr. IHG V. 1,46 203 κειμένην An ἀπωλείας] ἀμελείας Co 206 συνωθοῦντάς με] ὀλισθήσασαν Ec, συνωθοῦντα με W

IN SANCTAM EUPHEMIAM MARTYREM ET IN DEFINITIONEM FIDEI CHALCEDONENSEM

Synaxarium 811-813: Μνήμη τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος τοῦ Χριστοῦ Εὐφημίας τῆς πανευφήμου, καὶ ἡ σύναξις τοῦ ὅρου τῆς πίστεως τῶν ἁγίων ἑξακοσίων τριάκοντα πατέρων, τῶν ἐν Χαλκηδόνι συνελθόντων. Ἰστέον οὖν ὅτι ἡ μὲν καλλίνικος μάρτυς ὑπῆρχε κατὰ τοὺς καιροὺς Διοκλητιανοῦ καὶ Πρίσκου ἀνθυπάτου Εὐρώπης πόλεως Χαλκηδόνος, θυγάτηρ οὖσα Φιλόφρονος καὶ Θεοδωρησιανῆς. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν διαβληθεῖσα, τροχοῖς καὶ πυρὶ προσπαλαίσασα, ἔτι δὲ καὶ μηχαναῖς τισιν ἑτέρων κολαστηρίων, καὶ λέουσιν ἐκδοθεῖσα βορὰ καὶ ἀλώβητος μείνασα, ἐν αὐτῷ τῷ θεάτρῳ τὴν ψυχὴν τῷ Θεῷ παρατίθησι, καὶ κατατίθεται ἐν λάρνακι ὑπὸ τῶν οἰκείων τῆς πίστεως. Μετὰ δὲ πλείστου χρόνου παραδρομήν, ὅτε καὶ τὰ τῆς εὐσεβείας ἦν ἐν πλατυσμῷ, Θεοδοσίου υἱοῦ Ἀρκαδίου τὰ σκῆπτρα ἰθύνοντος, γέγονέ τι τοιόνδε τεράστιον. Εὐτυχής τις μοναχὸς καὶ πρεσβύτερος ἀρχηγὸς αἱρέσεως κατέστη λέγων τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μιᾶς φύσεως εἶναι καὶ μιᾶς ἐνεργείας· ὃς καὶ καθαιρεῖται ὑπὸ Φλαβιανοῦ τῆς Κωνσταντινουπόλεως προέδρου καὶ τῶν λοιπῶν ὀρθοδόξων. Ὁ δὲ Εὐτυχὴς χρησάμενος βοηθοῖς τοῖς τοῦ βασιλέως ἀθέοις εὐνούχοις οὐκ ἐπαύσατο στασιάζειν καὶ ἐνέδρας ποιεῖν, μέχρις οὗ Θεοδόσιος τῶν τῇδε μετέστη. Ἐπεὶ δὲ τὴν βασιλείαν διεδέξατο Μαρκιανός, κελεύει γενέσθαι σύνοδον· ὅθεν συνήχθησαν ἐπίσκοποι τὸν ἀριθμὸν ἑξακόσιοι τριάκοντα. [Ἀμφότεροι δὲ κατασκευάσαντες τόμους δύο, τῶν τε ὀρθοδόξων καὶ τῶν ἑτεροδόξων, καὶ διανοίξαντες τὴν λάρνακα τῆς πανευφήμου, ἐπὶ τοῦ ταύτης στήθους σφραγίσαντες ἔθηκαν, καὶ μετὰ ῥητὰς ἡμέρας εὐξάμενοι καὶ ὑπανοίξαντες εἶδον καὶ ἐξέστησαν. Ἐθεάσαντο γὰρ τὸν μὲν τῶν αἱρετικῶν τόμον ὑπὸ τοὺς πόδας τῆς ἁγίας ἐρριμμένον, τὸν δὲ τῶν ὀρθοδόξων ταῖς τιμίαις αὐτῆς χερσὶ κατεχόμενον. Τούτου δὲ γενομένου, ἐξέστησαν ἅπαντες ἰδόντες τὸ τοιοῦτον θαῦμα· καὶ ἐπὶ πλεῖστον στηριχθέντες τῇ πίστει ἐδόξασαν τὸν Θεόν, τὸν ποιοῦντα καθ' ἑκάστην μεγάλα παράδοξα πρὸς ἐπιστροφὴν τῶν πολλῶν (*)] Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῆς μαρτυρείῳ, τῷ ὄντι ἐν τοῖς Ἀντιόχου, πλησίον τῶν Λαύσου.

Vallic. gr. E 55	= Ec,	ff. 26-31
Sinait. gr. 625	= Σν,	ff. 38-44v
Crypt. Δ.α. XI	= Co,	ff. 35-41
Sinait. gr. 627	= Σο,	ff. 32-35
Crypt. Δ.α. XXIII	= Cn,	ff. 94v-96
Patm. 868	= Πq,	pp. 156-165

(*) De hoc miraculo cfr. commentarium pp. 559-562.

Canon secundum traditionem Vallic. gr. Ε 55 = Ec, ff. 26-31

Ὁ κανών (*), ποίημα Ἀνδρέου Κρήτης.

Ἦχος δʹ.

ᾠδὴ αʹ. *Ἅρματα Φαραὼ*

* Σήμερον, οἱ πιστοί,
ἑορτάσωμεν φαιδρῶς·
πάντας γὰρ προτρέπεται
τῆς πανευφήμου ἡ μνήμη,
ἣν πνευματικῶς συνδράμωμεν
πανηγυρίσαι τοῖς ᾄσμασιν.

Ὅπλῳ τῷ τοῦ σταυροῦ
περιφράξασα τὸν νοῦν,
πανεύφημε ἔνδοξε,
δι' εὐτολμίας ἀντέστης
πᾶσι τοῖς ἀθέοις δόγμασι
τοῦ δολεροῦ πολεμήτορος.

* Στάδιον φοβερὸν
διανύσασα, σεμνή,
τὸν δόλιον ᾔσχυνας,
τοῖς αἰκισμοῖς ἐναθλοῦσα·
θῆρες γὰρ ἐν σοὶ τεθήπασι
καὶ τοῦ ἐχθροῦ κατεσβέσθη τὸ πῦρ.

(*) Canon ex parte ed. in *Ἀκολουθία τῆς Ἁγίας Ἐνδόξου Μεγαλομάρτυρος καὶ Πανευφήμου Εὐφημίας σὺν τῇ τῆς Ὁσίας Θεοφάνους τῆς Βασιλίδος*, ἐν Κωνσταντινουπόλει, 1857, 29-34: huius editionis varias lectiones litteris *ak* indicamus

tit. ποίημα ἀνδρέου κρήτης in margine add. Ec

heirm. αʹ EE 104, n. 147, Andreae vv. 1-6, 13-60, ed. in *ak* 29-30
1 οἱ om. *ak* 5 συνδράμωμεν] τοῖς ᾄσμασι *ak* Σν Cn 6 τοῖς ᾄσμασιν] συνδράμωμεν *ak* Σν, σπουδάσωμεν Cn 9 ἔνδοξε πανεύφημε Co 18 τῶν ἐχθρῶν *ak* Σν Cn

* Ξένον ὡς ἀληθῶς
θαῦμα βλέπομεν ἐν σοί,

---

19 Σήμερον ἀληθῶς *ak*

---

19 ss. Evagrii, *Hist. Eccl.* II, 3, ed. Bidez-Parmentier, London 1898, 40-42:

Καὶ ἃ μὲν ὑπὸ τῆς παναγίας ἐπί τισι χρόνοις θαυματουργεῖται, πᾶσι Χριστιανοῖς ἔκδηλα. Πολλάκις γὰρ ἢ τοῖς κατὰ καιρὸν τὴν αὐτὴν ἐπισκοποῦσι πόλιν ὄναρ ἐπιστᾶσα διακελεύεται ἢ καί τισι τῶν ἄλλως ἐς βίον ἐπισήμων, παραγινομένοις αὐτῇ κατὰ τὸ τέμενος τρυγᾶν. Ὅπερ ἐπειδὰν τοῖς τε βασιλεῦσι τῷ τε ἀρχιερεῖ καὶ τῇ πόλει κατάδηλον ᾖ, φοιτῶσι κατὰ τὸν νεὼν οἵ τε τὰ σκῆπτρα οἵ τε τὰ ἱερὰ καὶ τὰς ἀρχὰς διέποντες ἅπας τε ὁ λοιπὸς ὅμιλος μετασχεῖν τῶν τελουμένων βουλόμενοι. Πάντων τε οὖν ὁρώντων ὁ τῆς Κωνσταντίνου πρόεδρος μετὰ τῶν ἀμφ' αὐτὸν ἱερέων εἴσω τῶν ἀνακτόρων χωρεῖ, ἔνθα τὸ λελεγμένον μοι πανάγιον ἀπόκειται σῶμα. Ἔστι δέ τι κλειθρίδιον μικρὸν κατὰ τὴν αὐτὴν σορὸν ἐν τῷ λαιῷ μέρει θύραις μικραῖς κατησφαλισμένον, ὅθεν σίδηρον ἐπιμήκη κατὰ τὰ πανάγια λείψανα σπόγγον περιαρτήσαντες ἐπαφιᾶσι, καὶ τὸν σπόγγον περιδονοῦντες ἐς ἑαυτοὺς τὸν σίδηρον ἀνέλκουσιν αἱμάτων πλήρη θρόμβων τε πολλῶν. Ὅπερ ἐπὰν ὁ λεὼς ἴδοι, εὐθέως προσεκύνησε τὸν θεὸν γεραίρων. Τοσαύτη δέ γε καθέστηκε τῶν ἐκφερομένων ἡ πληθύς, ὥστε καὶ τοὺς εὐσεβεῖς βασιλεῖς καὶ πάντας τοὺς ἀλιζομένους ἱερέας καὶ μὴν καὶ πάντα τὸν ἀθροιζόμενον λεὼν πλουσίως τῶν ἀναδιδομένων μεταλαμβάνειν, ἐκπέμπεσθαί τε καὶ ἀνὰ τὴν ὑφήλιον πᾶσαν τῶν πιστῶν τοῖς βουλομένοις, καὶ διὰ παντὸς τούς τε θρόμβους σώζεσθαι τό τε πανάγιον αἷμα, μηδαμῶς ἐς ἑτέραν μεταχωροῦν ὄψιν. Ἅπερ θεοπρεπῶς τελεῖται, οὐ κατά τινα διωρισμένην περίοδον, ἀλλ' ὡς ἂν ἡ τοῦ προεδρεύοντος βιοτὴ καὶ ἡ τῶν τρόπων σεμνότης βούλεται. Φασὶ δ' οὖν ὅτε μὲν τῶν εὐσχημόνων τις κυβερνῴη καὶ ταῖς ἀρεταῖς ἐπίσημος, τοῦτο τὸ θαῦμα καὶ μάλα συχνῶς γίγνεσθαι· ὅτε δὲ τῶν οὐ τοιούτων, σπανίως τὰς τοιαύτας θεοσημείας προϊέναι. Λέξω δέ τι, ὅπερ οὐ χρόνος, οὐ καιρὸς διατέμνει, οὐδὲ μὴν πιστοῖς τε καὶ ἀπίστοις διακέκριται, πᾶσι δὲ ἐξ ἴσης ἀνεῖται· ὅταν ὧδε τοῦ χώρου τις γένηται ἔνθα ἡ τιμία σορὸς ἐν ᾗ τὰ πανάγια λείψανα, ὀδμῆς εὐώδους ἐμπίπλαται πάσης συνήθους ἀνθρώποις ὑπερτέρας. Οὐδὲ γὰρ τῇ ἐκ λειμώνων ἀθροιζομένῃ παρέοικεν, οὐδέ γε τῇ ἔκ τινος τῶν εὐωδεστάτων ἀναπεμπομένῃ, οὐδὲ οἵαν μυρέψης ἐργάσαιτο· ξένη δέ τις καὶ ὑπερφυὴς ἐξ αὐτῆς παριστᾶσα τῶν ἀναδιδόντων τὴν δύναμιν.

Theophylacti Simocattae, *Hist.* VIII, 14, ed. C. De Boor, Lipsiae 1887, 311-312.

Μὴ παραδράμοι δὲ τοὺς φιλοΐστορας καὶ τὰ κατὰ τὴν Εὐφημίαν τὴν μάρτυρα παραδόξως συμβεβηκότα κατ' ἐκεῖνο καιροῦ, ἀλλά τι μικρὸν παρεκτείνωμεν τὸν λόγον· τὰ γὰρ θείας ἐλλάμψεως διηγήματα τετευχότα πολλὴν ταῖς ψυχαῖς τῶν ἀκουόντων τὴν παρ' ἑαυτῶν φιλοτιμοῦνται ὠφέλειαν. Χαλκηδὼν πόλις καθίδρυται ἐπὶ στόματος Πόντου, ἐς τὸ ἀντιπέρας τοῦ τῶν Βυζαντίων πολίσματος. ἐν ταύτῃ νεὼς ἵδρυται Εὐφημίας τῆς μάρτυρος, ἔνθα πρεσβύτης λόγος καθέστηκε τὸ πανίερον σῶμα ἐπὶ σηκῷ καθεστάναι τῆς μάρτυρος. γίνεται τοιγαροῦν καθ' ἕκαστον ἐνιαυτὸν κατὰ τὴν ἡμέραν τοῦ κατ' αὐτὴν μαρτυρίου σημεῖον παραδοξότατον καὶ τοῖς μὴ τεθεαμένοις συλλήβδην εἰπεῖν ἀπιστότατον διὰ τὴν ὑπεροχὴν τῆς θείας ἐνεργείας ἐκείνης. τετρακοσίοις γὰρ ἤδη που ἐνιαυτοῖς ἐν τῷ τάφῳ ἐγκειμένου τοῦ σώματος, κατὰ τὴν προαγορευθεῖσαν ἡμέραν ἐπ' ὄψεσι τῶν

βλύζουσαν, πανεύφημε,
τὴν τῶν λειψάνων σου θήκην
αἵματα δι' ὧν τὰ δόγματα
τῆς ἀληθείας κρατύνονται.

f. 26v * || Σήμερον οἱ λαοί,
τῶν λειψάνων τῇ σορῷ
πίστει παριστάμενοι,
τῶν ἰαμάτων τὴν χάριν
ὥσπερ ἐκ πηγῆς, πανεύφημε,
εἰλικρινῶς ἀρυόμεθα.

* Σήμερον ἡ σορὸς
ὥσπερ νέα κιβωτὸς
δείκνυται τῆς μάρτυρος,
οὐ τὸν γραπτὸν ἡμῖν νόμον,
ἀλλὰ τὸν τῆς θείας χάριτος
πνευματικῶς προσκομίζουσα.

* Δόγματα ἀληθῆ
ὥσπερ φύλαξ ἀψευδὴς
ἐδέξω, πανεύφημε,
τῶν διδασκάλων τὸν ὅρον
ἄσυλον αὐτὸν φυλάξασα
ἐσφραγισμένον τῷ αἵματί σου.

* Σήμερον νοητῶς
ὡς ἐν ἄλλῃ 'Ερυθρᾷ

---

23 αἵματι *ak* 24 κρατύνεται *ak* 35 χάριτος] πίστεως Co 37 ἀληθῆ] εὐσεβῆ Co 38 ἀψευδὴς] ἀληθῶς *ak*, ἀληθὴς Σν Co 42 ἐσφραγ. . . . σου] εὐφραινομένων τῷ πνεύματι *ak* σου om. Co 44 ὡς] ὥσπερ *ak*

ὄχλων ὁ τῆς ἱερατικῆς τῶν αὐτόθι προεστὼς ἐκκλησίας σπόγγοις ἀπὸ σώματος τεθνεῶτος πηγὰς αἱμάτων ἀρύεται· καὶ ἴδοις ἂν ὡς ἀπό τινος σώματος νεοσφαγοῦς ἰχῶρσι τραυμάτων ἀναμεμιγμένα τὰ αἵματα, μύροις συγκεκραμένα αὐτοφυέσι τισίν, καὶ τούτων τὰς διανομὰς ἐπὶ σκευῶν ἐξ ὑέλου πεποιημένων μικρῶν τοῖς ὄχλοις τὸν ἱερέα ποιούμενον.

---

32 Cfr. Ex. 25,10 44-45 Cfr. Ex. 14,23-28

βυθίζεται Αἴγυπτος
καὶ τὸ αἰγύπτιον δόγμα,
ἥτις 'Ερυθρὰ τοῖς αἵμασι
τῆς πανευφήμου παρείκασται.

τριαδ. * Ἄναρχος ὁ πατὴρ
καὶ ἀγέννητος ἀεί,
ὁ λόγος συνάναρχος
καὶ γεννητὸς ἐκ πατρὸς γάρ,
ἄκτιστον τὸ θεῖον πνεῦμα τὸ ζῶν,
ἐκπορευτὸν δὲ ἀεὶ ἐκ πατρός.

θεοτ. * Τέτοκας υἱὸν
τὸν συνάναρχον πατρί,
ἀφράστως κυήσασα
τὸν ἀπερίγραπτον λόγον,
ὃν τὰ χερουβὶμ ἀπαύστως ὑμνεῖ
ἐν σοί, παρθένε, φερόμενον.

ᾠδὴ β'. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω*

* Ἅπαντες οἱ πιστοὶ συνελθόντες,
τῆς πανευφήμου τὴν μνήμην τιμήσωμεν.

Μάρτυς τῆς τοῦ Χριστοῦ ἀληθείας
ἡ ἀθλοφόρος ἐδείχθη πανεύφημος.

* Βασάνων καταφρονήσασα, μάρτυς,
ἐν τῷ σταδίῳ Χριστὸν ὡμολόγησας.

---

45 Αἴγυπτος βυθίζεται *ak* Σν 47 αἵμασι] δόγμασι Ec 49 Ἄχρονος *ak* Σν 50 καὶ om. *ak* ἀεὶ] υἱὸς Ec v. 53 ἄκτιστον τὸ πνεῦμα ζωοποιὸν Co 54 δὲ] γὰρ *ak* Σν, εἰς Co 57 ἐκύησας Co
heirm. β' deest in EE, ed. in Pent II μθ' vv. 61-62, 65-66, 75-76, 79-84, 87-88 ed. in *ak* 30 61 σήμερον συνελθόντες *ak* 64 ἀθληφόρος Ec

Ἐσέμνυνας τὴν τοῦ θήλεος φύσιν,
καρτερικῶς ἐναθλοῦσα, πανεύφημε.

Τὴν πίστιν ὥσπερ ἀσπίδα κρατοῦσα,
τοῦ πολεμίου τὸ κράτος κατῄσχυνας.

Τοὺς παῖδας τοὺς ἐν καμίνῳ, παρθένε,
μιμησαμένη, πυρὸς κατεφρόνησας.

Ὑπέμεινας τὰς βασάνους γενναίως
διὰ Χριστόν, καλλιμάρτυς πανεύφημε.

* Πηγάζεις τῶν ἰαμάτων τὴν χάριν
ὡς ἐκ πηγῆς ἀειρύτου, πανεύφημε.

f. 27 || Σήμερον ἡ παρθένος καὶ μάρτυς
μαρτυρικῶς παρθενεύει τοῖς αἵμασιν.

* Σήμερον τῶν δογμάτων τὸν ὅρον
ἐν ταῖς χερσὶν ἡ πανεύφημος δέχεται.

* Ὡς φύλαξ τῶν ὀρθοδόξων δογμάτων,
ἡ καλλιμάρτυς τὸν ὅρον ἐδέξατο.

* Τὸν τόμον ἐν ταῖς ἀγκάλαις λαβοῦσα,
ἡ νομοφύλαξ κατέχει τῆς πίστεως.

Βυθίζεις τὰς τῶν αἱρέσεων γλώσσας
τοῖς τῶν αἱμάτων σου ῥείθροις, πανεύφημε.

* Κατέφλεξας τῷ πυρὶ τῆς ἀγάπης
τὰς φρυγανώδεις αἱρέσεις, πανεύφημε.

Κηρύττει καὶ μετὰ θάνατον, μάρτυς,
τὰ τῶν αἱμάτων σου ῥεῖθρα τοὺς ἄθλους σου.

---

79 ὅρον] ὄρθρον Σο 82 ἡ καλλιπάρθενος *ak* ἡ] καὶ Σο ἐδέξατο] εξέθετο Σο 83 ἐν ταῖς] ταῖς σαῖς Σο 87 τῆς ἀγάπης] τῶν αἱμάτων Ec

---

85-86, 89-90 Cfr. notas ad vv. 19 ss.

---

71 Cfr. Dan. 3,13 ss. 87-88 Cfr. Is. 47,14

εἱρμὸς ἄλλος. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
ὁ σαρκωθεὶς καὶ γεννηθείς,

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
ὁ καθελὼν τὰς μηχανὰς
τοῦ δολιόφρονος δράκοντος καὶ δήσας αὐτὸν
ὡς αἰχμάλωτον γυμνόν,
συμπατούμενον κάτω
ὑπὸ πόδας
τῆς μεγαλομάρτυρος.

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
ὁ ἐν σταδίῳ καρτερῶς
τῇ πανευφήμῳ ἀθλούσῃ συνεργὸς γεγονὼς
καὶ νικήσασαν αὐτὴν
στεφανώσας νομίμως
καὶ τιμήσας
ταύτης τὸ μνημόσυνον.

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
ὁ τὴν ἀείρυτον σορὸν
τῆς πανευφήμου τῷ λύθρῳ τῶν αἱμάτων αὐτῆς
ἀναδείξας νοητὸν
πελαγίζοντα κόλπον,
τὰς αἱρέσεις
πάσας ἀποπνίγοντα.

---

heirm. alter deest in EE, sed metro idem valet ac heirm. EE 104, n. 147, Andreae: textum integrum invenies in AHG V, 127 95 δήσας] δοὺς Co 108 τὰ μνημόσυνα Co 112 ἀείβρυτον Co 113 αἱμάτων] θαυμάτων Co

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
ὁ βασιλέας συγκαλῶν
πρὸς τὸ ὑδρεῦσαι τὰ αἵματα τῆς μάρτυρος
καὶ ὡς κλῆμα εὐθαλὲς
ἀποστάζουσαν δείξας
ἀενάως
πᾶσι τὰ χαρίσματα.

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ θεός, ὁ δείξας
ὡς ἐν θαλάμῳ τῇ σορῷ
τὴν νυμφευθεῖσαν ἐμοὶ διὰ τῶν ἄθλων αὐτῆς
κατοικεῖν μὲν ὡς νεκράν,
ἐνεργεῖν δὲ ὡς ζῶσαν
τὴν θανοῦσαν
τὰς τῶν ἰαμάτων πηγάς.

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ τὸ θαῦμα δεικνὺς
τῆς πανευφήμου ὡς θεός·
f. 27v || τὴν τεθαμμένην νεκρὰν τῇ σιωπῇ τῆς φωνῆς,
ὥσπερ σάλπιγγος φωνήν,
τῶν δογμάτων τὸν ὅρον
ἐκφωνοῦσαν
ἡδυφθόγγοις ῥήμασιν.

τριαδ. Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ πατὴρ καὶ υἱὸς

---

121 βασιλέα Ec 122 πρὸς ... μάρτυρος] τοῦ διαδρέψαι τῆς μάρτυρος τὰ αἵματα Co 147 καὶ ὁ υἱὸς Ec

---

121 s. Cfr. notas ad vv. 19 ss.

---

123 Cfr. Joh. 15,2 ss.

καὶ τὸ πανάγιον πνεῦμα,
ἡ ἐν μονάδι τριὰς καὶ ἐν τριάδι μονάς,
ὑμνουμένη ὡς θεὸς
ὑπὸ πάντων ἀγγέλων
καὶ ἀνθρώπων
καὶ πάσης τῆς κτίσεως.

θεοτ. Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
ὁ διὰ σπλάγχνα οἰκτιρμῶν
ἐκ τῆς παρθένου τεχθείς, ἵνα τὸν πρῶτον Ἀδὰμ
τῇ προσλήψει τῆς σαρκὸς
ἀναπλάσας θεώσω
καὶ ἀνάξω
ἐπὶ τὴν ἀρχαίαν ζωήν.

ᾠδὴ γ΄. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

* Καρτερικῶς τοὺς ἄθλους, καλλιμάρτυς,
ἐνστησαμένη σήμερον,
στεφανηφόρος ἐν οὐρανοῖς
ἀνεγράφης μετ᾽ ἀγγέλων,
ὑπὲρ ἡμῶν πρεσβεύουσα
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

* Τοῖς ἱεροῖς σου ἄθλοις ἐγκαυχᾶται
ἡ ἐκκλησία, πάνσεμνε,
πανηγυρίζουσα μυστικῶς
ἐν τῇ νίκῃ τῶν ἀγώνων

---

160 θεώσω] θεὸς ὢν Ec
heirm. γ΄ EE 104, n. 147, Andreae vv. 163-210 ed. *ak*, 30-31
163 τοῖς ἄθλοις Ec 164 στησαμένη *ak* 166 ἀπεγράφης *ak* Σν, ἀπεγράφεις Co
170 πάνσεμνε] πανεύφημε *ak*, ἔνδοξε Σν, σήμερον Co

---

157 Cfr. Philip. 2,1; Col. 3,12 158 Cfr. I Cor. 15,45 159-160 Cfr. Rom. 11,14-15

τῆς ἱερᾶς ἀθλήσεως,
δι' ἧς καὶ ἐστεφάνωσαι.

* Ἡ καλλιμάρτυς πάντας συγκαλεῖται,
πνευματικῶς ἀθροίζουσα
σὺν ἱερεῦσι καὶ βασιλεῖς,
πρὸς παράδοξον αἱμάτων
παρθενικῶν ἐπίρροιαν,
πιστῶς οὖν ἀρυσώμεθα.

* Παρθενικῶν αἱμάτων τὸ τρυβλίον
πληροῦσα ἡ πανεύφημος,
τῷ ἀγελάρχῃ καὶ τῷ λαῷ
ἀνατίθησι τὸ θαῦμα
τῆς παραδόξου ῥύσεως
τῶν ἱερῶν αἱμάτων αὐτῆς.

* Ἡ μυροθήκη βρύει τῶν λειψάνων,
πληροῦσα τὸ ἀλάβαστρον,
καὶ ἁγιάζονται οἱ λαοὶ
καὶ ἐλέγχονται αἱρέσεις
καὶ ὁ θεὸς δοξάζεται,
θεόφρον, ἐν τῇ μνήμῃ σου.

* Θησαυροφύλαξ ὤφθης τῶν δογμάτων
τῆς ἀληθείας, πάνσεμνε,
καὶ μαρτυροῦσιν οἱ ποταμοὶ
τῶν παρθενικῶν αἱμάτων,
οὓς ἀενάως βρύουσα
ἀρδεύεις τοὺς τιμῶντάς σε.

---

174 καὶ om. Σο ἐστεφάνωται Σο 175 συγκαλοῦσα Ec 176 ὀρθρίζουσα Ec 185 ῥεύσεως *ak* 186 αὐτῆς] σου Σο 188 πληροῦσα] τοῦ μύρου Co 190 αἱ αἱρέσεις *ak* 194 πάνσεπτε *ak* Σο, ἔνδοξε Σν 197 οὓς] οὗ Σο

---

175 ss. Cfr. notas ad vv. 19 ss.

187-188 Cfr. Matth. 26,7; Marc. 14,3; Luc. 7,37

* Χοροὶ πατέρων σήμερον, παρθένε,
τὸν τόμον σοι προσάγουσιν,
συναθροισθέντες διὰ Χριστόν,
ὃν λαβοῦσα μέχρι τέλους,
ὡς εὐσεβὴς συνήγορος
φυλάττεις ἀπαράτρωτον.

28 τριαδ. * || Φῶς τὸν πατέρα ἄναρχον δοξάζω,
φῶς τὸν υἱὸν συνάναρχον,
φῶς καὶ τὸ πνεῦμα τὸ ἀγαθόν,
μίαν ἄναρχον οὐσίαν
ὡς ἐξ ἑνὸς ἀστράπτουσαν
ἡλίου ἀμερίστῳ φωτί.

θεοτ. * Τὸν κατὰ φύσιν νόμον ἐκτελοῦσα,
τὸν ὑπὲρ φύσιν ἔδειξας,
ὡς συλλαβοῦσα δίχα σπορᾶς
καὶ τεκοῦσα ἀλοχεύτως
καὶ μετὰ τόκον ἄφθορος
παρθένος διαμείνασα.

Κάθισμα.

Ἦχος γ'. *Τὴν ὡραιότητα*

Τὸ ἀνδρειότατον
τῆς σῆς ἀθλήσεως
καὶ ἀξιεύφημον
τῆς τελειώσεως
ἀναλαβοῦσα πρακτικῶς,
ἐνέκρωσας, ἀθλοφόρε,
ἅπασαν τοῦ ὄφεως
τὴν ἀρχέκακον κίνησιν,
ἔχουσα ἀκίνητον

---

199 Χορὸς *ak* Co, Χοροὶς Σο 209 ὡς] ὥσπερ *ak* 210 ἀμερίστου φωτὸς Σν 211-216 θεοτ. ed. Pent[II] νβ' 211 ἐκτελοῦσα] ἐκβαλοῦσα Ec 216 παρθένε Σν
heirm. primi καθ. HR 243

πρὸς θεὸν τὴν ἀγάπην σου·
διὸ καὶ παρρησίας τυχοῦσα,
πρέσβευε σωθῆναι τὰς ψυχὰς ⟨ἡμῶν⟩.

Ἄλλο.

Ἦχος πλ. δ'. *Τὸ προσταχθέν ‹μοι› μυστικῶς*

Τὸν τοῦ κυρίου εὐσεβῶς
νόμον ἐπλήρωσας,
καταφρονήσασα θυμοῦ
τῶν τυράννων,
τὴν ψυχικὴν κτησαμένη
ἐν τῇ ὑπομονῇ σου,
ἐν τούτῳ ἔχουσα πλοῦτον τῶν οὐρανῶν,
τὴν χάριν ὑπὲρ χρυσίον τὸν θησαυρόν,
ὅθεν πόθῳ προσάγομεν
τὴν εὐφημίαν σου,
πανεύφημε, δοξάζοντες
πίστει πάντες τὸν κύριον.

ᾠδὴ δ'. *Ἐν μέσῳ δύο λῃστῶν*
ἐγνώσθης ἐπὶ σταυροῦ, Χριστὲ ὁ θεός,
καὶ ἐπήρθη ὁ ἥλιος φόβῳ
καὶ ἡ σελήνη ἔστη
ἐν τῇ τάξει αὐτῆς·
δόξα τῇ δυνάμει σου.

Ἐν τῷ σταδίῳ στερρῶς
ἡ μάρτυς ἀνδριζομένη ἔκραζεν·
« σοὶ τῷ νυμφίῳ Χριστῷ συσταυροῦμαι,

---

heirm. alterius καθ. HR 223
heirm. δ' EE 104, n. 147, Andreae, integer in Ec Co heirm. 2 ἐν τῷ σταυρῷ EE 218 ἐκραύγαζεν Ec 219 σὺ Co χριστὲ Co

---

7-8 secundi καθ.: cfr. Matth. 6,20-21; Luc. 12,33-34; Ps. 18,11; Prov. 8,19
219-222 Cfr. Gal. 2,19; Rom. 8,17

συνθαπτομένη γάρ σοι
συναναστήσομαι
καὶ συνδοξασθήσομαι ».

Ὁπλισαμένη πιστῶς
ἡ μάρτυς ἐν τῷ σταδίῳ σήμερον,
ταῖς τῶν τυράννων ἐνήθλει βασάνοις,
τὴν γυναικείαν φύσιν
μεταλλάττουσα
νῦν εἰς ἀρρενότητα.

Θωρακισθεῖσα τὴν σὴν
ἐλπίδα ἡ ἀθλοφόρος, κύριε,
τοὺς μὲν πικροὺς δικαστὰς ἐτροποῦτο,
τὸν δὲ κοινὸν διώκτην
καταισχύνασα,
στέφος ἀνεδήσατο.

Τὰς τῶν αἱμάτων πηγὰς
ἀφθόνως ἡ καλλιμάρτυς βρύουσα,
τὴν ἐκκλησίαν Χριστοῦ συγκαλεῖται
συμβολικῶς ἀντλῆσαι
f. 28v || ὡς ὁ πάλαι λαὸς
τὰ ἐκ πέτρας νάματα.

Ἐκ παραδόξου βρύεις,
παρθένε, καὶ τεθαμμένη αἷμα ζωῆς,
ἀνατυποῦσα τὸ ῥεῖθρον ἐκεῖνο
τὸ ἐκ τῆς ἀκροτόμου
ἀναβλύσαν ποτὲ
τῷ ἰσραηλίτῃ λαῷ.

---

220 σοι om. Σν Σο 221 ἀναστήσομαι Co 227 μαλάττουσα Ec 229 τῇ σῇ Co 230 ἐλπίδι Co 233 καταισχύνουσα Σν 237 τὴν νεωλέαν Co

---

235 ss. Cfr. notas ad vv. 19 ss.

239-240 Num. 20,8-13 243-246 ibid. et Deut. 8,15

Ὡς κιβωτὸς τοῦ θεοῦ
ἐχρίσθης ἀσφάλτῳ πίστει, πάνσεμνε,
καὶ ὑπεδέξω τὸν ἄγραφον νόμον,
ὡς ἐν πλαξὶ γραφέντα,
τὸν τῆς πίστεως
τόμον ἐν ἀγκάλαις σου.

Ὥσπερ ὁρμίσκον χρυσοῦν
τὸν τόμον ἐπὶ τὸ στῆθος φέρουσα
καὶ ὡς πορφύραν τὸ λύθρον ἐκεῖνο
καὶ τὸ τῆς νίκης στέφος
ἐνυμφεύθης, σεμνή,
ὥσπερ ἐν παστῷ τῇ σορῷ.

τριαδ. Ἐξ ἀγεννήτου πατρὸς
προῆλθες υἱὸς ἀχρόνως, λόγε θεοῦ,
οὗ ἐν τοῖς κόλποις ἀεὶ ἀναπαύει,
συνεξαστράπτοντός σοι
καὶ τοῦ πνεύματος
καὶ συναναλάμποντος.

θεοτ. Θρόνος ἐδείχθης θεοῦ,
παρθένε, ταῖς σαῖς ἀγκάλαις φέρουσα
ὃν σαρκωθέντα ἐκ σοῦ καὶ τεχθέντα
αἱ τῶν ἀγγέλων τάξεις
προσκυνήσασαι
φόβῳ ἀνευφήμησαν.

---

248 πανεύφημε Σν, πάνσεπτε Co v. 249 καὶ νομίμως ἐδέξω παρθένε Ec 250 ὡς ἐν] ὥσπερ Σο γραφέντα] λιθίναις Co 253 ὁρμίσκουν Σο 254 ἐπὶ τῷ στήθει Ec φέρουσα] ἔφερες Σν 255 τῷ λύθρῳ ἐκείνῳ Ec 257 ἐνυμφεύθης] μνηστευθεῖσα Σν, ἐνυμφεύσω Co 261 ἀναπαύῃ Σν Co 262 σοι] σου Σο 264 καὶ νῦν ἀναλάμποντος Σν, καὶ συμβασιλεύοντος Co 266 σαῖς om. Σν 267 ὃν] τὸν Ec 268 αἱ τῶν] ὃν αἱ Ec 269 προσκυνήσαντες Ec, προσκυήσασαι Σν

---

247 Ex. 25,10 250 Ex. 31,18 265 Cfr. Dan. 7,9

ᾠδὴ ε΄. *Ζῆλος λήψεται λαὸν ἀπαίδευτον*
τοὺς παρανόμους Ἑβραίους
καὶ πῦρ ἔδεται
τοὺς ὑπεναντίους σου, Χριστέ,
ὅτι σὲ τὸν σταυρωθέντα
πλάνον ὠνόμασαν.

Σχῆμα φέρουσα σταυροῦ τὴν νέκρωσιν,
τὰς προσβολὰς τῶν τυράννων
στερρῶς ἔτρεψας,
ὅλως μὴ ἐκστήσασα τὸν νοῦν
τῆς τοῦ κτίστου σου ἀγάπης,
μάρτυς πανεύφημε.

Ἔμπνους πρόκεισαι ἡμῖν, πανεύφημε,
τῆς ἀναστάσεως σάλπιγξ,
ἀεὶ κράζουσα
ἐν ταῖς τῶν αἱμάτων σου ῥοαῖς
τὴν ἐμψύχωσιν ἐκείνην
ὄντως τὴν μέλλουσαν.

Ὥσπερ νέαν κιβωτόν, πανεύφημε,
ἡ ἐκκλησία τιμᾷ σε,
ἐν σοὶ ἔχουσα
τὸν τῆς εὐσεβείας θησαυρόν,
ὥσπερ πλάκας θεογράφους,
τὸν ὅρον τῆς πίστεως.

Τόμον φέρουσα χερσίν, πανεύφημε,
τῶν ὀρθοδόξων δογμάτων,

---

heirm. ε΄ EE 104, n. 147, Andreae, integer apparet in Ec Σν Co heirm. 4 σου, Χριστὲ] σῶτερ Ec, om. EE 5-6 ἡμῖν δὲ λάμψον τὸ φῶς / τῆς ἐπιγνώσεως Ec 5 ἀναστάντα Σν 271 Ὄχημα Σν 274 ἐκστᾶσα Σν 277 πανεύφημος Σο 278 σάλπιγξ] μάρτυς Ec 280 ἐν ταῖς] ταῖς ἐκ Σν Σο vv. 283, 290-294 in unum troparium, homoeoteleuti causa, connectit Σν 283 νέα Co 288 τὸν om. Co τῆς om. Σο 289 Τόμον] Νόμον Ec

---

278 Matth. 7,17; I Cor. 15,52; I Thess. 4,16 283 Ex. 25,10 287 Ex. 31,18

φρουρεῖς ἄσυλον
καὶ ἀπαρεγχείρητον ἀεὶ
καὶ ἀνόθευτον τὴν πίστιν
ἐκ πάσης αἱρέσεως.

τριαδ. Μίαν ἄναρχον, πιστοί, δοξάσωμεν
μορφήν, οὐσίαν καὶ φύσιν,
f. 29 || πιστῶς σέβοντες
ἕνα τρισυπόστατον θεόν,
διαιροῦντες τοῖς προσώποις,
τῇ φύσει συνάπτοντες.

θεοτ. Βρύεις γάλα ἐκ μαζῶν, θεόνυμφε,
τῷ ἐκπηγάσαντι πάλαι
λαῷ ὕδατα,
τρέφουσα τὸν τρέφοντα ἡμᾶς·
ὢ θαυμάτων ἐξαισίων,
παρθένος θηλάζουσα.

ᾠδὴ ϛ'. *Ὡς Ἰωνᾶν τὸν προφήτην*

* Νεανικὴν παρρησίαν
ἡ θεόνυμφος μάρτυς ὡπλίσατο
καὶ πάλην στερρὰν ὑπελθοῦσα,
τὰ τρόπαια τῆς νίκης
νῦν ἀνεστήσατο.

* Σὺ τῶν τυράννων τὰ θράση,
καλλιπάρθενε μάρτυς, αἰσχύνασα,
τὸ στάδιον ἤνυσας τοῦτο,

292 ἀπαρεγχείρηστον Ec, ἀπαρεγχείροτον Σο 293 τὴν πίστιν] φυλάττεις Σν Σο 294 ἐκ om. Co Σο 295 Μίαν ἄναρχον ἀρχὴν δοξάζομεν Σν 300 τῇ om. Co 302 πηγάσαντι Σν Σο
heirm. ϛ' EE 103, n. 145, Joannis, integrum refert Πq vv. 307-341 ed. in *ak*, 32-33 308 ὁπλήσασα Cn 309 πάλιν Ec Cn στερῶς Σν, στερρῶς Cn v. 311 συνανεστήσατο Ec Co, νῦν ἀνεδήσατο Σν, νῦν ἀναστήσασα Cn 313 αἰσχύνουσα Σν 314 ἤνοιξας *ak* Cn, ἤνοισας Ec Co τούτου Cn

302-303 Cfr. Num. 20,8-13

διὸ καὶ στεφηφόρος
ἀνηγορεύθης θεῷ.

* Βασιλικὴν ἁλουργίδα
ἐξ αἱμάτων βαφεῖσαν τῶν ἄθλων σου
ἐξύφανας τῇ ἐκκλησίᾳ,
ἐνστίξασα τοὺς λόγους
τῶν μυστηρίων Χριστοῦ.

* Τὴν τῶν αἱμάτων πλημμύραν
ὡς δογμάτων κρατῆρα προέθηκας,
προχέουσα ἄφθορον ῥεῖθρον
ἀρδεῦον πᾶσαν φρένα,
μάρτυς πανεύφημε.

* Ἡ τεθνεῶσα ὡς ζῶσα
τῶν δογμάτων τὸν ὅρον κατέχουσα,
φυλάττεις ἀνόθευτον, μάρτυς,
ὡς φύλακι τοῦ λόγου
παρατεθέντα σοι.

τριαδ. * Φῶς τὸν πατέρα δοξάζω,
φῶς ὑμνῶ τὸν υἱόν, φῶς τὸ πνεῦμα τιμῶ,
ἀλλ' ἓν φῶς τὰ τρία πιστεύω·
μονὰς γὰρ ἐν τριάδι
καὶ ἐν μονάδι τριάς.

θεοτ. * Τὸ καπνιζόμενον ὄρος,
ἐν Σινᾷ προδειχθὲν τῷ θεόπτῃ Μωσῇ,

315-316 διὸ ... θεῷ] τὰ τρόπαια τῆς νίκης νῦν ἀναστήσασα *ak* Cn v. 315, καὶ στεφηφόρος ὅλως Σν διὸ] ἐν ᾧ Co 316 χριστῷ Co 318 ἄθλων] θαυμάτων *ak*, λύθρων Ec 320 ἐντέξασα Πq τοῖς λόγοις Ec Co 321 μυστηρίων] μαρτυρίων *ak* Σο 322 αἱμάτων] θαυμάτων *ak* 323 κρατῆρας *ak* προτέθεικας Σν 324 προχέουσαν ἄφθονον χάριν *ak* ἄνφθονον Σο 325 ἀρδεύουσα τὰς φρένας *ak* φρένα] κτίσιν Σν, φραίναν Σο 327 ὡς om. *ak* 333 τιμῶ] τὸ ζῶν Co 336 καὶ ἐν τριάδι μονὰς Ec Σν Co

322 Cfr. notas ad vv. 19 ss.

337-341 Cfr. Ex. 19,18

τὴν σὴν προετύπου γαστέρα,
τὴν ἄστεκτον, παρθένε,
φλόγα χωρήσασαν.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ λόγου ἐν σῇ γαστρὶ*

Τοῖς τῶν αἱμάτων σου ῥείθροις, μάρτυς Χριστοῦ,
κατακλυσμὸν ἀσεβείας διηνεκῶς
ἐργάζει, πανεύφημε,
ἐπομβρίαις τῆς χάριτος
καὶ λογικὰς ἀρούρας
ἀρδεύουσα πάντοτε,
ἐν αὐταῖς αὐξάνεις
τὸν στάχυν τῆς πίστεως,
ὅθεν παραδόξως
καὶ μετὰ θάνατον ὤφθης
νεφέλη πηγάζουσα
τῆς ζωῆς τὸ μαρτύριον,
Εὐφημία πανεύφημε,
πρέσβευε Χριστῷ τῷ θεῷ
τῶν πταισμάτων ἄφεσιν ⟨δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου⟩.

f. 29v || Ἄλλο.

Ἦχος πλ. δ'. *Τὸ προσταχθὲν <μοι> μυστικῶς*

Ἀγαλλιάσθω ἡ πληθὺς
τῶν ὀρθοδόξων,
εὐφραινομένη μυστικῶς

340 τὴν ἄφλεκτον *ak* 341 χωρήσασα Σο Cn
κάθ. praeter Ec ante canonem referunt Σν (f. 36) et Σο (f. 31v)
heirm. καθ. MR I, 68 3 ἐργάζῃ Σν 8 στάχυν] σπόρον Σν 10 καὶ om. Σν 13 Εὐφημία] ἀθλοφόρε Σν vv. 15-17 om. Σν 15-17 post πταισμάτων Ec, post ἄφεσιν Σο cetera om.
secundum κάθ. refert etiam Co post odem γ': cfr. p. 222
heirm. alterius καθ. HR 223

ἐν τῇ μνήμῃ σου,
ἀθλοφόρε πανεύφημε
καὶ καλλιπάρθενε,
μαθοῦσα σῇ μεσιτείᾳ πίστιν ὀρθήν,
τριάδα σέβειν ἁγίαν ὁμοφυῆ
καὶ τοῦ λόγου τὴν σάρκωσιν,
τρανῶς κηρύττειν ἀεὶ
ἀσύγχυτον, ἀμέριστον,
ὃν δυσώπει σωθῆναι ἡμᾶς.

ᾠδὴ ζ'. *Τὸν ἐν καμίνῳ τοὺς παῖδας*

Τὴν γυναικείαν λαθοῦσα
ἡ μάρτυς ἀσθένειαν,
ῥωμαλέῳ φρονήματι
γενναίως ἐνήθλησεν,
πρὸς βασάνους ἐχώρησεν,
οὔτε πῦρ οὔτε ξίφος
οὐ θῆρας πτοηθεῖσα.

Τὴν τῶν τυράννων μανίαν
ἡ μάρτυς αἰσχύνασα,
τὸ βραβεῖον τῆς κλήσεως
νομίμως ἐδέξατο,
πλεξαμένη τὸν στέφανον
ἐξ αἱμάτων οἰκείων
φαιδρῶς διηνθισμένον.

Ὁ βασιλεὺς ἐτησίως
τρυγᾷ σου τὰ αἵματα,
παρθενόφρον ἀείμνηστε·
ἀπαύστως γὰρ στάζουσιν
οἱ τοῦ σώματος βότρυες

heirm. ζ' EE 101, n. 143, Cosmae, integrum praebent Co Σο v. 345 om. Σν 346 πρὸς τὰς βασάνους ἀνδρείως Co 350 αἰσχύνουσα Σν 355 σοφῶς νυμφευσαμένη Ec φαιδρῶς] σαφῶς Co, σοφῶς Σο

356 ss. Cfr. notas ad vv. 19 ss.

τὸν ἐξ αἵματος οἶνον
ὡς ἐκ τῆς σῆς ἀμπέλου.

Τὰς τῶν βασάνων στρεβλώσεις
στερρῶς ὑπομείνασαν
στεφηφόρον ἀνέδειξας,
Χριστέ, τὴν πανεύφημον,
ἐν παρρησίᾳ κράζουσαν·
« τῷ Χριστῷ μοὺ συμπάσχω,
ᾧ καὶ συνεσταυρώθην ».

Ἡ τοῦ Μωσέως μὲν θήκη
ὕδατι ἐνείχετο,
ἡ δὲ θήκη τῆς μάρτυρος
τῷ αἵματι φέρεται,
μιμουμένη τὴν λάρνακα
μυστικῶς τὴν τοῦ Νῶε,
κινδύνους ἐκφυγοῦσα.

Τῇ βασιλίδι τοῦ λόγου
στολὴν ἐξυφάνασα,
νυμφικῶς κατεποίκιλας
τοῖς ἄθλοις σου, πάνσεμνε,
καὶ τῷ λύθρῳ τοῦ αἵματος
καταχρώσασα ταύτην,
πορφύραν ἀπειργάσω.

Τῶν ὀρθοδόξων δογμάτων
τὸν τόμον, πανεύφημε,
ταῖς ἀγκάλαις κατέχουσα,
φυλάττεις ἀνόθευτον,
ὡς νομοφύλαξ ἄσυλος
τῆς ἡμῶν εὐσεβείας
καὶ κιβωτὸς ἁγία.

380 πανεύφημε Σν 390 ἁγίας Σν

372 ss. Cfr. notas ad vv. 19 ss.

368-369 Cfr. Rom. 8,17; Gal. 2,19 370-371 Cfr. Ex. 2,3 374-376 Cfr. Ex. 7,1-24 377-380 Cfr. Sir. 45,10; Prov. 31,22

Ἡ Χαλκηδὼν ἑορτάζει
καὶ σπένδεται σήμερον,
τὴν καλλίνικον μάρτυρα
ὁρῶσα κρατύνουσαν
τὰ τῆς πίστεως δόγματα
καὶ χερσὶ βεβαιοῦσαν
τὸν ἐκτεθέντα ὅρον.

Ἡ τῶν πατέρων χορεία
συντρέχουσα σήμερον
τῇ νεκρᾷ παρατίθεται
τὸν ὅρον τῆς πίστεως
f. 30 ὡς πιστῇ νομοφύ||λακι,
ὃν ἐν στέρνοις κρατοῦσα
φυλάττει εἰς αἰῶνας.

Βασιλικῶς ὑπογράφεις
τῷ λύθρῳ τοῦ αἵματος
ἐν τῷ τόμῳ τῆς πίστεως,
ὡς ὠχρόν, πανεύφημε,
προκιχρῶσα τὸ αἷμά σου,
σιωπῇ φθεγγομένη
τὸ κῦρον τῶν δογμάτων.

τριαδ. Ἡ ὑπεράρχιος φύσις,
ἡ ἄκτιστος δύναμις,
ἡ ὁμότιμος σύννευσις,
τριὰς ὁμοούσιε
καὶ μονὰς τρισυπόστατε,
ῥῦσαι πάσης ἀνάγκης
τοὺς σὲ ὑμνολογοῦντας.

θεοτ. Ἡ ἀγεώργητος χώρα,
ἡ ἄχραντος μήτρα σου,
θεομῆτορ, ἐβλάστησεν

391 Ἡ καλχιδὼν Ec 396 βεβαιοῦσα Co 402 πίστει Σο 403 ὃν] καὶ Ec ἐν] τοῖς Co 404 φυλάττεις Σο 409 προκιχροῦσα Ec 414 σύνεσις Co 418 ὁμολογοῦντας Σν

ἀσπόρως τὸν ἄσταχυν,
ἐξ οὗ καὶ τῆς ζωῆς ἡμῶν
ὁ οὐράνιος ἄρτος
ἀφύρτως ἐφυράθη.

ᾠδὴ η'. *Ἐν πυρὶ φλογὸς παρίστανται*

Ἡ ἀνείκαστος σοφία σου,
Ἰησοῦ βασιλεῦ,
ἔτρεψεν τοὺς μυθολόγους
τῶν ἑλλήνων καὶ σοφούς,
διὸ καὶ πρὸς τυράννους
ἐνίσχυσας γυναῖκας
λαλεῖν ἐν παρρησίᾳ πολλῇ
τὴν δόξαν τοῦ σταυροῦ σου.

Τὴν σοφίαν ἐμιμήσατο
ἡ ἀμνὰς τοῦ Χριστοῦ,
τράπεζαν προθεῖσα ξένην
καὶ κρατῆρα μυστικόν,
λειψάνων οὐ βρωμάτων,
αἱμάτων οὐ πωμάτων,
τὴν μὲν εὐθηνουμένην, τὴν δὲ
ἀγνώστως κεκραμένην.

Ὡς ἐλαίαν σε κατάκαρπον
ἐν αὐλαῖς τοῦ θεοῦ
ἔγνωμεν, παρθενομάρτυς,
εὐφοροῦσαν τοὺς καρπούς,

v. 422 τὸν ἄσπορον ἄσταχυν Co 423 ἐξ οὗ καὶ] ἐξ οὗπερ Co, ἐκ σοῦ ὁ Σο heirm. η' EE 106, n. 149, Andreae 429 σοφῶν Ec vv .435-436 ἡ σεμνὴ τοῦ χριστοῦ / δάμαλις τράπεζαν θῆσα Co 435 τοῦ χριστοῦ ἡ ἀμνᾶς Σο 436 προθεῖσαν Σν 438 βρωμάτων] θαυμάτων Σν Σο vv. 440-441 ὡς πλάκας θεογράφους παρέθεντο διὰ χειρῶν τῶν ἱερῶν πατέρων (cfr. vv. 471-473) Σο 441 ἀγεύστως κιρναμένην Co 445 ἐμφρουροῦσαν Σν τοῖς καρποῖς Ec

423-424 Cfr. Joh. 6,31 ss. 35.48 ss. 434-441 Cfr. Prov. 9,1-6 442-443 Ps. 51,10; Hos. 14,7

τὸ ἔλαιον ἐκεῖνο
προχέουσαν ὡς αἷμα
καὶ ὥσπερ μύρον πολυτελὲς
ἐκ σοῦ ἐσμυρνισμένον.

« Προσελθόντες τῷ κρατῆρί μου
μυστικῶς τῶν ἐμῶν
γεύσασθε ἁγνῶν αἱμάτων »,
ἡ πανεύφημος βοᾷ·
« μηδεὶς οὖν ὑστερείτω,
μηδεὶς ἄγευστος ἔστω·
ζωῆς γὰρ ῥεῖθρον », φησίν,
« τὸ τῆς σαρκός μου αἷμα ».

Τῶν πατέρων τὰ διδάγματα
ὡς ἐν τόμῳ καινῷ
γράψασα ἡ θεία χάρις
ἐμπιστεύει σοι, σεμνή,
ὡς μάρτυρι τοῦ λόγου,
ὡς φύλακι τοῦ νόμου,
διὸ καὶ σιωπῶσα λαλεῖς
ὡς ζῶσα ἡ θανοῦσα.

Κιβωτὸν ἀσφαλεστάτην σε
ὡς σκηνὴ τοῦ θεοῦ
f. 30v ἔχουσα ἡ ‖ ἐκκλησία,
μάρτυς ἔνδοξε σεμνή,
τὸν ὅρον τῶν δογμάτων
ὡς πλάκας θεογράφους
παρέθετό σοι διὰ χειρῶν
τῶν ἱερῶν πατέρων.

Ἐντρεπέσθω πᾶσα αἵρεσις
καὶ σιγάτω λοιπόν,

446 τὸ] ὡς Co 447 προχέουσα τὸ αἷμα Co 462 τοῦ om. Σν 463 τοῦ κόσμου Ec 466 Κιβωτόν σε ἀσφαλέστατον Ec Σν 467 ὡς] ἡ Σν Co 468 τῇ ἐκκλησίᾳ Ec 469 σεμνὴ] ἁγνὴ Co

450 ss. Cfr. Prov. 9,2-6 466 Ex. 25,10 467 Ex. 25,9.40 471 Ex. 31,18

βλέπουσα τὴν προθανοῦσαν
ὥσπερ ζῶσαν πρὸς ἡμᾶς
τῷ λόγῳ σιωπῶσαν,
τῷ τόμῳ ἐκβοῶσαν
πιστεύειν ἕνα εἶναι Χριστὸν
ἐν δύο ταῖς οὐσίαις.

τριαδ. Σὺν ἀγγέλοις ἀνυμνοῦμέν σε
τὸν προόντα θεόν,
ἕνα ἐν τρισὶ προσώποις
πάντες σέβοντες πιστῶς,
τὸν ἄναρχον πατέρα,
υἱόν τε καὶ τὸ πνεῦμα,
τριάδα ἐν μονάδι μιᾷ
διαιρετὴν καὶ ἡνωμένην.

θεοτ. Τίς ἀκούων οὐκ ἐξίσταται
ὅτι μήτραν θεὸς
ᾤκησε καὶ βρέφος ὤφθη
ἄνευ πάθους καὶ φθορᾶς;
ὢ πλούτου εὐσπλαγχνίας,
ὢ βάθους μυστηρίου·
ὁ πάντα περιέπων δρακί,
σαρκὶ ἐφανερώθη.

ᾠδὴ θ'. *Ὅτι ἐποίησέ μοι*

« Ὅτι ἐποίησέ μοι
μεγαλεῖα ὁ δυνατός »,
λεγέτω ἡ πανεύφημος Χριστοῦ,

480 ἕνα χριστὸν θεὸν Co 482 ἀνυμνήσωμεν (σε om.) Σν 484 ἕνα σε ὡς ἐν τρισὶ προσώποις Ec, ἕνα δὲ ὡς ἐν τρισὶ προσώποις Σν 485 πάντες ... πιστῶς] σέβοντες μίαν πιστῶς Ec πάντες om. Σν 487 τε] δὲ Ec 488-489 τριάδα ἐν μονάδι διαιρετὴν / καὶ πάλιν ἡνωμένην Ec, τριάδα ἐν μονάδι / ἀδιαιρέτως ἡνωμένην Σν 494 πλοῦτος Ec Σν 495 βάθος Ec Σν Σο 496 δρακὶ] σαρκὶ Ec Σν Σο 497 σαρκὶ] ἑκὼν Ec Σν σαρκὶ ἐφανερώθη] ἐφανερώθη θέλων Σο
heirm. θ' EE 106, n. 149, Andreae 498 Ὅτι] Ὄντως Cn 500 χριστῷ Ec

496 Is. 40,12

« μετὰ θάνατον γὰρ ζῶ
καὶ μετὰ νέκρωσιν μελῶν
βρύω τὰ θαύματα ».

Τῷ πόθῳ τετρωμένη,
ἡ πανεύφημος τοῦ Χριστοῦ
πολλάκις μετὰ θάνατον ἀθλεῖ
καὶ πιστοῦται μυστικῶς
τὴν ἐξανάστασιν ἡμῶν
διὰ τοῦ αἵματος.

Δραμοῦσα μετὰ μύρων
εἰς ὀσμὴν τῶν μύρων Χριστοῦ,
ἐμύρισας τοῖς αἵμασιν αὐτὸν
καὶ ἐνέπλησας ἡμᾶς
τῇ εὐωδίᾳ μυστικῶς
τῶν ἀρωμάτων σου.

Φιάλας ἀρωμάτων
τοὺς τῶν σῶν αἱμάτων κρουνοὺς
ἀνέδειξεν, πανεύφημε, Χριστὸς
καὶ ὑδρεύονται λαοί,
αὐτὴ δὲ πλέον πλημμυρεῖς
ταῖς ἀειρύτοις πηγαῖς.

εἱρμὸς ἄλλος. *Ἐποίησε κράτος*
ἐν βραχίονι αὐτοῦ

* Τὸ ἄγραπτον κάλλος
ἀγαπήσασα Χριστοῦ,

511 τοῦ μύρου Ec 512 αὐτοῦ Ec 514 τῆς εὐωδίας Cn v. 515 διὰ τοῦ αἵματος Ec, τῶν παθημάτων σου Cn 516 Φιάλαι Cn 519 οὐδρεύονται Σν 520 πλεῖον Cn 521 τὰς ἀερρύτους πηγὰς Ec
heirm. alter EE 106, n. 149, Andreae, integer apparet in Co vv. 522-539, 549-557, 567-575, ed. in *ak*, 34 522 ἄγρυπνον Σο 423 χριστὸν Σο

506 ss. Cfr. notas ad vv. 19 ss.

504 Cfr. Cant. 2,5; 5,8 510 ss. Cfr. Cant. 1,3-4 516 Apoc. 5,8

κατέλιπες τὰ πρόσκαιρα τοῦ βίου
καὶ ἔλαβες τὸν σταυρὸν
καὶ προσέδραμες αὐτῷ,
διὸ καὶ ἀνέκραζες, σεμνή·
« σοὶ μόνῳ συσταυροῦμαι
τῷ νυμφίῳ τῷ τερπνῷ
καὶ καλῷ ποιμένι ».

f. 31 * ‖ Τίς εἶδεν, τίς ἔγνω
μετὰ θάνατον νεκρὰν
οὐ δόρατι οὐ ξίφει σφαττομένην
καὶ βλύζουσαν ἐν σορῷ
τῶν αἱμάτων τὰς πηγάς;
φρικτὸν καὶ παράδοξον, πιστοί,
τὸ τῆς ἁγίας θαῦμα,
ὅτι σῶμα καὶ ὀστᾶ
ξηρανθέντα βρύει.

Διψῶσα ἡ μάρτυς
ὥσπερ ἔλαφος, Χριστὸν
προσέτρεχεν, ἐπόθει πλεονάκις
συμπάσχειν τε καὶ συζῆν
καὶ συνθνήσκειν δι 'αὐτόν·
διὸ μετὰ νέκρωσιν μελῶν,
μετὰ τοὺς θείους ἄθλους
ἐτησίως ἐναθλεῖ,
ὡς βοᾷ τὸ αἷμα.

* Τὸν τόμον ἐκεῖνον
ὥσπερ νόμον εὐσεβῆ
παρέθεντο τῇ μάρτυρι τοῦ λόγου
ὡς φύλακι ἀσφαλεῖ

524 κατέλειπες Σο 528 συνσταυροῦμαι Σο 529 τερπνῷ] καλῷ *ak* 530 καλῷ] τερπνῷ *ak* 534 καὶ βλύζουσαν] ἐκβλύζουσαν *ak*, ἐκλυζουσαν Σο 537 ἁγίας] παρθένου Co 541 χριστοῦ Σο 542 προέτρεχεν Σο 543 συνζῆν Ec Σο 548 ὡς ... αἷμα] διὰ τοῦ μαρτυρίου Ec

531 ss. Cfr. notas ad vv. 19 ss.

528 Cfr. Gal. 2,19 529 Cfr. Matth. 25,1 ss. 530 Cfr. Joh. 10,11 ss. 540-541 Cfr. Ps. 41,2-3 543-544 Cfr. Rom. 6,8; 8,17; II Cor. 7,3; II Tim. 2,11

οἱ τοῦ λόγου ὑπουργοί·
διὸ ταῖς χερσὶν αὐτῆς στερρῶς
ἕως τῆς συντελείας
συγκρατεῖ καὶ συντηρεῖ
καὶ κροτεῖ σιγῶσα.

Τὸν ἄφραστον πόθον
ἔνδον ἔχουσα Χριστοῦ,
πρὸς μάστιγας, πρὸς πῦρ καὶ πρὸς θηρία,
πρὸς ξίφος, πρὸς αἰκισμοὺς
ἡτοιμάσθης, ἡ ἀμνάς·
διὸ μέχρι αἵματος, σεμνή,
ὑπὲρ αὐτοῦ ἀθλοῦσα,
οὐκ ἐνέδωκας αὐτὸν
διομολογοῦσα.

* Τῷ θρόνῳ τῆς δόξης
παρεστῶσα μυστικῶς,
μνημόνευε ἀπαύστως, καλλιμάρτυς,
τῶν ἐκτελούντων πιστῶς
σοῦ τὴν μνήμην τὴν σεπτήν,
ἐν ᾗ ἁγιάζουσα ἡμᾶς
τοῖς τῶν αἱμάτων ῥείθροις,
ἀπελαύνεις τῶν παθῶν
τὰς ἐπαναστάσεις.

θεοτ. Ὁ πάντα ποιήσας
ἐν σοφίᾳ, Ἰησοῦ,
ὁ ὅλον με φορέσας ἐκ παρθένου
καὶ ὅλος μένων ἀεὶ
ἐν τοῖς κόλποις τοῦ πατρός,
τὴν ποίμνην σου ῥῦσαι ἐκ φθορᾶς
καὶ ἐκ παντὸς κινδύνου
καὶ συνείσαξον ἡμᾶς
εἰς τὰς ἄνω μάνδρας.

556 συντηρεῖ καὶ συγκροτεῖ Co 557 καὶ κροτεῖ om. *ak* κροτεῖ] κροατεῖ Σν, φρουρεῖ Co, βοᾷ Σο 561 ξίφη Σν 563 μέχρις Σν v. 571 τὴν ἁγίαν σου μνήμην Ec Σν Σο, τὴν ἁγίαν μνήμην σου *ak* 573 αἱμάτων] θαυμάτων Σν 579 ὅλως Ec

579-580 Cfr. Joh. 1,18

IN SANCTAM EUPHEMIAM MARTYREM
ET IN DEFINITIONEM FIDEI CHALCEDONENSEM

Canon secundum traditionem Sinait. gr. 625 = Σν, ff. 38-44v

Ὁ κανών.

Ἦχος δʹ.

ᾠδὴ αʹ. *Ἅρματα Φαραὼ*

1-6 * Σήμερον, οἱ πιστοί,
.... = Ec 1-6

7-12 * Στάδιον φοβερὸν
.... = Ec 13-18

13-18 * Σήμερον οἱ λαοί,
.... = Ec 25-30

19-24 * Σήμερον ἡ σορὸς
.... = Ec 31-36

25-30 * Σήμερον νοητῶς
f. 38v .... = Ec 43-48

31-36 * Δόγματα ἀληθῆ
.... = Ec 37-42

τριαδ. 37-42 * Ἄχρονος ὁ πατὴρ
.... = Ec 49-54

θεοτ. 43-48 * Τέτοκας υἱὸν
.... = Ec 55-60

tit. nomen auctoris om. cd.
heirm. αʹ EE 104, n. 147, Andreae

ᾠδὴ βʹ. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω*

49-50 * Ἅπαντες οἱ πιστοὶ συνελθόντες,
.... = Ec 61-62

51-52 * Βασάνων καταφρονήσασα, μάρτυς,
.... = Ec 65-66

53-54 * Πηγάζεις τῶν ἰαμάτων τὴν χάριν
.... = Ec 75-76

55-56 * Κατέφλεξας τῷ πυρὶ τῆς ἀγάπης
.... = Ec 87—88

f. 39 57-58 * ‖ Σήμερον τῶν δογμάτων τὸν ὅρον
.... = Ec 79-80

59-60 * Ὡς φύλαξ τῶν ὀρθοδόξων δογμάτων
.... = Ec 81-82

[θεοτ.] 61-62 * Τὸν τόμον ἐν ταῖς ἀγκάλαις λαβοῦσα
.... = Ec 83-84

εἱρμὸς ἄλλος. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,

63-71 Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
ὁ καθελὼν τὰς μηχανὰς
.... = Ec 91-99

72-80 Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
ὁ ἐν σταδίῳ καρτερῶς
.... = Ec 100-108

heirm. βʹ Pent II μθʹ vv. 61-62 perperam ut θεοτ. in margine indicat Σν
heirm. alterum cfr. in app. crit. p. 189, in traditione Ec (1)

81-89 Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
ὁ τὴν ἀείρυτον σορὸν
.... = Ec 109-117

90-98 Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ δείξας
ὡς ἐν θαλάμῳ τῇ σορῷ
f. 39v .... = Ec 127-135

θεοτ. 99-107 Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
ὁ διὰ σπλάγχνα οἰκτιρμῶν
.... = Ec 154-162

ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

108-113 * Καρτερικῶς τοὺς ἄθλους, καλλιμάρτυς,
.... = Ec 163-168

114-119 * Τοῖς ἱεροῖς σου ἄθλοις ἐγκαυχᾶται
.... = Ec 169-174

120-125 * Ἡ καλλιμάρτυς πάντας συγκαλεῖται,
.... = Ec 175-180

126-131 * Ἡ μυροθήκη βρύει τῶν λειψάνων,
f. 40 .... = Ec 187-192

132-137 * Θησαυροφύλαξ ὤφθης τῶν δογμάτων
.... = Ec 193-198

138-143 * Χοροὶ πατέρων σήμερον, παρθένε,
.... = Ec 199-204

heirm. γ' EE 104, n. 147, Andreae

τριαδ. 144-149 * Φῶς τὸν πατέρα ἄναρχον δοξάζω,
.... = Ec 205-210

θεοτ. 150-155 * Τὸν κατὰ φύσιν νόμον ἐκτελοῦσα,
.... = Ec 211-216

ᾠδὴ δ'. *Ἐν μέσῳ δύο λῃστῶν*

156-161 Ἐν τῷ σταδίῳ στερρῶς
f. 40v .... = Ec 217-222

162-167 Ὁπλισαμένη πιστῶς
.... = Ec 223-228

168-173 Θωρακισθεῖσα τὴν σὴν
.... = Ec 229-234

174-179 Ὡς κιβωτὸς τοῦ θεοῦ
.... = Ec 247-252

180-185 Ὥσπερ ὁρμίσκον χρυσοῦν
.... = Ec 253-258

Ἡ κατὰ νόμον ποτὲ
λατρεία τοῖς ἐκ τῶν ζῴων αἵμασι
περιερράντιζε τούτων τὰς φλιάς·
αὐτὴ δὲ νῦν, πανεύφημε,
ἐν τοῖς ῥείθροις τοῖς σοῖς
πάντας ἁγιάζεις ἡμᾶς.

Ὀροθετοῦντες σοφῶς
τὸ θεῖον δόγμα ἱεροὶ πατέρες ἡμῶν,
f. 41 παρθενομάρτυς, || τὸν ὅρον ἐκεῖνον,
ὡς ἐκ θεοῦ προνοίας

heirm. δ' EE 104, n. 147, Andreae 193 οἱερεῖς Σν

186-188 Cfr. Ex. 12,7.21-23

ἐμπνεόμενοι,
σοὶ παρατεθείκασιν.

τριαδ. 198-203 Ἐξ ἀγεννήτου πατρὸς
.... = Ec 259-264

θεοτ. 204-209 Θρόνος ἐδείχθης θεοῦ,
.... = Ec 265-270

ᾠδὴ ε΄. *Ζῆλος λήψεται λαὸν ἀπαίδευτον*
....

210-215 Σχῆμα φέρουσα σταυροῦ τὴν νέκρωσιν,
.... = Ec 271-276

216-221 Ἔμπνους πρόκεισαι ἡμῖν, πανεύφημε,
.... = Ec 277-282

222-227 Ὥσπερ νέαν κιβωτόν, πανεύφημε,
.... = Ec 283, 290-294

f. 41ᵛ || Ἔνδον ἔχουσα Χριστοῦ τὴν πύρωσιν
ἐν τῇ ψυχῇ σου, παρθένε,
θερμῶς ἤνεγκας
τοὺς ἐκ τῶν βασάνων αἰκισμούς,
διὸ καὶ ἐγκαυχωμένη
ἔχαιρες πάσχουσα.

τριαδ. 234-239 Μίαν ἄναρχον ἀρχὴν δοξάζομεν
.... = Ec 295-300

θεοτ. 240-245 Βρύεις γάλα ἐκ μαζῶν, θεόνυμφε,
.... = Ec 301-306

---

heirm. ε΄ EE 104, n. 147, Andreae, integer refertur in Σν, cuius varias lectiones cfr. in app. crit. ad traditionem Ec (1) p. 197 222-227 de hoc tropario diximus in app. crit. p. 197 233 πάσχουσα scripsi: παράσχουσα Σν

ᾠδὴ ς΄. *Ὡς Ἰωνᾶν τὸν προφήτην*

246-250 * Νεανικὴν παρρησίαν
.... = Ec 307-311

251-255 * Σὺ τῶν τυράννων τὰ θράση,
.... = Ec 312-316

256-260 * Βασιλικὴν ἁλουργίδα
.... = Ec 317-321

f. 42 261-265 * || Τὴν τῶν αἱμάτων πλημμύραν
.... = Ec 322-326

Τὰ τῶν αἱμάτων σου ῥεῖθρα
ἐκ πηγῶν παρθενίας προχέουσα,
θεῷ μαρτυρεῖς ἀνενδότως
καὶ θνήσκουσα καὶ ζῶσα,
μάρτυς πανεύφημε.

271-275 * Ἡ τεθνεῶσα ὡς ζῶσα
.... = Ec 327-331

τριαδ. 276-280 * Φῶς τὸν πατέρα δοξάζω,
.... = Ec 332-336

θεοτ. 281-285 * Τὸ καπνιζόμενον ὄρος,
.... = Ec 337-341

ᾠδὴ ζ΄. *Τὸν ἐν καμίνῳ τοὺς παῖδας*

286-292 Τὴν γυναικείαν λαθοῦσα
f. 42ᵛ .... = Ec 342-348

---

heirm. ς΄ EE 103, n. 145, Joannis
heirm. ζ΄ EE 101, n. 143, Cosmae

---

266 ss. Cfr. notas ad vv. 19 ss. in traditione Ec (1) p. 185.

293-299 Τὴν τῶν τυράννων μανίαν
.... = Ec 349-355

300-306 Τῇ βασιλίδι τοῦ λόγου
.... = Ec 377-383

307-313 Ἡ τοῦ Μωσέως μὲν θήκη
.... = Ec 370-376

314-320 Τῶν ὀρθοδόξων δογμάτων
.... = Ec 384-390

321-327 Ἡ τῶν πατέρων χορεία
.... = Ec 398-404

τριαδ. 328-334 Ἡ ὑπεράρχιος φύσις,
f. 43 .... = Ec 412-418

θεοτ. 335-341 Ἡ ἀγεώργητος χώρα,
.... = Ec 419-425

ᾠδὴ η'. *Ἐν πυρὶ φλογὸς παρίστανται*

342-349 Τὴν σοφίαν ἐμιμήσατο
.... = Ec 434-441

Ῥωμαλέῳ τῷ φρονήματι,
καλλιμάρτυς ἁγνή,
ἤνεγκας τὰς ἐκ βασάνων
ἀλγηδόνας τῶν ἐχθρῶν,
πληγὰς μὴ πτοηθεῖσα,
πρὸς ξίφη καὶ θηρία,
πρὸς πῦρ νομίμως ἀθλοῦσα,
στεφανηφόρος ὤφθης.

358-365 Ὡς ἐλαίαν σε κατάκαρπον
.... = Ec 442-449

heirm. η' EE 106, n. 149, Andreae

366-373 Τῶν πατέρων τὰ διδάγματα
f. 43v .... = Ec 458-465

374-381 Κιβωτὸν ἀσφαλεστάτην σε
.... = Ec 466-473

382-389 Ἐντρεπέσθω πᾶσα αἵρεσις
.... = Ec 474-481

τριαδ. 390-397 Σὺν ἀγγέλοις ἀνυμνήσωμεν
.... = Ec 482-489

θεοτ. 398-405 Τίς ἀκούων οὐκ ἐξίσταται
.... = Ec 490-497

ᾠδὴ θ'. *Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς*

406-411 Τῷ πόθῳ τετρωμένη,
.... = Ec 504-509

f. 44 412-417 ‖ Δραμοῦσα μετὰ μύρων
.... = Ec 510-515

418-423 Φιάλας ἀρωμάτων
.... = Ec 516-521

εἱρμὸς ἄλλος. *Ἐποίησε κράτος*

424-432 Τὸν ἄφραστον πόθον
.... = Ec 558-566

433-441 * Τίς εἶδεν, τίς ἔγνω
.... = Ec 531-539

442-450 * Τὸν τόμον ἐκεῖνον
f. 44v .... = Ec 549-557

heirm. θ' EE 106, n. 149, Andreae
heirm. alter EE 106, n. 149, Andreae

451-459 * Τῷ θρόνῳ τῆς δόξης
.... = Ec 567-575

τριαδ.

Τριὰς ἐν μονάδι
ἀνυμνείσθω ὁ θεός,
συνάναρχος, ὁμότιμος τῇ φύσει
καὶ συγγενὴς ἱερουργός,
μία σύμπνοια βουλῆς,
ταυτότης κινήσεως ἀεί,
εὐσεβῶς νοουμένη,
ὁ πατὴρ καὶ ὁ υἱὸς
καὶ τὸ θεῖον πνεῦμα.

θεοτ.

Ἐχώρησας λόγον
τὸν ἀχώρητον παντὶ
καὶ ἔτεκες ἐν χρόνῳ τὸν ἀχρόνως
ἐκλάμψαντα ἐκ πατρός,
ἀρχὴν γνόντα χρονικὴν
ἐκ σοῦ κατὰ σάρκα ἀψευδῶς,
θεόνυμφε Μαρία,
μὴ φθείραντα τῆς ἁγνῆς
παρθενίας κλεῖθρα.

---

463 ἱερουργὸς Σν

IN SANCTAM EUPHEMIAM MARTYREM ET IN DEFINITIONEM FIDEI CHALCEDONENSEM

Canon secundum traditionem Crypt. Δ.α. XI = Co, ff. 35-41

Ὁ κανών.

Ἦχος δʹ.

ᾠδὴ αʹ. *Ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ*

1-6 * Σήμερον, οἱ πιστοί,
.... = Ec 1-6

7-12 Ὅπλῳ τῷ τοῦ σταυροῦ
.... = Ec 7-12

13-18 * Στάδιον φοβερὸν
.... = Ec 13-18

f. 35v 19-24 * ‖ Ξένον ὡς ἀληθῶς
.... = Ec 19-24

25-30 * Σήμερον ἡ σορὸς
.... = Ec 31-36

31-36 * Δόγματα εὐσεβῆ
.... = Ec 37-42

τριαδ. 37-42 * Ἄναρχος ὁ πατὴρ
.... = Ec 49-54

θεοτ. 43-48 * Τέτοκας υἱὸν
.... = Ec 55-60

---

tit. nomen auctoris om. cd.
heirm. αʹ EE 104, n. 147, Andreae vv. 3-6 heirm. alia manu add. in margine invenimus in Co, ubi minime leguntur

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος

49-57 Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
ὁ καθελὼν τὰς μηχανὰς
.... = Ec 91-99

58-66 Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
ὁ ἐν σταδίῳ καρτερῶς
.... = Ec 100-108

67-75 Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
ὁ βασιλέας συγκαλῶν
.... = Ec 118-125

f. 36 76-84 ‖ Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
ὁ τὴν ἀείβρυτον σορὸν
.... = Ec 109-117

85-93 Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ τὸ θαῦμα δεικνὺς
τῆς πανευφήμου ὡς θεὸς
.... = Ec 136-144

τριαδ. 94-102 Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι

heirm. β' cfr. in app. crit. ad traditionem Ec (1) p. 189

ὁ πατὴρ καὶ υἱὸς
καὶ τὸ πανάγιον πνεῦμα
.... = Ec 145-153

θεοτ. 103-111 Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι
ὁ θεὸς ὁ λόγος,
ὁ διὰ σπλάγχνα οἰκτιρμῶν
.... = Ec 154-162

ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

112-117 * Καρτερικῶς τοὺς ἄθλους, καλλιμάρτυς,
.... = Ec 163-168

118-123 * Τοῖς ἱεροῖς σου ἄθλοις ἐγκαυχᾶται
.... = Ec 169-174

124-129 * Ἡ καλλιμάρτυς πάντας συγκαλεῖται,
.... = Ec 175-180

f. 36ᵛ 130-135 * ‖ Παρθενικῶν αἱμάτων τὸ τρυβλίον
.... = Ec 181-186

136-141 * Ἡ μυροθήκη βρύει τῶν λειψάνων,
.... = Ec 187-192

142-147 * Χορὸς πατέρων σήμερον, παρθένε,
.... = Ec 199-204

τριαδ. 148-153 * Φῶς τὸν πατέρα ἄναρχον δοξάζω,
.... = Ec 205-210

θεοτ. 154-159 * Τὸν κατὰ φύσιν νόμον ἐκτελοῦσα,
.... = Ec 211-216

heirm. γ' EE 104, n. 147, Andreae

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὸ προσταχθὲν <μοι> μυστικῶς*

Ἀγαλλιάσθω ἡ πληθὺς
.... = Ec

Ἄλλο.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

* Τὸν νυμφίον σου Χριστὸν
ἀγαπήσασα,
τὴν λαμπάδα σου φαιδρῶς
εὐτρεπίσασα,
ταῖς ἀρεταῖς διέλαμψας, πανεύφημε,
ὅθεν εἰσελήλυθας
σὺν αὐτῷ εἰς τὸν γάμον,
στέφος τῆς ἀθλήσεως
παρ' αὐτοῦ δεξαμένη·
f. 37 ἀλλ' ἐκ κινδύνων λύτρωσαι ‖ ἡμᾶς
τοὺς ἐκτελοῦντας
ἐν πίστει τὴν μνήμην σου.

ᾠδὴ δ'. *Ἐν μέσῳ δύο λῃστῶν*
.... = Ec

160-165 Ἐν τῷ σταδίῳ στερρῶς
.... = Ec 217-222

primum κάθ. cfr. in traditione Ec (1) p. 200 post odem ς'
secundum κάθ., ed. *ak*, 11, ante canonem referunt Σο (f. 31rv) et Cn (f. 94), post odem γ' Πq (6), p. 244
heirm. alterius καθ. HR 29 7 εἰς τοὺς γάμους *ak* Πq 8 τὸ στέφος Σο Cn
heirm. δ' ΕΕ 104, n. 147, Andreae, integer apparet in Co ut in traditione Ec (1) p. 194

1-7 secundi καθ. Cfr. Matth. 25,1 ss.

166-171 Θωρακισθεῖσα τῇ σῇ
.... = Ec 229-234

172-177 Τὰς τῶν αἱμάτων πηγὰς
.... = Ec 235-240

178-183 Ὡς κιβωτὸς τοῦ θεοῦ
.... = Ec 247-252

184-189 Ὥσπερ ὁρμίσκον χρυσοῦν
.... = Ec 253-258

τριαδ. 190-195 Ἐξ ἀγεννήτου πατρὸς
.... = Ec 259-264

θεοτ. 196-201 Θρόνος ἐδείχθης θεοῦ,
.... = Ec 265-270

ᾠδὴ ε'. *Ζῆλος λήψεται λαὸν ἀπαίδευτον*
f. 37v .... = Ec

202-207 Σχῆμα φέρουσα σταυροῦ τὴν νέκρωσιν,
.... = Ec 271-276

208-213 Ἔμπνους πρόκεισαι ἡμῖν, πανεύφημε,
.... = Ec 277-282

Ὥσπερ γάλα βλύσαν ἐν τῇ λάρνακι,
τῆς πανευφήμου τὸ αἷμα
φρικτὸν θέαμα
τοῖς παρισταμένοις ἐμποιεῖ·
ἐνεργεῖ καὶ γὰρ ὁ κτίστης
ὅσα καὶ βούλεται.

heirm. ε' ΕΕ 104, n. 147, Andreae, integer in Co, ut referimus in traditione Ec (1) p. 197

214 ss. Cfr. notas ad vv. 19 ss. in traditione Ec (1) p. 185.

Στήλην ἔχομεν ζωῆς τὴν λάρνακα
τῶν ἱερῶν σου λειψάνων,
πηγὴν βρύουσαν
ἐκ παρθενικῶν σου ὀχετῶν
ἐτησίως πλημμυροῦσαν,
μάρτυς πολύαθλε.

226-231 Ὥσπερ νέαν κιβωτόν, πανεύφημε,
.... = Ec 283-288

232-237 Τόμον φέρουσα χερσίν, πανεύφημε,
.... = Ec 289-294

τριαδ. 238-243 Μίαν ἄναρχον, πιστοί, δοξάσωμεν
.... = Ec 295-300

f. 38 θεοτ. 244-249 ‖ Βρύεις γάλα ἐκ μαζῶν, θεόνυμφε,
.... = Ec 301-306

ᾠδὴ ς'. *Ὡς Ἰωνᾶν τὸν προφήτην*

250-254 * Νεανικὴν παρρησίαν
.... = Ec 307-311

255-259 * Σὺ τῶν τυράννων τὰ θράση,
.... = Ec 312-316

260-264 * Βασιλικὴν ἁλουργίδα
.... = Ec 317-321

265-269 Τὰ τῶν αἱμάτων σου ῥεῖθρα
.... = Σν 266-270

270-274 * Ἡ τεθνεῶσα ὡς ζῶσα
.... = Ec 327-331

heirm. ς' EE 103, n. 145, Joannis, sed post Ὡς Ἰωνᾶν τὸν προφήτην invenimus in Co, alia manu in margine addita, verba: ἐκ βυθοῦ ἀνήγαγες / σὺ τὴν ζωήν μου ὁ θεός / καὶ πταισμάτων μέρισαι / τῇ εὐσπλαγχνίᾳ σου, quae minime metro tropariorum aptantur, quia vero, nonnullis variis lectionibus, pertinent ad heirm. EE 97, n. 137, Joannis, inc. Ὡς τὸν προφήτην ἐκ βυθοῦ

τριαδ. 275-279 * Φῶς τὸν πατέρα δοξάζω,
.... = Ec 332-336

θεοτ. 280-284 * Τὸ καπνιζόμενον ὄρος,
.... = Ec 337-341

Κοντάκιον φέρον ἀκροστιχίδα·
Τῆς πανευφήμου.

Ἦχος πλ. β'.

Ἀγῶνας ἐν ἀθλήσει,
ἀγῶνας ἐν τῇ πίστει
f. 38v ....

Οἶκοι. *Τάχυνον, ὁ οἰκτίρμων,*

α') Τί τῶν σῶν ἀθλημάτων
....

β') Ἡ ταφὴ ἔνθα κεῖται
....

f. 39 γ') Σὺ [εἶ] ἀληθινὸν μάννα
....

δ') Παρθενίαν εἰς ἄκρον
ἐφύλαξας καθαράν,
φαιδρύνασα τῷ ἐλαίῳ

κοντάκ. et οἴκ. tres ed. in PAS I, 646-648 et alibi: cfr. IHG I,35; IV,159; II, 77; III, 557 index omnium tredecim οἴκ., ex quibus Co tantum quinque refert, invenitur in TRM II, σκε'-σκς' (cfr. commentarium p. 557 ss.)
heirm. οἴκ. PAS I, 186

3 ss. οἴκ. Cfr. Matth. 25,1 ss.

τὴν λαμπάδα τῆς καρδίας σου,
δι' ἧς τῇ σῇ ἀθλήσει
ὑπήντησας τῷ νυμφίῳ,
ὃν ἀγαπῶσα κολάσεις
δι' αὐτὸν πόθῳ ὑπέμεινας
καὶ παρ' αὐτῷ ἐστέφθης,
εἰς ὃν καὶ ἐνυμφεύθης,
καὶ σαφῶς ἀγρυπνήσασα,
σὺν αὐτῷ εἰσελήλυθας
εἰς τὸν βασιλικὸν
νυμφῶνα τὸν οὐράνιον
καὶ εὐφραίνει μετὰ τῶν λειτουργῶν
τῶν ἐν τοῖς ὑψίστοις,
καὶ κάτω ἐκ τοῦ τάφου σου
πᾶσιν νέμει τὸ ἐκ σοῦ βρύον χάρισμα,
ἐξαιρέτως ὃ ἔλαβες,
ὑπὸ ἑξακοσίων
⟨τριάκοντα θεοφόρων
πατέρων ὅρον λαβοῦσα
καὶ φυλάττουσα, πανεύφημε⟩.

ε') Ὕμνοις καὶ ἐγκωμίοις
τὰ ἴχνη σου ἠσπασάμην,
πανεύφημε, τὰ γενναίως
τὸν διάβολον συντρίψαντα·
ἐξ αὐτοῦ ἐξελοῦ με
καὶ πάντας τοὺς σὲ ὑμνοῦντας·
ταῖς σαῖς πρεσβείαις, ἁγία,
κυβερνῶσα τὴν ζωὴν ἡμῶν,
παράθου ἡμᾶς πάντας
Χριστῷ τῷ σῷ νυμφίῳ,
ἵνα ἵλεος γένηται
ταῖς ψυχαῖς ἡμῶν, ἔνδοξε,
καὶ ἐν τῇ φοβερᾷ
ἐτάσει αὐτοῦ φείσεται
ἡμῖν πᾶσι τοῖς κράζουσιν ἀεί,
τοῦ ῥύσασθαι πάντας

vv. 21-23 om. Co

ἐκ πάσης περιστάσεως
καὶ κινδύνων εἰς αὐτὸν τοῖς ἐλπίζουσιν,
Χριστὸς ὁ σοὶ δούς, ἄμωμε·
ὑπὸ ἑξακοσίων
⟨τριάκοντα θεοφόρων
πατέρων ὅρον λαβοῦσα
καὶ φυλάττουσα, πανεύφημε⟩.

f. 39ᵛ || ᾠδὴ ζ'. *Τὸν ἐν καμίνῳ τοὺς παῖδας*
ἀφλέκτως τηρήσαντα
καὶ τὸ πῦρ κατασβέσαντα
ὑμνήσωμεν λέγοντες·
« εὐλογητὸς εἶ, κύριε,
ὁ θεὸς τῶν πατέρων,
εἰς πάντας τοὺς αἰῶνας ».

285-291 Τὴν τῶν τυράννων μανίαν
.... = Ec 349-355

292-298 Τὴν γυναικείαν λαθοῦσα
.... = Ec 342-348

299-305 Ὁ βασιλεὺς ἐτησίως
.... = Ec 356-362

Τὴν νοητὴν παντευχίαν
ὡπλίσατο, κύριε,
ἡ καλλίνικος μάρτυς σου,
δι' ἧς τὸν ἀλάστορα
συμπλακεῖσα κατέβαλεν,
οὐ τρωθεῖσα μηδ' ὅλως
τῇ τούτου πανουργίᾳ.

vv. 21-23 om. Co
heirm. ζ' ΕΕ 101, n. 143, Cosmae integrum praebent Co Σο
heirm. 2-7: post ἀφλέκτως cetera in margine addita invenimus alia manu in Co, ubi tamen v. 3 om. 2 ἀφλέκτους ΕΕ τηρήσαντας Co, φυλάξαντα Σο 5-7 post εὐλογητὸς cetera om. Σο

Ὡς ἐκ βοτρύων τὸν οἶνον
ἡ χάρις, πανεύφημε,
ἐτησίως ἐκθλίβουσα,
πηγάζει τὰ νάματα,
« εὐλογητὸς εἶ, κύριε »,
μυστικῶς ἐκβοῶσα,
« εἰς πάντας τοὺς αἰῶνας ».

320-326 Τὰς τῶν βασάνων στρεβλώσεις
.... = Ec 363-369

327-333 Τῶν ὀρθοδόξων δογμάτων
.... = Ec 384-390

f. 40 334-340 ‖ Ἡ τῶν πατέρων χορεία
.... = Ec 398-404

341-347 Ἡ Χαλκηδὼν ἑορτάζει
.... = Ec 391-397

τριαδ. 348-354 Ἡ ὑπεράρχιος φύσις,
.... = Ec 412-418

θεοτ. 355-361 Ἡ ἀγεώργητος χώρα,
.... = Ec 419-425

ᾠδὴ η'. *Ἐν πυρὶ φλογὸς παρίστανται*

362-369 Ἡ ἀνείκαστος σοφία σου,
.... = Ec 426-433

370-377 Τὴν σοφίαν ἐμιμήσατο
.... = Ec 434-441

378-385 Ὡς ἐλαίαν σε κατάκαρπον
.... = Ec 442-449

---

heirm. η' EE 106, n. 149, Andreae

f. 40ᵛ ‖ Ἡ ἀμνάς σου ἡ ἀμίαντος
τὰς τῶν λύκων ὁρμὰς
ἔτρεψεν, τῶν διωκόντων
μὴ πτοοῦσα τὸν θυμόν·
διὸ καὶ ταῖς βασάνοις
γενναίως ἐναθλοῦσα,
ἐβόα· « σύ μου μόνος θεός,
νυμφίος καὶ σωτήρ μου ».

394-401 Τῶν πατέρων τὰ διδάγματα
.... = Ec 458-465

402-409 Κιβωτὸν ἀσφαλεστάτην σε
.... = Ec 466-473

410-417 Ἐντρεπέσθω πᾶσα αἵρεσις
.... = Ec 474-481

τριαδ. 418-425 Σὺν ἀγγέλοις ἀνυμνοῦμέν σε
.... = Ec 482-489

θεοτ. 426-433 Τίς ἀκούων οὐκ ἐξίσταται
.... = Ec 490-497

ᾠδὴ θ'. *Ἐποίησε κράτος*
ἐν βραχίονι αὐτοῦ·
καθεῖλε γὰρ δυνάστας ἀπὸ θρόνων
καὶ ὕψωσε ταπεινοὺς
ὁ θεὸς τοῦ Ἰσραήλ,
ἐν οἷς ἐπεσκέψατο ἡμᾶς
ἀνατολὴ ἐξ ὕψους
καὶ κατεύθυνεν ἡμᾶς
εἰς ὁδὸν εἰρήνης.

434-442 * Τίς εἶδεν, τίς ἔγνω
.... = Ec 531-539

---

389 πτοοῦσα pro πτοηθεῖσα metri causa: cfr. v. 348 in Ec (1) p. 201, v. 354 in Σν (2) p. 216
heirm. θ' EE 106, n. 149, Andreae heirm. 3-9 in margine alia manus add.

f. 41 443-451 * ‖ Τὸν τόμον ἐκεῖνον
.... = Ec 549-557

452-460 Τὸν ἄφραστον πόθον
.... = Ec 558-566

461-469 * Τῷ θρόνῳ τῆς δόξης
.... = Ec 567-575

⟨θεοτ.⟩ 470-478 Ὁ πάντα ποιήσας
.... = Ec 576-584

θεοτ. Παρθένος πρὸ τόκου
συλλαβοῦσα ἐν γαστρί,
παρθένος πάλιν μετὰ τόκον μένεις,
ὡς οἶδεν μόνος αὐτός·
ὃν ἐκύησας Χριστὸν
παρθένος θηλάζεις ἀληθῶς,
ἐκ σοῦ σεσαρκωμένον,
τὸν ἐκ πέτρας βλύσαντα
ποταμοὺς ὑδάτων.

vv. 470-478, quos vero Ec (1), p. 209, ut θεοτ. refert, ut τριαδ. indicat in margine Co

486-487 Cfr. Num. 20,8-13

IN SANCTAM EUPHEMIAM MARTYREM ET IN DEFINITIONEM FIDEI CHALCEDONENSEM

Canon secundum traditionem Sinait. gr. 627 = Σο, ff. 32-35

Ὁ κανών, Ἀνδρέου.

Ἦχος δʹ.

ᾠδὴ αʹ. *Ἄισωμεν τῷ κυρίῳ*
τῷ παραδόξως βυθίσαντι

Ἄισωμεν τῷ κυρίῳ,
τῷ ἐν σταδίῳ νευρώσαντι
τὴν τοῦ θήλεος φύσιν
στερρῶς ἐναθλήσασαν
στεφάνους ἀναδήσασθαι.

Σιγάτω αἵρεσις πᾶσα,
τὸν θεῖον τόμον τῆς πίστεως
τὴν τεθαμμένην ὁρῶσα
ὡς πλάκας βαστάζουσαν
καὶ βρύουσαν ναμάτων πηγάς.

f. 32ᵛ ‖ Ὢ θαῦμα, πῶς ἡ θανοῦσα
καθάπερ ζῶσα τῇ λάρνακι
μαρτυρικῶς ἐναθλοῦσα

tit. sigla Ἀνδρέου in margine add. cd.
heirm. αʹ EE 95, n. 134, Germani, integrum refert Πq 3 τὴν ... φύσιν] τὴν ἑαυτοῦ ἀθλοφόρον Πq 5 ἀναδύσασθαι Πq 7 τόμον] ὅρον Πq 10 βρύουσα ἰαμάτων Πq

9 Cfr. Ex. 31,18

πηγάζει τὰ ἰάματα
καὶ βρύει τὰ χαρίσματα.

[θεοτ.] Δυσώπησον τὸν σωτῆρα,
παρθενομάρτυς πανεύφημε,
ῥυσθῆναι πάσης ἀνάγκης
καὶ πάσης περιστάσεως
τοὺς πίστει εὐφημοῦντάς σε.

ᾠδὴ β'. *Πρόσεχε, οὐρανέ, καὶ λαλήσω*

21-22 * Σήμερον τῶν δογμάτων τὸν ὅρον
.... = Ec 79-80

23-24 * Ὡς φύλαξ τῶν ὀρθοδόξων δογμάτων
.... = Ec 81-82

25-26 * Τὸν τόμον ταῖς σαῖς ἀγκάλαις λαβοῦσα
.... = Ec 83-84

* Ἔδειξας ὡς πανεύφημος σέβας,
ὡς καὶ θανοῦσα ἀθλεῖς μέχρις αἵματος.

θεοτ. * Ἄχραντε θεοτόκε παρθένε,
ὑπὲρ ἡμῶν τὸν σωτῆρα ἱκέτευε.

ᾠδὴ γ'. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

31-36 * Καρτερικῶς τοὺς ἄθλους, καλλιμάρτυς,
.... = Ec 163-168

37-42 * Τοῖς ἱεροῖς σου ἄθλοις ἐγκαυχᾶται
.... = Ec 169-174

---

14 τὰ om. Πq 15 βρύει τὰ] παρέχει Πq vv. 16-20 perperam ut θεοτ. refert Σο
heirm. β' Pent [II] μθ' vv. 27-30 ed. in *ak*, 30
heirm. γ' EE 104, n. 147, Andreae

43-48 * Παρθενικῶν αἱμάτων τὸ τρυβλίον
.... = Ec 181-186

49-54 * Θησαυροφύλαξ ὤφθης τῶν δογμάτων
.... = Ec 193-198

f. 33 55-60 * ‖ Χοροὶ πατέρων σήμερον, παρθένε,
.... = Ec 199-204

θεοτ. * Τὴν ἐξ Ἀδὰμ τοῦ γένους ἀμορφίαν
ἐπεισαχθεῖσαν βρώματι
κυοφορούμενος, Ἰησοῦ,
ἐν γαστρὶ τῆς θεοτόκου
ὑπερφυῶς ἀνέπλασας,
τὸ πρῶτον κάλλος δοὺς ἡμῖν.

ᾠδὴ δ'. *Εἰσακήκοα*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

* Ξένον ἄκουσμα·
ἡ ἀσθενὴς τοῦ θήλεος φύσις
ἀνδρικῶς κατὰ τοῦ δράκοντος
ἀρρενωθεῖσα ὁπλίζεται.

* Τὸ ἀείζωον
τῶν σῶν αἱμάτων ῥεῖθρον ἀντλοῦσα,
ἡ βασίλειος ὁμήγυρις,
μάρτυς, δοξάζει τοὺς ἄθλους σου.

* Ὁ θεόγραφος
τῆς ὀρθοδόξου πίστεως ὅρος
ὡς πιστῇ σοι νομοφύλακι,
μάρτυς Χριστοῦ, ἀνατίθεται.

61-66 θεοτ. ed. in *ak*, 31 66 πρῶτον] προτοῦ *ak*
heirm. δ' EE 95, n. 134, Germani, integer apparet in Πq vv. 67-78 ed. in *ak*, 31 70 ὁπλίζετο Cn 72 ἀντλοῦμεν *ak* 77 ὡς] ᾧ Πq v. 78 μάρτυς δοξάζει τοὺς ἄθλους σου Σο

---

71 ss. Cfr. notas ad vv. 19 ss. in traditione Ec (1) p. 185.

εἱρμὸς ἄλλος. *Ἐν μέσῳ δύο λῃστῶν*

79-84 Ἐν τῷ σταδίῳ στερρῶς
.... = Ec 217-222

85-90 Ὡς κιβωτὸς τοῦ θεοῦ
.... = Ec 247-252

91-96 Ὥσπερ ὁρμίσκον χρυσοῦν
.... = Ec 253-258

⟨τριαδ.⟩ 97-102 Ἐξ ἀγεννήτου πατρὸς
.... = Ec 259-264

ᾠδὴ ε'. *Ζῆλος λήψεται λαὸν ἀπαίδευτον*

103-108 Σχῆμα φέρουσα σταυροῦ τὴν νέκρωσιν,
f. 33v .... = Ec 271-276

109-114 Ἔμπνους πρόκεισαι ἡμῖν, πανεύφημε,
.... = Ec 277-282

115-120 Ὥσπερ νέαν κιβωτόν, πανεύφημε,
.... = Ec 283-288

121-126 Τόμον φέρουσα χερσίν, πανεύφημε,
.... = Ec 289-294

θεοτ. 127-132 Βρύεις γάλα ἐκ μαζῶν, θεόνυμφε,
.... = Ec 301-306

---

heirm. alter EE 104, n. 147, Andreae   vv. 97-102 ut θεοτ. indicat Σο
heirm. ε' EE 104, n. 147, Andreae

ᾠδὴ ϛ'. *Ὡς Ἰωνᾶν τὸν προφήτην*

133-137 * Τὴν τῶν αἱμάτων πλημμύραν
.... = Ec 322-326

138-142 * Βασιλικὴν ἁλουργίδα
.... = Ec 317-321

* Ὡς κιβωτὸς ἀρωμάτων,
ἡ σορὸς τῶν λειψάνων τῆς μάρτυρος
διῆλθεν ἀβρόχοις πορείαις
ὡς ἄλλον Ἰορδάνην
τὴν Προποντίδα ποτέ.

* Ὥσπερ ἀλάβαστρον μύρου
τῶν λειψάνων κενοῦσα τὴν λάρνακα,
μυρίζεις ἡμῶν τὰς καρδίας
f. 34 καὶ ‖ γλώσσας ἐμπυρίζεις
αἱρετιζόντων ἐχθρῶν.

θεοτ. 153-157 * Τὸ καπνιζόμενον ὄρος,
.... = Ec 337-341

ᾠδὴ ζ'. *Τὸν ἐν καμίνῳ τοὺς παῖδας*
.... = Co

158-164 Τῶν ὀρθοδόξων δογμάτων
.... = Ec 384-390

165-171 Ἡ τῶν πατέρων χορεία
.... = Ec 398-404

---

heirm. ϛ' EE 103, n. 145, Joannis   vv. 143-152 ed. in *ak*, 32
149 τῶν λειψάνων σου Πq   καινοῦσα τῇ λάρνακι Σο   150 μυρίζει *ak*
151 ἐμπυρίζει *ak*
heirm. ζ' EE 101, n. 143, Cosmae, integrum refert Σο: cfr. app. crit. p. 227, in traditione Co (3)

---

143 ss. Cfr. Ios. 3,14-17   148 Cfr. Matth. 26,7; Marc. 14,3; Luc. 7,37

172-178 Τὴν τῶν τυράννων μανίαν
.... = Ec 349-355

179-185 Τῇ βασιλίδι τοῦ λόγου
.... = Ec 377-383

θεοτ. 186-192 Ἡ ἀγεώργητος χώρα,
.... = Ec 419-425

ᾠδὴ η΄. *Τὸν βασιλέα Χριστὸν*

* Ἡ τοῦ κυρίου ἀμνὰς
λύκους ἐξέκλινεν,
ἐτροπώσατο ὄφεις
τοὺς ἀσεβεῖς διώκτας
καὶ διέφυγεν αὐτοὺς
ὥσπερ δορκὰς ἐκ παγίδος
καὶ ἐν τῷ ὀνόματι αὐτοῦ ἐβοηθήθη.

f. 34v * ‖ Τὰς θεομβρίας τῶν σῶν,
μάρτυς, ἀνοίξασα
σεβασμίων αἱμάτων,
τῶν δυσσεβῶν κατέκλυσας
τὰς γλώσσας, ἐν αὐτοῖς
σώσασα ὡς ἐν χειμῶνι
τὴν ἐμπιστευθεῖσάν σοι πιστῶς ὀρθοδοξίαν.

* Ἡ νομικὴ κιβωτὸς
πλάκας ἐδέξατο
καὶ τῆς στάμνου τὸ μάννα·
αὐτὴ δὲ νέας πλάκας,

---

heirm. η΄ EE 104, n. 146, Germani, integer in Πq invenitur vv. 193-213 ed. in *ak*, 33 195 ὄφιν Cn 197-198 καὶ usque ad δορκὰς om. Πq 198 παγίδων Cn Πq 199 αὐτοῦ] χριστοῦ Πq 200 Ταῖς ἐπομβρίαις Cn 206 πιστῶς ὀρθοδοξίαν] πίστιν ὀρδοδοξίας *ak* Cn Πq 209 καὶ τὴν στάμνον τοῦ μάννα *ak* 210 ἐν αὐτῇ Cn

---

200 ss. Cfr. notas ad vv. 19 ss. in traditione Ec (1) p. 185.

---

198 Sir. 27,20 207 Ex. 25,10 208 Ex. 31,18 209 Ex. 16,32-35

τὸν τῆς πίστεως ὅρον
στάμνῳ χρυσῇ ἐντεθέντα,
τῷ παρθενικῷ σου τῆς σαρκὸς θαλάμῳ, μάρτυς.

εἱρμὸς ἄλλος. *Ἐν πυρὶ φλογὸς παρίστανται*

214-221 Τὴν σοφίαν ἐμιμήσατο
.... = Ec 434-441

θεοτ. 222-229 Τίς ἀκούων οὐκ ἐξίσταται
.... = Ec 490-497

ᾠδὴ θ΄. *Ἐποίησε κράτος*

230-238 * Τὸ ἄγραπτον κάλλος
.... = Ec 522-530

239-247 * Τίς εἶδεν, τίς ἔγνω
.... = Ec 531-539

248-256 Διψῶσα ἡ μάρτυς
f. 35 .... = Ec 540-548

257-265 * Τὸν τόμον ἐκεῖνον
.... = Ec 549-557

266-274 * Τῷ θρόνῳ τῆς δόξης
.... = Ec 567-575

⟨θεοτ.⟩ * Ὁ εἷς τῆς τριάδος
ἐπ' ἐσχάτων δι' ἡμᾶς
ἐτέχθη ἄνευ πάθους ἐκ παρθένου,
ὁ ὢν ἀεὶ σὺν πατρὶ
ἀμερίστως ἰσουργὸς
καὶ σώζει ἐκ πάθους καὶ φθορᾶς
τοὺς πίστει ἀνυμνοῦντας
καὶ δοξάζοντας αὐτὸν
ὡς θεὸν τῶν ὅλων.

---

heirm. alter EE 106, n. 149, Andreae
heirm. θ΄ EE 106, n. 149, Andreae 275-283 θεοτ., ed. in *ak*, 34, indicat Σο ut τριαδ.

11 IUL. *CANON* XVII (5)

IN SANCTAM EUPHEMIAM MARTYREM ET IN DEFINITIONEM FIDEI CHALCEDONENSEM

Canon secundum traditionem Crypt. Δ.α. XXIII = Cn, ff. 94v-96

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἅρματα Φαραὼ*

1-6 * Σήμερον, οἱ πιστοί,
.... = Ec 1-6

7-12 * Στάδιον φοβερὸν
.... = Ec 13-18

13-18 * Σήμερον ἡ σορὸς
.... = Ec 31-36

θεοτ. Ἄρτος ζωοποιὸς
ἐφυράθη ἀληθῶς
ἀφύρτως, πανάμωμε,
τῇ σῇ γαστρὶ ὑπὲρ λόγον
f. 95 τέλειος || ἐν φύσεσι διτταῖς,
ὁ σὸς υἱὸς καὶ θεὸς ἡμῶν.

---

tit. in margine sigla Ἰωάννου refert Cn (cfr. commentarium p. 557 notam 1).

heirm. α' EE 104, n. 147, Andreae

---

19 Cfr. Joh. 6,32 ss.35.48 ss.

ᾠδὴ γ'. *Ἐν κυρίῳ θεῷ μου*

Ἀνοιγέσθω ἡ σορὸς
καὶ ἀρυέσθω ὁ λαὸς τοῦ θεοῦ
τὰ ῥεῖθρα τῶν αἱμάτων,
ὡς νοσημάτων ἀλεξίκακα.

Ὢ καινῶν ἀκουσμάτων·
ἡ εὐσταθὴς τοῦ λόγου ἄμπελος,
ἡ πάλαι ξηρανθεῖσα,
φύσει τὸν βότρυν τῶν αἱμάτων αὐτῆς.

θεοτ. Ὑπὲρ φύσιν ἐν γαστρὶ
κυοφορήσασα, παρθένε ἁγνή,
ἐκύησας τὸν λόγον,
ἐν σοὶ ἑνώσαντα ἡμᾶς ἑαυτῷ.

ᾠδὴ δ'. *Εἰσακήκοα*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην

37-40 * Ξένον ἄκουσμα·
.... = Σο 67-70

41-44 * Τὸ ἀείζωον
.... = Σο 71-74

[θεοτ.] * Ἐπεσφράγισας
ὡς ἐν γραφίδι τῷ θείῳ τόμῳ,
τῶν δογμάτων τὴν ἀσφάλειαν
ὑποτυποῦσα τοῖς αἵμασιν.

---

heirm. γ' EE 104, n. 146, Germani, integer in Πq invenitur 28 ἀλεξητήρια Πq 30 εὐθαλὴς Πq 31 ἡ] ἐκ Πq 32 τῶν αἱμάτων] ἐγεώργει Cn

heirm. δ' EE 95, n. 134, Germani, integrum refert Πq vv. 45-48 ed. in *ak*, 31, ut θεοτ. refert Cn 46 γραφίδι] σφραγίδι Πq 47 τὴν ἀσάφειαν Πq v. 48 ἐπιγραφεῖσαν σοι αἵματι Πq

---

25 ss. Cfr. notas ad. vv. 19 ss. in traditione Ec (1) p. 185.

30-32 Cfr. Ioel 1,12; 2,22; Joh. 15,1-11

ᾠδὴ ε'. Ὁ ἀνατείλας τὸ φῶς

* Ἡ τῶν πατέρων πληθὺς
τῶν δογμάτων τὸν ὅρον
παρέθετό σοι, μάρτυς,
ὡς ἐνθέῳ κήρυκι
τῆς ἀληθείας καὶ μετὰ θάνατον.

* Εἰ καὶ θανοῦσα σιγᾷς
μὴ κινοῦσα τὰ χείλη,
ἀλλ' ἔνδοθεν ἡ χάρις
τῶν θαυμάτων κράζει σοι
τῇ μυστικῇ τῶν δογμάτων σάλπιγγι.

θεοτ. Ὁ ἐκ παρθένου ἁγνῆς
σαρκωθεὶς ἀπορρήτως
καὶ ταύτην σωτηρίαν
κόσμῳ δωρησάμενος,
εὐχαριστοῦμεν τὴν σὴν ἀγαθότητα.

ᾠδὴ ς'. Ὡς Ἰωνᾶν τὸν προφήτην

64-68 * Νεανικὴν παρρησίαν
f. 95v .... = Ec 307-311

69-73 * Σὺ τῶν τυράννων τὰ θράση,
.... = Ec 312-316

θεοτ. 74-78 * Τὸ καπνιζόμενον ὄρος,
.... = Ec 337-341

---

heirm. ε' EE 104, n. 146, Germani, integrum praebet Πq vv. 49-58 ed. in *ak*, 32 52 ὡς ἐν θείᾳ λάρνακι *ak*
heirm. ς' EE 103, n. 145, Joannis
in margine ad odem ς', alia manu add., invenimus in Cn κοντάκ. Ἀγῶνας ἐν ἀθλήσει, ed. PAS I, 646: cfr. in traditione Co (3) p. 225

ᾠδὴ ζ'. Ὁ ἐν τῷ ὄρει Μωυσῇ συλλαλήσας

* Μωσῆς τὴν πέτραν
ῥάβδῳ πλήξας, ὢ θαῦμα,
τὸ ὕδωρ
τῷ διψῶντι λαῷ παρέσχεν
καὶ ἡ θανοῦσα νύττεται
καὶ πηγάζει αἱμάτων κρουνούς.

* Ὡς νομοφύλαξ,
τῶν δογμάτων τὸν ὅρον
ἡ μάρτυς
δεξαμένη ὡς πλάκας θείας,
φυλάττει τοῦτον ἄτρωτον
ἐκ πασῶν τῶν αἱρέσεων.

[θεοτ.] * Διπλοῦν τὸν ἕνα
δογματίζων ὁ τόμος,
οὐ τέμνει
τὰς οὐσίας, οὐ συναλείφει,
ἀλλ' ἡνωμένας δείκνυσιν,
ὡς βοᾷ ἡ ἀλήθεια.

ᾠδὴ η'. Τὸν βασιλέα Χριστὸν

97-103 * Ἡ τοῦ κυρίου ἀμνὰς
.... = Σο 193-199

---

heirm. ζ' EE 104, n. 146, Germani vv. 79-96 ed. in *ak*, 33
79 πέτραν] φλόγα Cn 84 κρονούς Cn 85 Ὥσπερ φύλαξ Πq 88 θείας πλάκας Πq 89 φύλαττε Πq vv. 91-96 perperam tradit Cn ut θεοτ.
heirm η' EE 104, n. 146, Germani

---

84 Cfr. notas ad vv. 19 ss., in traditione Ec (1) p. 185.

79-82 Cfr. Num. 20,8-13 88 Ex. 31,18

104-110 * Τὰς θεομβρίας τῶν σῶν,
.... = Σο 200-206

[θεοτ.] 111-117 * Ἡ νομικὴ κιβωτὸς
.... = Σο 207-213

f. 96 ‖ ᾠδὴ θ'. *Ὅτι ἐποίησέ μοι*

118-123 « Ὄντως ἐποίησέ μοι
.... = Εc 498-503

124-129 Δραμοῦσα μετὰ μύρων
.... = Εc 510-515

[θεοτ.] 130-135 Φιάλας ἀρωμάτων
.... = Εc 516-521

---

vv. 111-117 refert Cn ut θεοτ.
heirm θ' ΕΕ 106, n. 149, Andreae   vv. 130-135 perperam tradit Cn ut θεοτ.

IN SANCTAM EUPHEMIAM MARTYREM ET IN DEFINITIONEM FIDEI CHALCEDONENSEM

Canon secundum traditionem Patm. 868 = Πq, pp. 156-165

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἄισωμεν τῷ κυρίῳ,*
τῷ παραδόξως βυθίσαντι
τὸν Φαραὼ ἐν θαλάσσῃ,
ᾠδὴν ἐπινίκιον,
ὅτι δεδόξασται.

1-5 Ἄισωμεν τῷ κυρίῳ,
.... = Σο 1-5

6-10 Σιγάτω αἵρεσις πᾶσα,
.... = Σο 6-10

11-15 Ὢ θαῦμα, πῶς ἡ θανοῦσα
.... = Σο 11-15

θεοτ. Σὲ τὴν χαρὰν τῶν ἀγγέλων,
τῶν ἀποστόλων τὸ καύχημα,
τῶν ἁγίων μαρτύρων
στερέωμα ἄσειστον,
παρθένε, μακαρίζομεν.

---

tit. εἰς τὸν ὄρθρον· οἱ κανόνες τῆς ὀκτοήχου· καὶ τῆς ἁγίας· εἰς ς' ... nomen auctoris om. Πq
heirm. α' ΕΕ 95, n. 134, Germani   hic cd. heirm. integrum refert vel in fine odae, vel in margine, ubi alia manu add.   heirm. 3 τὸν φαραὼν Πq

p. 157 ‖ ᾠδὴ γ'. *Ἐν κυρίῳ θεῷ μου*
ἐστερεώθη ἡ καρδία μου,
διὸ οἱ ἀσθενοῦντες
περιεζώσαντο δύναμιν.

21-24 Ἀνοιγέσθω ἡ σορὸς
.... = Cn 25-28

25-28 Ὢ καινῶν ἀκουσμάτων·
.... = Cn 29-32

Ὡς ληνὸν ἐν τῇ σορῷ,
ὡς σταφυλὴν δὲ τῆς σαρκὸς τὴν δοράν,
ὡς οἶνον δὲ τὸ αἷμα
τῆς πανευφήμου κατοπτεύσωμεν.

θεοτ. Μόνην θεομήτορα
παρθένον ὀρθοδόξως ἀνυμνήσωμεν·
πρεσβεύει γὰρ ἀπαύστως
ὑπὲρ ἡμῶν πρὸς τὸν κύριον.

Κάθισμα.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

* Τὸν νυμφίον σου Χριστὸν
ἀγαπήσασα
p. 158 .... = Co

Θεοτ. *Ταχὺ προκατάλαβες*

Ταχὺ δέξαι, δέσποινα,
τὰς ἱκεσίας ἡμῶν
....

heirm. γ' EE 104, n. 146, Germani
κάθ. cfr. in traditione Co (3) p. 222
θεοτ. et σταυροθεοτ. ed. in MR I, 9; in MR II, 50 et alibi: cfr. IHG IV, 36; III, 531

Σταυροθεοτ. ὅμοιον.

Σταυρῷ σε ὑψούμενον
ὡς ἐθεάσατο
....

p. 159 ‖ ᾠδὴ δ'. *Εἰσακήκοα*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην,
κατενόησα τὰ ἔργα σου
καὶ ἐξέστην, κύριε.

37-40 * Ξένον ἄκουσμα·
.... = Σο 67-70

41-44 * Ὁ θεόγραφος
.... = Σο 75-78

45-48 * Ἐπεσφράγισας
.... = Cn 45-48

θεοτ. * Μήτηρ ἄχραντε,
εὐλογημένη ἁγνὴ παρθένε,
τοὺς ὑμνοῦντάς σε περίσωζε
ἀπὸ πάσης περιστάσεως.

ᾠδὴ ε'. *Ὁ ἀνατείλας τὸ φῶς*
καὶ φωτίσας τὸν ὄρθρον
καὶ δείξας τὴν ἡμέραν,
δόξα σοι, δόξα σοι,
Ἰησοῦ υἱὲ τοῦ θεοῦ.

Ἡ Χαλκηδὼν σὺν ἡμῖν
ἑορτάζουσα, μάρτυς,
τιμᾷ σου τοὺς ἀγῶνας

heirm. δ' EE 95, n. 134, Germani 49-52 θεοτ. ed. in *ak*, 32
49 Μῆτερ *ak* 50 ἁγνὴ om. Πq
heirm. ε' EE 104, n. 146, Germani

καὶ ἀντλεῖ τὰ αἵματα
καὶ ἁγιάζεται ὁ λαὸς τοῦ θεοῦ.

58-62 * Ἡ τῶν πατέρων πληθὺς
.... = Cn 49-53

p. 160 63-67 * ‖ Εἰ καὶ θανοῦσα σιγᾷς
.... = Cn 54-58

θεοτ. * Τὴν τοῦ ἀγγέλου φωνὴν
ἀσιγήτως ἡ κτίσις
προσφέρει σοι, παρθένε·
χαῖρε, μήτηρ ἄχραντε
Ἰησοῦ υἱοῦ τοῦ θεοῦ.

ᾠδὴ ς'. *Ὡς Ἰωνᾶν τὸν προφήτην*
ἐλυτρώσω τοῦ κήτους, Χριστὲ ὁ θεός,
κἀμὲ τοῦ βυθοῦ τῶν πταισμάτων
ἀνάγαγε καὶ σῶσον,
μόνε φιλάνθρωπε.

Τῆς Ἰουδὴθ μιμουμένη
τὸ ἀρρενωπόν, μάρτυς, ἀνδρείᾳ φρενῶν,
ἀνεῖλες ἐν κόσμῳ τῷ ξίφει
τῶν δογμάτων σου
τὸν Ὀλοφέρνην ἐχθρόν.

78-82 * Ὥσπερ ἀλάβαστρον μύρου
.... = Σο 148-152

83-87 * Βασιλικὴν ἁλουργίδα
.... = Ec 317-321

68-72 θεοτ. ed. MR II, 688 et alibi: cfr. IHG IV, 96.
heirm. ς' EE 103, n. 145, Joannis heirm. 5 μόνε cfr. AHG X, 262] με EE Πq

73-77 Cfr. Iudith, 13

161 θεοτ. * ‖ Ἡ ἀφράστως τεκοῦσα
τὸν σωτῆρα τοῦ κόσμου Χριστὸν τὸν θεόν,
αὐτὸν δυσωποῦσα μὴ παύσῃ
τὸ γένος ἅπαν σῶσαι
τῶν ἀνυμνούντων σε.

Κοντάκιον.

Ἦχος β'.

Ἀγῶνας ἐν ἀθλήσει,
ἀγῶνας ἐν τῇ πίστει
....

Ὁ οἶκος.

Τί τῶν σῶν ἀθλημάτων
p. 162 ....

ᾠδὴ ζ'. *Ὁ ἐν τῷ ὄρει*
Μωυσῇ συλλαλήσας
καὶ τύπον
τῆς παρθένου τὴν βάτον δείξας,
εὐλογητὸς εἶ, κύριε
ὁ θεὸς τῶν πατέρων ἡμῶν.

Ὁ ἐκδιώξας
τὴν τῆς πλάνης ἀπάτην
τῇ πίστει
τῆς ἐνδόξου σου ἀθλοφόρου,
εὐλογητὸς εἶ, κύριε
ὁ θεὸς τῶν πατέρων ἡμῶν.

99-104 Ὥσπερ φύλαξ
.... = Cn 85-90

88-92 θεοτ. ed. in TR 57 88 ἀνεκφράστως TR
κοντάκ. et οἶκ. ed. in PAS I, 646 s.: cfr. app. crit. ad traditionem Co (3) p. 225
heirm. ζ' EE 104, n. 146, Germani heirm. 4 τῇ βάθῳ Πq
5-6 εὐλογειτὸς εἶ ὁ θεὸς ὁ τῶν πατέρων ἡμῶν Πq 98 v. om. Πq

Ἐν Χαλκηδόνι
χαλκευθεῖσα τῇ πίστει,
ἡ μάρτυς
ἀραμένη θεόπλῳ ζήλῳ
p. 163 τὴν τῶν δογμάτων μά||χαιραν,
τοὺς ἐχθροὺς ἐτροπώσατο.

θεοτ. * Ὁ ἐν τῇ μήτρᾳ
τῆς παρθένου οἰκήσας
καὶ ταύτην
οὐρανῶν πλατυτέραν δείξας,
εὐλογητὸς εἶ, κύριε
ὁ θεὸς τῶν πατέρων ἡμῶν.

ᾠδὴ η΄. *Τὸν βασιλέα Χριστόν,*
ὃν ὡμολόγησαν
οἱ αἰχμάλωτοι παῖδες,
ἐν τῇ καμίνῳ λέγοντες
μεγάλῃ τῇ φωνῇ·
« πάντα τὰ ἔργα, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας ».

117-123 * Ἡ τοῦ κυρίου ἀμνὰς
.... = Σο 193-199

124-130 * Τὰς θεομβρίας τῶν σῶν,
.... = Σο 200-206

θεοτ. * Τὸν βασιλέα Χριστόν,
ὃν ἡμῖν ἔτεκεν
ἡ παρθένος Μαρία
καὶ μετὰ τόκον ἔμεινε
παρθένος ἁγνή,
πάντα τὰ ἔργα, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

111-116 θεοτ. MR I, 131 115 κύριε om. MR v. 116 om. Πq heirm. η΄ EE 104, n. 146, Germani heirm. 7 v. detruncat Πq 131-137 θεοτ. ed. in MR II, 692 et alibi: cfr. IHG IV, 191 137 tantum τὸν κύριον refert Πq, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας MR

p. 164 || ᾠδὴ θ΄. *Μεγαλύνομεν πάντες*
τὴν φιλανθρωπίαν σου,
κύριε σωτὴρ ἡμῶν,
ἡ δόξα τῶν δούλων σου
καὶ στέφανος τῶν πιστῶν,
ὁ μεγαλύνας τὴν μνήμην τῆς τεκούσης σε.

Εὐφήμοις εὐφημίαις
εὐφημείσθω ἡ μάρτυς
τοῦ Χριστοῦ ἡ πανεύφημος,
ἣν πάντες εὐφημοῦσι
τῶν ἀγγέλων οἱ χοροὶ
καὶ τῶν ἁγίων εὐφημεῖ τὸ συνέδριον.

Ἀξιέπαινον στέφος
πλεξαμένη ἡ μάρτυς,
βασίλειον ἔνδυμα
τερπνῶς ἐπορφύρωσεν
ἐν τοῖς αἵμασιν αὐτῆς,
ὡς ἁλουργίδα τὴν δορὰν ἐξυφάνασα.

Οἱ πιστοί, συνελθόντες,
τὴν μνήμην τελέσωμεν
τῆς πανευφήμου μάρτυρος,
προθύμως συντρέχοντες
καὶ βοήσωμεν αὐτῇ·
« Χριστὸν δυσώπει ὑπὲρ ἡμῶν, δεόμεθα ».

θεοτ. * Χαῖρε, πάνσεμνε ἁγνή,
παρθενίας καύχημα,
μητέρων τὸ στήριγμα,
ἀνθρώπων βοήθεια,
τοῦ κόσμου ἡ χαρά,
Μαρία δούλη καὶ μήτηρ τοῦ θεοῦ ἡμῶν.

---

heirm. θ΄ EE 104, n. 146, Germani, post finem odae, pp. 164-165, refert Πq heirm. 4 ἡ om. Πq 156-161 θεοτ. ed. TR 60 et alibi: cfr. IHG V. 1,61 158 μητέρων] ἀγγέλων TR 161 καὶ μήτηρ καὶ δούλη TR

---

144 ss. Cfr. Sir. 45,10-12; Prov. 31,22

IN SANCTUM MARTYREM PETRUM IUNIOREM (EPISCOPUM?) CRETENSEM

Synaxarium 824 (*): ..... ἄθλησις τοῦ ἁγίου Πέτρου Κρήτης τοῦ μάρτυρος καὶ νέου.

Vallic. gr. E 55 = Ec, ff. 37ᵛ-39
Crypt. Δ.α. XI = Co, ff. 45-47
Paris. gr. 1575 = Pv, ff. 158ᵛ-159ᵛ
Vat. gr. 787 = Vw, ff. 143ᵛ-144ᵛ
Vat. gr. 2308 = W, ff. 129ᵛ-132

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἀνοίξω τὸ στόμα μου*

Φωστὴρ ἐξανέτειλας
τῷ νοητῷ στερεώματι
τῆς πίστεως, ἔνδοξε,
καὶ κατεφαίδρυνας
ταῖς λαμπρότησι
τῶν ἄθλων τὰς καρδίας
θερμῶς τῶν τιμώντων σε,
Πέτρε πανόλβιε.

(*) In diem XIII iulii constituunt Ec Co memoriam martyris, Pv Vw W autem in diem XVI eiusdem mensis, sic ut Synaxarium, quod etiam in diem XIV, (*Selecta*) 820[57] refert: Πέτρος ὁ νέος ἐπίσκοπος Κρήτης τοὺς πόδας ἐκκοπεὶς τελειοῦται.

tit. <ἑσπέρα?> (deletum) κανὼν τοῦ ἁγίου μάρτυρος πέτρου Co, qui post hunc canonem tradit, εἰς τὸν ὄρθρον, alterum inc. Πεφυτευμένοι πίστει, ed. MR VI, 112 τῇ αυτῇ ἡμέρα κανὼν W qui antea refert canonem in S. Antiochum, inc. Στέφος ἀφθαρσίας, ineditum

heirm. α' EE 99, n. 141, Joannis 8 Πέτρε] πάτερ Ec

Ἀθάνατον εὔκλειαν,
διαιωνίζουσαν, ἄφθαρτον
ἀπείληφας ἔννομος,
ὡς ἀθλητὴς τοῦ Χριστοῦ,
τὸν παράδεισον
οἰκεῖς ἐν εὐφροσύνῃ,
ἀγγέλων ὁμότιμος
γέγονας, πάνσοφε.

Πορφύραν ἐξ αἵματος
πεφοινιγμένην ἐνδέδυσαι,
ὡραῖος γενόμενος
ἄθλων λαμπρότησι
καὶ παρίστασαι
Χριστῷ τῷ ἀθανάτῳ,
μαρτύρων ἀγλάϊσμα,
Πέτρε μακάριε.

θεοτ. * Ἐν σοὶ τὰς ἐλπίδας μου
τῆς σωτηρίας ἀνέθηκα,
πρὸς σὲ τὴν πανάμωμον
πίστει κατέφυγον·
μὴ παρίδῃς με,
ἐλπὶς ἀπελπισμένων,
σῶσόν με τοῖς πάθεσι
κλυδωνιζόμενον.

ᾠδὴ γ'. *Οὐκ ἐν σοφίᾳ*
καὶ δυνάμει καὶ πλούτῳ καυχώμεθα

Ἔρως ὁ θεῖος
ἀναφλέξας φαιδρῶς τὴν καρδίαν σου,

12 ἀθλητὴς τοῦ] ἀθλοθέτης Vw 13 τὸν] καὶ Co 14 οἰκεῖν Pv Vw W 16 γεγονὼς Co 20 λαμπρότητι W 25-32 θεοτ. ed. PID ο' v. 27 καὶ πρὸς σὲ τὴν εὔσπλαγχνον PID 28 κατέφυγα PID v. 29 μὴ ὑπερίδῃς με PID 30 ἀπηλπισμένων PID 31-32 σῶσόν με ... κλυδωνιζόμενον] μηδὲ τῶν δαιμόνων με / δείξῃς ἐπίχαρμα PID 31 τοῖς πάθεσι] πανάμωμε Co

heirm. γ' EE 96, n. 136, Joannis 34 σφοδρῶς Ec

17 s. Cfr. Sir. 45,10

ἐναθλῆσαι καρτερῶς
ὑπὲρ Χριστοῦ σε ἠρέθισεν,
μάρτυς ἀξιάγαστε,
ὅθεν ὑμνοῦμέν σε.

Καταφρονήσας
τοῦ προσκαίρου θανάτου, ἐπόθησας
τοῦ συνεῖναι τῷ Χριστῷ
ἀθανασίαν παρέχοντι
τοῦτον τοῖς ποθήσασιν,
μάρτυς ἀήττητε.

᾿Ανδρειοφρόνως
πρὸς ἀγῶνας, παμμάκαρ, ἐχώρησας
καὶ βαρβάρων ἀπειλὰς
καὶ τὰς θωπείας ἐξέκλινας,
νίκης τὸ διάδημα
ὅθεν ἀπείληφας.

θεοτ. Σὲ τῶν ἀγγέλων
ἀνωτέραν καὶ πάσης τῆς κτίσεως
ὁ τεχθεὶς ἄνευ σπορᾶς
ἐκ σοῦ, παρθένε, ἀνέδειξεν,
ὅθεν πᾶσα γλῶσσά σοι
« χαῖρε » κραυγάζομεν.

ᾠδὴ δ'. *῾Ο καθήμενος ἐν δόξῃ*

῾Ο γενναῖος στρατιώτης
τῷ σταυρῷ ὁπλισάμενος,
σὺν ἐλπίδι πίστιν
μέγαν θυρεὸν ἀνελάβετο

---

35 συνάθλῆσαι W 36 ἠρέτιζε Vw 41 τοῦ] τὸ Co, καὶ Vw 43 τοῦτον] σοῦ τὸν Vw τοῖς παθήμασι W 49 νίκης] μάρτυς W 51 τῶν] τὴν Vw 54-56 ἐκ σοῦ usque ad κραυγάζομεν] ἀνέδειξεν ἀειπάρθενε / ὅθεν καταχρέως σε πόθῳ δοξάζομεν Co 55 σοι] σε Vw W

post oden γ' refert Vw κάθ., hic post odem ς' ed.

heirm. δ' EE 95, n. 135, Joannis 57 ῾Ο] ῾Ως W 59 πίστει Vw W 60 μέγα Ec Vw W

καὶ συμπλακεὶς τῷ τυράννῳ
καταβέβληκε
τὴν ἀνίσχυρον τούτου ἰσχὺν κραταιότατα.

f. 38 ‖ Μιμητὴς τῶν παθημάτων
τοῦ Χριστοῦ ἐχρηματίσας,
κοινωνὸς τοῦ πάθους
τούτου ἀψευδῶς, μάρτυς, γέγονας,
συγκοινωνὸς δὲ τῆς θείας
ἀναστάσεως,
βασιλείας τῆς ἐν οὐρανοῖς καὶ λαμπρότητος.

Οὐ βασάνων τρικυμία,
οὐ ῥεόντων ἀπόλαυσις,
οὐ λιμός, οὐ θλίψεις,
πόνος ἀλγεινῶν, οὐδὲ θάνατος
τῆς τοῦ Χριστοῦ σε ἀγάπης
διεχώρισεν
ἀναμέλποντα· « δόξα θεῷ τῷ σωτῆρί μου ».

θεοτ. * ῾Η βασίλισσα παρθένος,
ἡ θεὸν σωματώσασα,
ἡ χρυσῆ λυχνία,
λάμψον μετανοίας ἀκτῖνά μοι,
ἡ τοῦ ἡλίου νεφέλη,
φωταγώγησον
τῆς καρδίας μου τὰ νοητὰ αἰσθητήρια.

---

63 κραταιότατα] καὶ κραταίωμα W 68 δὲ] τε Co 69 ἀγαπήσεως Co 70 τῆς] τοῖς Ec Vw ἐν οὐρανῷ Co 71 τρικυμίαι Ec v. 72 οὐκ ἀνθρώπων ἀπήλησις Co 73 θλίψις W 74 πόνοις Vw 75 σε] σου W 76 διεχώρησεν Ec Co Vw 77 δόξα χριστὲ τῇ δυνάμει σου Co Vw 78-84 θεοτ. ed. in NTh 46 79-80 ἡ θεὸν usque ad λυχνία] διαχρύσω στολίσματι / ὡραϊζομένη Co 80 χρυσῆ] φωτὸς Pv Vw 81 ἀκτίνας Ec W

---

78 Cfr. Ps. 44,10 80 Zac. 4,2; Ex. 25,31 82 Is. 19,1

ᾠδὴ ε΄. *Σύ, κύριέ μου, φῶς*
εἰς τὸν κόσμον ἐλήλυθας

Σῷ σθένει, κραταιέ,
νοητῶς δυναμούμενος,
ἐνίκησεν ἀοράτους
ὁρωμένους ἐχθρούς τε
ὁ μάρτυς σου ὁ ἔνδοξος.

Σέ, κύριε, ποθῶν,
ὡς ἀμνὸς σφαγιάζεται,
ὡς ἄμωμον ἱερεῖον,
καθαρὸν ὡς ἀρνίον,
ὁ μάρτυς ὁ πανεύφημος.

Ὦ γνώμης σταθερᾶς,
ὢ γενναίου φρονήματος,
ὢ πίστεως θερμοτάτης
τοῦ σεπτοῦ ἀθλοφόρου,
δι' ἧς θεοῦ ἐπέτυχεν.

θεοτ. * Φῶς ἄχρονον ἡμῖν,
τοῦ πατρὸς τὸ ἀπαύγασμα
γεγέννηκας, ὑπὸ χρόνον
ἀγαθότητος πλούτῳ
γενόμενον, πανάμωμε.

ᾠδὴ ϛ΄. *Ἐβόησε*
προτυπῶν τὴν ταφὴν τὴν τριήμερον

Τετέλεκας
τὸν ἀγῶνα, τὴν πίστιν τετήρηκας,
διὰ τοῦτο

heirm. ε΄ EE 94, n. 133, Joannis 85 κραταιῶ Vw 86 νοητῶ Vw 87 ἀοράτως Vw v. 89 ὁ μάρτυς ὁ ἀοίδιμος Vw 91 ὡς] ὁ W 95 σταθηρᾶς Co Pv Vw W 99 ἐπέτυχες W 100-104 θεοτ. ed. in MR I, 548 et alibi: cfr. IHG V. 1,28 101 τοῦ] τὸ W
heirm. ϛ΄ EE 125, n. 172, anonymus

92 Cfr. Hebr. 9,14 105-108 Cfr. II Tim. 4,7-8

τοὺς στεφάνους τῆς νίκης ἀπείληφας
καὶ χοροῖς τοῖς ἄνω,
ἀθλοφόρε Χριστοῦ, συνηρίθμησαι.

Τοῖς αἵμασι
φοινιχθείς, ἁμαρτίας τὴν γύμνωσιν
ἀπεβάλου
καὶ στολὴν ἀφθαρσίας ἐνδέδυσαι,
ἀθλοφόρε, Χριστοῦ
τῷ προσώπῳ ἀεὶ ὀπτανόμενος.

Λαμπρύνεται,
τῶν φαιδρῶν σου ἀγώνων τὸ μέγεθος
καθορῶσα
ἡ σεπτὴ ἐκκλησία, μακάριε,
καὶ θεὸν γεραίρει,
σοῦ τῆς νίκης τὸ αἴτιον πάντοτε.

θεοτ. * Κατεύνασον
τῶν παθῶν μου τὸν ἄγριον κλύδωνα
καὶ τὴν ζάλην
λογισμῶν πονηρῶν καταπράϋνον,
ὁ λιμὴν ὁ μέγας
τῶν χειμαζομένων, ἀειπάρθενε.

f. 38v ‖ Κάθισμα.
Ἦχος α΄. *Χορὸς ἀγγελικὸς*

Θεὸν ἐπιποθῶν
τὸν τῶν ὅλων δεσπότην,

109 τοῖς] τῶν Vw 111 Τοῖς] Σοῖς Vw W 113 ἀπεβάλλου W 115 ἀθλοφόρε, Χριστοῦ] σοφὲ ἀθλοφόρε Co, χριστοῦ ἀθλοφόρε Vw 116 ἀεὶ] χριστοῦ Co 119 καθορᾷ σε Vw vv. 121-122 om. W 122 τὸ] τὸν Vw 123-128 θεοτ. ed. PID πϛ΄ et alibi: cfr. IHG II, 277 123 Καταύνασον W 126 λογισμὸν πονηρὸν W 126-128 καταπράϋνον usque ad ἀειπάρθενε] ἐξαφάνισον / ἡ βεβαία πάντων / προστασία καὶ σκέπη τῶν δούλων σου PID
κάθ. post odem γ΄ refert Vw, ante canonem (f. 126) W
heirm. καθ. MR III, 481: pro hoc referunt Co Pv Vw *Τὸν τάφον σου, σωτήρ*, (cfr. pp. 62, 398) 1 Θεὸν] Χριστὸν Co Pv W

114 Cfr. I Cor. 15,53-54

βαρβάρων ἀπειλὰς
οὐδαμῶς ἐπτοήθης,
ἀλλ' ἤθλησας στερρότατα
καὶ τὸν δόλιον ᾔσχυνας,
ὅθεν σήμερον
τὴν παναγίαν σου μνήμην
ἑορτάζομεν,
ἐν εὐφροσύνῃ καρδίας
τιμῶντές σε, ἔνδοξε.

ᾠδὴ ζ'. *Ὁ διασώσας ἐν πυρὶ*

Πυρκαϊὰν βαρβαρικῆς,
μάρτυς, κατασβέσας ἀπάτης
τοῖς τῶν αἱμάτων ὀχετοῖς,
τῆς τρυφῆς τὸν χειμάρρουν ἀπέλαβες
καὶ βοᾷς ἀγαλλόμενος·
« ὁ θεὸς ὁ τῶν πατέρων, εὐλογητὸς εἶ ».

Στεφανηφόρος διαβάς,
μάρτυς, τοῦ θανάτου τὴν πύλην,
πρὸς τὴν ἀνόλεθρον ζωὴν
παραδείσου πρὸς πλάτος κατήντησας
καὶ τοῦ ξύλου τῆς ὄντως ζωῆς
γεγηθὼς ἐναπολαύεις εἰς τοὺς αἰῶνας.

Ὁλολαμπὴς καὶ καθαρός,
πλήρης φωτισμοῦ, πλήρης δόξης,
πλήρης χαρᾶς πνευματικῆς
γεγονώς, πρὸς θεὸν ἐξεδήμησας,
οὗ τῷ θρόνῳ παρίστασαι
πυρσευόμενος ταῖς θείαις φωτοχυσίαις.

---

heirm. ζ' EE 101, n. 142, Cosmae 130 ἀπάτην W 132 ἀπέλαβες] ἀπείληφας Co v. 134 varie detruncant Ec Pv Vw W 140 ἐναπολαύεις] νῦν ἀπολαύεις Co, ἐπαπολάβεις Vw, ἐπαπολάβης W

---

132 Ps. 35,9 139 Apoc. 2,7

θεοτ. Οὐ φοβηθήσομαι κακά·
σὺ γὰρ μετ' ἐμοῦ εἶ, παρθένε·
καταδιώξω τοὺς ἐχθροὺς
ἀφειδῶς τοὺς ἐμὲ ἐκδιώκοντας
καὶ τροπώσομαι σκέπῃ σου
κραταιούμενος, Μαρία θεογεννῆτορ.

ᾠδὴ η'. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*

Βυθῷ τῶν αἱμάτων σου, παμμάκαρ,
τριστάτας τῆς ἀσεβείας κατεπόντισας,
φέγγει τῶν ἀγώνων σου
πᾶσαν κατεφώτισας
τὴν οἰκουμένην ψάλλουσαν,
Πέτρε ἀοίδιμε·
« τὸν κύριον ὑμνεῖτε, τὰ ἔργα,
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Κρατῆρα τῆς σῆς ἐκμαρτυρίας
πληρώσας, τῆς ἐκκλησίας, ἀξιάγαστε,
ἤρδευσας τοὺς αὔλακας,
ταύτης δὲ ἐπλήθυνας
τὰ λογικὰ γενήματα
τῇ ἐκμιμήσει σου,
« τὸν κύριον ὑμνεῖτε », βοῶντα,
« καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

---

149 καὶ καταδιώξω W 151 καὶ τροπώσω τῇ σκέπῃ σου Vw 152 θεοκυῆτορ Vw
heirm. η' EE 100, n. 141, Joannis 154 τῆς om. Vw vv. 159-161 varie detruncant cdd. vv. 162-170 ut tertium troparium, post vv. 171-179, refert Pv 162 verbum Κρατῆρα in margine recisum in Pv ἐκμαρτυρίας] ὁμολογίας Co, μαρτυρίας Pv, νῦν μαρτυρίας Vw W 163 ἀξιάγαστε] τὰ συστήματα Vw 165 δὲ ἐπλήθυνας] καὶ ἐπλήρωσας Ec 166 γεννήματα Ec Vw 168-170 post κύριον Pv, post ὑμνεῖτε Vw W cetera om. 168 βοῶντα] τὰ ἔργα Co vv. 169-170 om. Co v. 170 om. Ec

---

153 s. Cfr. Ex. 14,26-31 162 Cfr. Ps. 115,4-6 164-166 Cfr. Ps. 64,11

Ἡ γῆ, σοῦ τὸ αἷμα δεξαμένη,
ἡγίασται, μάρτυς ἀξιύμνητε,
τάξεις ἐπουράνιαι,
πνεύματα μαρτύρων τε
περιχαρῶς ἐκρότησαν
ἐν τῇ ἀνόδῳ σου·
« τὸν κύριον ὑμνεῖτε, τὰ ἔργα,
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. * Νεφέλη τὸν ὄμβρον δεξαμένη
τῆς ὅλης θεότητος, πανάμωμε,
ὄμβρισον ῥανίδα μοι,
πάναγνε, ἀφέσεως,
f. 39 ‖ ἐπιρροὰς ξηραίνουσα
τῆς ἁμαρτίας μου,
παθῶν τοὺς ποταμοὺς χαλινοῦσα,
ἵνα σε δοξάζω
ἀεὶ εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ΄. *Εὔα μὲν τῷ τῆς παρακοῆς*

Εἰσέτι σταζόμενος, σοφέ,
τῷ αἵματι τῆς παντιμίου σου ἀθλήσεως
πάντων ἐπώφθης τῷ δεσπότῃ,
θεῷ τῷ ἀθανάτῳ παρέστηκας,

---

172 ἡγίασε Vw μάρτυς ἀξιάγαστε Ec vv. 177-179 post ὑμνεῖτε cetera om. Ec Co W τὸν κύριον μεθ᾽ ὧν εὐλογοῦμεν καὶ ὑπ<ερυψοῦμεν>... Pv vv. 178-179 om. Vw 180-188 θεοτ. ed. PID οβ΄ 181 πανάμωμε] πανεύφημε Ec 185 τῆς ἁμαρτίας μου] τῶν ἀκαθέκτων παθῶν Vw 186-188 παθῶν usque ad αἰῶνας] παθῶν τοὺς ποταμοὺς κατακλύειν / καὶ ὑπερδοξάζειν χριστὸν εἰς τ<οὺς αἰῶνας> Ec, παθῶν τε τὴν ἀκάθεκτον ῥύμην / ὅπως εὐλογῶ σε εἰς πάντας τοὺς αἰῶνας Co, τὸν κύριον ὑμνεῖτε ... Vw, qui cetera om. 186 τοὺς] τε PID 187-188 ἵνα σε ... αἰῶνας] καὶ τῆς χαλεπῆς με / ἐξαίρουσα ὀδύνης PID v. 188 ἀεὶ εὐλογημένη W

heirm. θ΄ EE 98, n. 139, Joannis vel Stephani

---

180 Is. 19,1

τῆς νίκης τὰ βραβεῖα δεξάμενος,
μάρτυς θεόφρον παμμακάριστε.

Σταυρὸν δεξιᾷ μὲν τῇ χειρί,
ἑτέρᾳ δὲ τὴν λαμπάδα τῆς ἀθλήσεως
φέρων, εἰσῆλθες εἰς νυμφῶνα
τὸν θεῖον, ἀθλοφόρε πανεύφημε,
καὶ νῦν κατατρυφᾷς τῆς θεώσεως
τοῖς ἀπ᾽ αἰῶνος ἐναθλήσασιν.

Μαρτύρων ἐδέξαντο σκηναὶ
ὡς μάρτυρά σε, παμμάκαρ ἀξιάγαστε,
ἔνθα φωνὴ εὐφραινομένων,
ἐν ᾧ ἑορταζόντων ὁμήγυρις
καὶ φῶς τὸ καθαρὸν καὶ ἀνέσπερον,
ὅθεν σε πόθῳ μακαρίζομεν.

θεοτ. Φωτίζεις φωτί με θεουργῷ,
πανάμωμε· τοῦ φωτὸς γὰρ πύλη γέγονας·
νεῦσον σωθῆναί με, παρθένε,
ἀνάστησον πτωθέντα με πάθεσιν,
ἐχθρούς μου τοὺς πολεμίους κατάβαλε,
σῶσόν με, σῶσον ἀπολλύμενον.

---

194 παμμακάριστε] ἀξιάγαστε Vw 197-199 φέρων usque ad θεώσεως] πάντων ἐστέφθης τῷ δεσπότῃ / θεῷ τῷ ἀθανάτῳ παρέστηκας / τῆς νίκης τὰ βραβεῖα δεχόμενος Vw (cfr. vv. 191-193) 197 φέρων] χαίρων Pv W εἰς] ὡς Ec 201 σκηναὶ] χοροὶ Co 202 ἀξιάγαστε] ἀξιύμνητε Vw 203 φωναὶ Vw 204 ὁμήγυρις] πανήγυρις Pv Vw W 206 πόθῳ] πάντες Co 207-212 pro hoc θεοτ. referunt Pv Vw W: Μαρία κυρία τοῦ παντός, ed. MR VI, 221 210 πτωθέντα pro πεσόντα: cfr. PSALTES, 227; MITSAKIS, 67 211 μου] με Ec

---

196-198 Cfr. Matth. 25,1 ss. 208 Ez. 44,1-2

14 IUL. *CANON* XIX

IN SANCTUM MARTYREM THEODORUM ἐν τῷ Δεκασταδίῳ (THEODORUM EPISCOPUM CYRENAE IN LIBYA)

Synaxarium 796-798 (*): .... ἄθλησις τοῦ ἁγίου ἱερομάρτυρος Θεοδώρου ἐπισκόπου Κυρήνης τῆς κατὰ Λιβύην. Οὗτος ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως πόλεως Κυρήνης, ἐξ ἧς Σίμων ὁ Κυρηναῖος· γέγονε δὲ καλλιγράφος εἰς ἄκρον ἐξασκήσας τὴν τέχνην, καὶ ἐναπέθετο ταῖς ἁγίαις ἐκκλησίαις βίβλους πολλάς, ἃς αὐτὸς ἰδίαις χερσὶν ἔγραψε. Διά τοι τοῦτο καὶ ὑπὸ τοῦ οἰκείου υἱοῦ Λέοντος διεβλήθη τῷ ἡγεμόνι Διγνιανῷ, ὡς, βίβλους τινὰς κατέχων, μεταπείθει πολλοὺς δι' αὐτῶν ἀπὸ τῆς τῶν εἰδώλων λατρείας πρὸς τὴν εἰς Χριστὸν πίστιν. Ἤχθη οὖν πρὸς τὸν ἡγεμόνα, ἑπομένων αὐτῷ πολλῶν χριστιανῶν· μεθ' ὧν ἦν καὶ ἡ ἁγία Λουκία καὶ Ἀρόα οὕτω καλουμένη. Ὁ δὲ ἅγιος Θεόδωρος αἰτηθεὶς τὰς βίβλους καὶ μὴ παρασχὼν μηδὲ πεισθεὶς ἀρνήσασθαι τὸν Χριστὸν ῥάβδοις καὶ μολιβδίσιν ἐτύφθη σφοδρῶς· εἶτα τὸν βωμὸν λακτίσας καὶ ἀνατρέψας, ἀναρτηθεὶς ἐπὶ ξύλου ξέεται καθ' ὅλου τοῦ σώματος καὶ ὄξει καὶ ἅλατι καὶ τριχίνοις ῥάκεσι τὰς πλευρὰς ἀνατρίβεται· εἶτα ξυρῷ τὴν γλῶσσαν ἐκτέμνεται. Ἐν δὲ τῇ φυλακῇ ἀπαχθεὶς λαβὼν ὑπὸ τῶν ὁσίων γυναικῶν τὴν ἐκτμηθεῖσαν γλῶσσαν ἐν τῷ ἑαυτοῦ τέθεικε στήθει· ἔνθα περιστερὰ ἑωρᾶτο περιϊπταμένη τῷ ἁγίῳ καὶ ταῶς ἐπὶ τῆς θυρίδος ἀναπτάς. Ταῦτα δὲ κατιδὼν καὶ ὁ εἰδωλολάτρης Λούκιος ἐπίστευσε τῷ Χριστῷ. Ὁ δὲ ἅγιος ὑγιὴς γεγονώς, μικρὸν ὕστερον τὴν ψυχὴν ἀπέδωκε, ἅμα τῷ τὴν περιστερὰν ἀσπασαμένην αὐτὸν τοῦ οἰκήματος ἐξελθεῖν. Μαθὼν δὲ ταῦτα ὁ ἡγεμὼν καὶ ὅτι ὁ Λούκιος χριστιανὸς γέγονε, προσέταξεν ἀναιρεθῆναι τὰς ἁγίας Λουκίαν καὶ Ἀρόαν καὶ Κυπρίλλαν καὶ ὅσοι ἐδέξαντο τὴν παρὰ τοῦ ἁγίου Θεοδώρου σφραγῖδα· μετὰ ταῦτα βαπτισθεὶς ὁ Λούκιος πείθει καὶ τὸν ἡγεμόνα Διγνιανὸν πιστεῦσαι τῷ Χριστῷ· οἳ καὶ ἐκπλεύσαντες ὁμοῦ ἀπὸ Κυρήνης εἰς Κύπρον, εὗρον ἕτερον ἡγεμόνα κολάζοντα τοὺς ἐπικαλουμένους τῷ Χριστῷ· καὶ λαθὼν ὁ Λούκιος τὸν Διγνιανόν, παρέδωκεν ἑαυτὸν τοῖς βασανισταῖς καὶ ἀνατρέψας τὸν βωμὸν ξίφει τὴν κεφαλὴν τέμνεται, καὶ ὑπὸ τοῦ Διγνιανοῦ συγκομίζεται καὶ ταφῇ παραδίδοται. Τελεῖται δὲ ἡ τοῦ ἁγίου Θεοδώρου σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου μάρτυρος Θεοδώρου ἐν τῷ Ῥησίῳ.

Vallic. gr. E 55 = Ec, ff. 42-44

(*) Haec passio refertur in diem IV iulii, sed etiam in diem XIV eiusdem mensis Synaxarium (*Selecta*) 819-820 [48] memoriam martyris constituit.

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τὸν Θεόδωρον ἱερομάρτυρα ᾄσμασι μέλπω.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν*

Τὸ φῶς, Ἰησοῦ μου, τὸ ἐκ φωτὸς
τὸν σὸν ἀθλοφόρον
ἐπειγόμενόν με ὑμνεῖν,
τὸ στόμα μου πλῆσον εὐωδίας·
σὺ τῶν μαρτύρων γὰρ ὁ στέφανος.

Ὁ αἵμασιν ἄθλων στεφανωθεὶς
καὶ ἱερατείᾳ
ἀμωμήτῳ περιλαμφθείς,
Θεόδωρε μάκαρ, τὸν σωτῆρα
τοῦ φωτισθῆναι ἡμᾶς πρέσβευε.

Ναμάτων τοῦ πνεύματος ἀρδευθείς,
τὴν σὲ θρεψαμένην
πολιτείαν νέαν κοσμεῖς
καὶ ἱερατείᾳ καὶ ἀθλήσει,
θεραπευτὰ Χριστοῦ Θεόδωρε.

θεοτ. Θεοῦ σε γεννήτριαν ἀνυμνεῖ
καὶ πάλιν παρθένον
μετὰ τόκον πᾶσα ἡ γῆ,
ἐπεὶ τῶν ἁπάντων κτίστην φέρεις
ἐν ταῖς ἀγκάλαις σου ὡς βρέφος, ἁγνή.

ᾠδὴ γ'. *Οὐρανίας ἁψῖδος*

Ἐκ σπαργάνων μητρῴων
τοῖς ἱεροῖς γράμμασιν,
ὦ ἱερομάρτυς παμμάκαρ,

heirm. α' EE 220, n. 315, Joannis
heirm. γ' EE 220, n. 315, Joannis

11 Ναμάτων pro Νάμασι metri causa (?)
heirm. 1 Οὐρανίης cd.

πόθῳ προβέβηκας
καὶ τὴν ἀκένωτον
καὶ ὑπεράρρητον γνῶσιν
τοῖς πιστοῖς ἐβρόντησας
τῆς ἀκενώτου πηγῆς.

f. 42v || Οὐρανίαις πορείαις
βαίνειν νοεῖν θέμενος
καὶ τὰς ἀναβάσεις τὰς θείας
ἐν τῇ καρδίᾳ σου
βίβλους, Θεόδωρε,
καλλιγραφῶν, τῷ κυρίῳ
εὐσεβῶς προσέφερες
δῶρον ποθούμενον.

Δυναμούμενος, μάκαρ,
τῷ πανσθενεῖ πνεύματι,
ἄσοφον τὴν κόσμου σοφίαν
πᾶσιν ἐκήρυττες,
μίαν δὲ πάμφωτον
τὴν τοῦ κυρίου σοφίαν,
ἀθλητὰ Θεόδωρε,
ἣν καὶ πεπλούτηκας.

θεοτ. Ὡς εὐδόκησε λόγος
ὁ τοῦ θεοῦ, πάναγνε,
ἐν τῇ σῇ νηδύι σαρκοῦται
ὁ ἀναλλοίωτος,
ὅλον θεώσας με
τὸν ἁμαρτίαις φθαρέντα,
ὃν ἀεὶ δυσώπησον
σῶσαι τοὺς δούλους σου.

ᾠδὴ δʹ. *Εἰσακήκοα, κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριον

Ῥωννυμένῳ φρονήματι
νύκτωρ μεθ' ἡμέραν τὸν τοῦ κυρίου νόμον,

heirm. δʹ EE 225, n. 322, Cosmae

ἱερόμαρτυς Θεόδωρε,
μελετῶν, ἀξίως μεμακάρισαι.

Ὁ πτωχεύσας θεὸς ἡμῶν
καὶ διακονῆσαι ἐπιφανεὶς τοῖς ἐν γῇ,
διακόνων σε τῷ τάγματι,
ἀθλητὰ παμμάκαρ, κατεκόσμησεν.

Νέμειν ποίμνην σε ἔδειξεν
αἵματι οἰκείῳ ὁ ποιμενάρχης Χριστός,
ἱερόμαρτυς Θεόδωρε,
ἐγχειρίζειν γνούς σου τὸ πιστότατον.

θεοτ. Ἰησοῦν τὸν θεὸν ἡμῶν,
ἄχραντε Μαρία, κόσμῳ ἐκύησας
μὴ τραπέντα τῇ θεότητι,
ὃν ἀεὶ δυσώπει τοῦ σωθῆναι ἡμᾶς.

ᾠδὴ εʹ. *Ἵνα τί με ἀπώσω*

Ἐν δυνάμει τριάδος
χαίρων, τῷ ἀλάστορι, μάκαρ, ἀντείρηκας
τοῖς ξοάνοις τούτοις
τὴν θυσίαν μὴ φέρειν καὶ κλῆσιν τὴν σὴν
μὴ γνωρίζειν τούτῳ
μηδὲ σκεπτὰς βίβλους ἐμφαίνειν,
ὅθεν ὕμνοις ἀεί σε γεραίρομεν.

Ῥυζουμένης τῆς πλάνης
καὶ κατὰ τῆς γνώσεως κορυφουμένης λυγρῶς,
ὡς Χριστὸν Ἰούδας,
ὁ θηρώνυμος γόνος σε προὔδωκεν,
ἀθλοφόρε μάκαρ,
Διγνιανῷ τῷ ἀντιθέῳ,
ὃν σταυροῦ τῇ δυνάμει κατῄσχυνας.

heirm. εʹ EE 219, n. 314, Joannis 79 in lexicis θηριώνυμος invenitur

Ὁ τὸν νοῦν βεβυσμένος
ἀπὸ τῆς σοφίας σου πτήξας καὶ ζέσας θυμῷ
ἐν τοῖς ἱμᾶσί σε
f. 43 ‖ διατείνεσθαι τάττει καὶ τύπτεσθαι
τοῖς βουνεύροις, μάκαρ,
ὅθεν στερρῶς ὑπὲρ κυρίου
ἐκαρτέρεις σταυρῷ ὁπλιζόμενος.

θεοτ. Μὴ τραπέντα συγχύσει
λόγον, ὦ παρθένε, τὸν ἁπλοῦν ἐκύησας
ἐν δυσὶν οὐσίαις
ἐπιλάμψαντα κόσμῳ θεάνθρωπον,
ἀεὶ ὃν δυσώπει
τῶν πειρασμῶν καὶ τῶν κινδύνων
λυτρωθῆναι, κυρία, τὴν ποίμνην σου.

ᾠδὴ ς′. *Ἱλάσθητί μοι, σωτήρ,*

Ἀφήρπασας, ἱερεῦ,
τῶν βρόχων τοῦ ἀλλοτρίου ἐχθροῦ
τὰς τρεῖς παρθένους εὐχαῖς,
παμμάκαρ Θεόδωρε,
Κυπρίλλαν Ἀρούαν τε
καὶ τὴν Λύκαν πείσας
τὴν τριάδα ἀνυμνεῖν εὐσεβῶς.

Ῥωσθεὶς δυνάμει θεοῦ,
μαρτύρων κλέος Θεόδωρε,
προστάξει τῶν ἀσεβῶν
σταυρῷ ἀναρτούμενος
καὶ σάρκας ξεόμενος,
τὸν σαρκὶ παθόντα
ποιητήν σου ἐμεγάλυνες.

---

heirm. ς′ EE 220, n. 315, Joannis heirm. 1 σῶτερ cd. 97 ἱεροῦ cd. 101 κοπρίλλαν cd. 107 ἀναρτούμενος pro ἀναρτώμενος: cfr. PSALTES, 233 s.

Τὰς σπάσεις Διγνιανῷ
πανσόφως, μάρτυς, ἀντέλεγες
τὰς βίβλους ἔχειν γραπτὰς
ἐν σῇ, ἱερόμαρτυς,
καρδίᾳ, Θεόδωρε,
τὰς ἐποδηγούσας
πρὸς τὸ φῶς τῆς ἀληθείας Χριστοῦ.

θεοτ. Ὑμνοῦμέν σε ἀληθῶς,
παρθένε μῆτερ τοῦ πάντων θεοῦ·
τῆς πάλαι γὰρ διὰ σοῦ
ἀρᾶς ἐλυτρώθημεν
καὶ ἄνω τεθείμεθα
ὑψωθέντες, ὅθεν
δι' ἀπάτης ἐκπεπτώκαμεν.

Κάθισμα.

Ἦχος γ′. *Θείας πίστεως ὁμολογία*

Θεῖον ἔρεισμα τῆς σωφροσύνης
ἔχων ἔφανας τοῖς ἐν τῷ σκότει,
ποδηγῶν πρὸς σωτήρια δόγματα
καὶ κατευθύνων πρὸς θεῖα θελήματα
τῶν ἐνταλμάτων κυρίου πορεύεσθαι,
ἱερόμαρτυς Θεόδωρε,
Χριστὸν τὸν θεὸν ἱκέτευε
δωρή⟨σασθαι ἡμῖν τὸ μέγα ἔλεος⟩.

ᾠδὴ ζ′. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Ῥητορεύων πανσόφως
τὰ τοῦ πνεύματος βάθη,
μάρτυς Θεόδωρε,

---

116 ἐποδηγούσας sic cd. pro ἐφοδηγούσας vel ποδηγούσας
heirm. καθ. HR 148 v. 8 detruncat cd.
heirm. ζ′ EE 224, n. 321, Joannis

καὶ πλάνην τῶν εἰδώλων
ἐλέγχων, ἀπετμήθης
σοῦ τὴν γλῶσσαν κραυγάζων θεῷ·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

Ἀνεπίληπτος ὄντως
ποιμήν, μάρτυς, ἐδείχθης
f. 43v || τῆς ἐκκλησίας Χριστοῦ,
ψυχὴν ὑπὲρ προβάτων
προδοὺς ἀγαλλιάσει
καὶ κραυγάζων ἀσίγητα·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

Ἀληθείας τὸ πνεῦμα
βεβαιοῦν ἀνεφάνη
σοῦ τὴν ἀκίβδηλον,
Θεόδωρε, λατρείαν
πατρὶ σὺν τῷ ἀνάρχῳ
υἱῷ καὶ θείῳ πνεύματι·
ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ.

θεοτ. Σωτηρίαν τῷ κόσμῳ,
μητροπάρθενε κόρη,
μόνη ἐγέννησας,
ἣν πάλαι οἱ προφῆται
ὑπέφαινον λυτροῦσθαι
τῆς ἀρᾶς τοὺς κραυγάζοντας·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

131-132, 139-140, 147-148 post πατέρων cetera om. cd. v. 156 om. cd.

133-137 Cfr. Joh. 10,11

ᾠδὴ η'. *Ἐν καμίνῳ χορείαν στησάμενοι νεανίαι*

Μαθητεύει
ὁ Λούκιος, πάτερ, σοῦ θεοφρόνως
σὺν τῇ ὁσίᾳ τριάδι
τῶν νεανίδων, Θεόδωρε,
καὶ μύροις σοῦ τὸ σῶμα
καὶ σινδόνι κηδεύει,
πιστῶς ἀνακράζων Χριστῷ·
« εὐλογεῖτε, τὰ ἔργα πάντα,
τὸν ἐξ οὐκ ὄντων τὰ πάντα συστησάμενον ».

Ἀποροῦμεν,
παμμάκαρ Θεόδωρε, κατ' ἀξίαν
τῶν σῶν ἀγώνων καὶ ἄθλων
πλέξαι στέφανον ἐγκωμίων·
εὐφράνθη γὰρ ἀγγέλων
στρατιὰ καὶ ἀνθρώπων
χοροὶ ἀνακράζοντες·
« εὐλογεῖτε, τὰ ἔργα πάντα,
τὸν ἐξ οὐκ ὄντων τὰ πάντα συστησάμενον ».

Στρατιώτης
ὁ Λούκιος δείκνυται τοῦ κυρίου
καὶ παρρησίᾳ κηρύττει
Διγνιανῷ τὴν ἀλήθειαν,
εἰδώλων δὲ τὴν πλάνην
πνεύματι θείῳ ἐλέγχει,
πιστῶς ἀνακράζων Χριστῷ·
« εὐλογεῖτε, τὰ ἔργα πάντα,
τὸν ἐξ οὐκ ὄντων τὰ πάντα συστησάμενον ».

θεοτ. Ἰαθῆναι
παθῶν με δυσώπησον, θεοτόκε,

heirm. η' EE 231, n. 331, Andreae 158 σοῦ pro σοὶ 160 νεανίων cd. 164-165, 173-174, 182-183 post εὐλογεῖτε cetera om. cd. 178 διγνινιανῷ cd.

τὸν ἐν πελάγει τοῦ βίου
ἐξ ἀσθενείας κλυδούμενον,
καὶ λύτρωσαι κινδύνων
τοὺς πιστῶς θεοτόκον
ὑμνοῦντάς σε, δέσποινα,
καὶ βαρβάρων τὰς βουλὰς καὶ τὰ θράση
ὡς ἀφρονοῦντα, ἁγνή, διασκέδασον.

ᾠδὴ θ′. *Σὲ τὴν ἀπειρόγαμον*

Μέγα ἀγαλλίαμα,
Θεόδωρε ἀθλοφόρε,
Κύπρος μὲν τὸν Λύκιον,
Καλαβρῶν δὲ ἡ χώρα πιστῶς
σὲ δεξαμένη, γηθοσύνως ἀγάλλεται
καὶ δοξάζει
τὸν ἀθλοθέτην σου καὶ κύριον.

Ἔπλευσας, Θεόδωρε
θεσπέσιε, ἀχειμάστως
βίου μὲν τὴν θάλασσαν
καὶ εἰδώλων τὴν ἄνοιαν
καὶ πρὸς οὐράνιον λιμένα προσώρμησας,
νῦν δὲ ῥείθροις
τοῖς θαλαττίοις ἁγιάζεις ἡμᾶς.

f. 44 || Λύτρον σε κεκτήμεθα,
Θεόδωρε, καὶ προστάτην
μέγαν καὶ ὑπέρμαχον
τῶν ἐχθρῶν εἰς παράταξιν,
ἀλλὰ μὴ παύσῃ δυσωπῶν, μάκαρ, τὸν κύριον
λυτρωθῆναι
ἡμᾶς κινδύνων τοὺς ὑμνοῦντάς σε.

---

187 κλυδούμενον cd. pro κλυδώμενον: cfr. PSALTES, 233 s. et app. crit. ad v. 107
heirm. θ′ EE 220, n. 315, Joannis

Πρέπει σοι, Θεόδωρε,
διάδημα εὐφημίας,
ὅτι καὶ διέσωσας
τὴν ὁλκάδα πρὸς ὅρμον ζωῆς,
ἀλλ᾽ ἱκετῶν ἐξ ἀναξίων δεξάμενος
ἀνταμείβου
ταῖς σαῖς πρεσβείαις, δυσωπούμένν σε.

θεοτ. Ὦ παρθένε πάναγνε,
ἡ τὸν θεὸν δεξαμένη,
αἴτησαι Χριστόν, ὃν ἔτεκες
βασιλέα καὶ κύριον,
τοὺς ἐκ τῆς Ἄγαρ δυσμενεῖς θραῦσαι καὶ ῥύσασθαι
τῶν κινδύνων
τοὺς σὲ ἐν πίστει μεγαλύνοντας.

---

225 δυσμενὴς cd.

IN SANCTUM IOSEPH STUDITAM CONFESSOREM ARCHIEPISCOPUM THESSALONICAE

Synaxarium (*Selecta*) 819-820 [35-44] (*): Ἰωσὴφ ἀρχιεπισκόπου Θεσσαλονίκης. Ὃς ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Θεοφίλου, υἱὸς Φωτεινοῦ καὶ Θεοκτίστης, καὶ αὐτάδελφος Θεοδώρου τοῦ Στουδίτου. Οὗτος ἆθλον τοῦ ὀρθοῦ βίου καὶ τῆς πρὸς Θεὸν ἀγάπης Θεσσαλονικέων τὴν προεδρίαν πρὸς Θεοῦ λαμβάνει, κἀκεῖσε χρόνον οὐχὶ συχνὸν διατρίψας τὴν βασιλεύουσαν αὖθις καταλαμβάνει. Παραστὰς δὲ ἅμα ἀδελφῷ ἐνώπιον Θεοφίλου καὶ πολλὰ αὐτῷ ἀπὸ τῶν θείων γραφῶν κερασάμενοι φάρμακα, καὶ πείθοντες δεῖν τιμᾶσθαι καὶ προσκυνεῖσθαι τὰς σεπτὰς εἰκόνας, ὡς εἰς τὸ πρωτότυπον τῆς τιμῆς διαβαινούσης, ἕκαστος ἰδικὴν τὴν τιμωρίαν ὁρίζεται. Καὶ ὁ μὲν μακάριος Θεόδωρος ἐν τῇ τῆς Ἀπολλωνιάδος λίμνῃ πέμπεται ὑπερόριος· ὁ δὲ ἀοίδιμος Ἰωσὴφ φυλακαῖς διαφόροις προσομιλήσας καὶ τῇ λοιπῇ κακοπαθείᾳ πυκτεύσας καὶ αὖθις ἐρωτηθεὶς καὶ στερρότερος εὑρεθεὶς δεινοτέραις καὶ σκοτεινοτέραις φυλακαῖς ἐκδίδοται· ἐν αἷς πλεῖστα προσταλαιπωρήσας ἀπαίρει πρὸς τὴν αἰώνιον λῆξιν.

Vallic. gr. E 55	= Ec, ff. 50-51ᵛ
Crypt. Δ.α. XI	= Co, ff. 53ᵛ-55ᵛ
Mess. gr. 140	= O, ff. 44ᵛ-46ᵛ
Crypt. Δ.α. XXIII	= Cn, ff. 101ᵛ-103ᵛ
Matrit. gr. 4694	= A, ff. 101ᵛ-103ᵛ
Paris. gr. 245	= Px, pp. 199-202
Sinait. gr. 626	= Σξ, ff. 74ᵛ-77
Meteor. Metamorph. 150	= Φ, ff. 143-145ᵛ

(*) Compendium vitae editur in Synaxario die XIV iulii; canonem referunt Ec Co die XV eiusdem mensis, (cfr. Synaxarium 822), ceteri cdd. autem die XIV: cfr. commentarium p. 580

Ὁ κανών, ⟨Θεοφάνους⟩, φέρων ἀκροστιχίδα·
Μέλπειν Ἰωσὴφ προσθέτω Χριστὸς χάριν.

Ἦχος α'.

ᾠδὴ α'. *Σοῦ ἡ τροπαιοῦχος δεξιὰ*

Μίαν τρισυπόστατον αὐγήν,
τὴν ἐκ μιᾶς προϊοῦσαν θεότητος,
λάμψαι τῇ καρδίᾳ μου
σαῖς προσευχαῖς, ἀρχιερεῦ, δυσώπησον,
ὅπως ἐπαξίως
τὸ σὸν ὑμνήσω μνημόσυνον.

Ἐπικρατεστέρῳ λογισμῷ
τὰ τῶν παθῶν κατευνάσας σκιρτήματα,
πάτερ, ἐκ νεότητος,
τῆς ἱερᾶς κατηξιώθης στάσεως,
θεῖος παραστάτης
θεοῦ μεσίτης γενόμενος.

Λόγῳ κυβερνώμενος θεοῦ
καὶ λογικὴ ὡς θυσία δεικνύμενος,
ὅλην καθιέρωσας
σοῦ τὴν ζωὴν τῷ τῆς ζωῆς δεσπόζοντι
καὶ ζωοποιοῦντι
δυνάμει θείᾳ τὰ σύμπαντα.

tit. ὁ κανὼν φέρων ἀκροστιχίδα ... Ec Σξ Φ ἑσπέρα κανὼν τοῦ ὁσίου Ἰωσὴφ φέρων ἀκροστιχίδα ... Co ὁ κανὼν οὗ ἡ ἀκροστιχίς· ... O ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε ... Cn Χριστὸς] θεὸς Cn rubrica canonis deest in A, qui tantum praebet ᾠδὴ α' et inc. heirm. tantum ὁ κανὼν Px sigla nominis Θεοφάνους referunt in margine Cn Σξ Φ

heirm. α' EE 1, n. 1, Joannis 1 αὐγὴν] ἀρχὴν Σξ 2 τὴν] τῆς Px 4 σαῖς] ταῖς Cn 10 στάσεως] τάξεως Ec, χάριτος Co, κλήσεως Cn 13 κυβερνούμενος A 14 λογικὴν ὡς θυσίαν Cn 16 ζωὴν] ψυχὴν Cn 18 θείᾳ δυνάμει Cn A Φ

14 Cfr. I Petr. ep. 2,5

θεοτ. * Πύλην φωτοφόρον οὐρανοῦ,
δι' ἧς ἡμῖν ὁ δεσπότης ὡμίλησεν,
σάρκα περιθέμενος
τὴν καθ' ἡμᾶς ὑπερφυῶς, πανάμωμε,
σὲ ὁμολογοῦντες
ὡς θεοτόκον κηρύττομεν.

ᾠδὴ γ'. *Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν*

Ἐλπίδα καὶ πίστιν ἀκραιφνῆ,
ἀγάπην καὶ πραότητα
καὶ καθαρὰν καρδίαν κτησάμενος,
θεόν, παμμάκαρ,
ἰδεῖν ἠξίωσαι,
λαμπρυνθεὶς τῇ χάριτι
τὴν ψυχήν, θεόληπτε,
καὶ τὴν ἄρρητον δόξαν τεθέασαι.

Ἱκέτην σε, πάνσοφε, Χριστῷ
προθύμως προβαλλόμεθα,
ὡς δι' αὐτὸν λαμπρῶς ἀριστεύσαντα
καὶ τὴν εἰκόνα
τούτου τιμήσαντα
καὶ θεσμοὺς κρατύναντα
τοῦ σεπτοῦ κηρύγματος
καὶ τὴν ἄμεμπτον πίστιν φυλάξαντα.

Νεκρώσας τὰ μέλη τῆς σαρκός,
θεόφρον ἀξιάγαστε,

19-24 θεοτ. ed. ETh 51 21 περικείμενος Cn ETh 22 ὑπερφυῶς] θεοπρεπῶς Φ 23 ὁμολογοῦμεν Cn 24 κηρύττομεν] πανάμωμε Cn, δοξάζομεν Σξ

heirm. γ' EE 1, n. 1, Joannis 27 κτησάμενος] δεξάμενος Cn 33 χριστοῦ Ec Co 34-35 προβαλλόμεθα usque ad λαμπρῶς om. O 34-37 προθύμως usque ad τιμήσαντα] προθύμως ἀριστεύσαντα / καὶ τὴν εἰκόνα αὐτοῦ τιμήσαντα / τὴν θείαν πάντες πιστοὶ γινώσκομεν Co 37 τούτου] αὐτοῦ O 38 θεσμούς] θερμῶς Φ κρατύνοντα O Σξ Φ 40 ἄμεμπτον] ἄμωμον Cn φυλάξαντα] κηρύξαντα Σξ 41-48 troparium om. A

---

19 Ez. 44,1-2

ζῶντα ναὸν τὸν νοῦν σου ἀνέδειξας,
ἔνδον πλουτοῦντα
τὴν χρυσῆν τράπεζαν
καὶ λυχνίαν ἄσβεστον,
τῷ φωτὶ τῆς πίστεως
καταυγάζουσαν πάντα τὰ πέρατα.

θεοτ. * Ἰδοὺ σὺ γεγέννηκας θεόν,
ἐμψύχῳ καθ' ὑπόστασιν
συνεισδραμόντα σώματι, πάναγνε,
τροπῆς μὲν πάσης
ἐκτὸς καὶ φύρσεως
καὶ ἐκτὸς συγχύσεως
f. 50v || σαφῶς διαμείναντα
τὸν τοῦ κόσμου σωτῆρα καὶ κύριον.

---

44 λαλοῦντα Cn 45 χρυσῆν] χριστοῦ Cn, θείαν Px 47 πίστεως] χάριτος Co O 48 καταυγάζουσα O καταυγάζων τοῦ κόσμου τὰ πέρατα Cn 49-56 θεοτ. ed. in ETh 51 49 θεὸν] υἱὸν Φ 50 ἐμψύχως Cn A ETh καθυποστάντα A 51 συνεκδραμόντα σώματος Cn 53 φύσεως Cn A v. 53 post v. 54 ponit Φ 55 διαμένοντα Cn v. 56 τὸν usque ad κύριον] θεομῆτορ παρθένε πανάμωμε Σξ

post odem γ' praebent A Px sequens κάθ., quod ante canonem referunt O (f. 44v) et Σξ (f. 73v) ut ἄλλο κάθ. (idem Σξ ut primum κάθ. tradit Ἐξασκήσας ἄγγελος, ed. in HR 306, ubi in S. Sisoem dicatur)

Κάθισμα.

Ἦχος πλ. δ'. *Ἀνέστης ἐκ νεκρῶν* (PaR 622)

Ἀμέμπτως τῷ θεῷ
λειτουργήσας, παμμάκαρ,
ἐποίμανας λαὸν
τοῦ Χριστοῦ ὀρθοδόξως,
ὅθεν μετέστης χαίρων
πρὸς τὰς ἀΰλους μονάς, θεόπνευστε, (τοῦ πνεύματος A)
γέρας (γέρα PxΣξ) τῶν σῶν καμάτων
λαβὼν ἀξίως, θεομακάριστε,
καὶ ἱκετεύων σώζεσθαι ἡμᾶς
κινδύνων καὶ θλίψεων.

---

45 Ex. 25,23 46 Ex. 25,31

ᾠδὴ δ'. *Ὄρος σε*
τῇ χάριτι τῇ θείᾳ κατάσκιον

Ὡς θείαις
προσθήκαις προφανῶς αὐξανόμενος,
ὡς Ἰωσὴφ ὁ παλαιὸς
τῆς σωφροσύνης ὁ πυρσός,
τὸ τέλειον ἔφθασας
τῆς ἀρετῆς,
ἱερομύστα θεσπέσιε,
τῆς ἐκκλησίας προστάτης γενόμενος.

Στῦλόν σε,
παμμάκαρ, καὶ νεφέλην σκιάζουσαν
τὸν ἀληθῆ καθοδηγεῖν
πεπιστευμένον Ἰσραὴλ
πρὸς κλῆρον οὐράνιον
καὶ πρὸς τὴν γῆν

---

pro hoc refert Φ κάθ., quod ante canonem Cn (f. 101) tradit:

Κάθισμα.
Ἦχος πλ. δ'. *Τὸ προσταχθέν μοι μυστικῶς* (HR 223)

Τοῖς τοῦ σωτῆρος καὶ θεοῦ
ὑπείκων νόμοις (ὑπήκων νεύμασιν Cn),
πᾶσαν τερπνότητα ἐν γῇ
σαφῶς (σοφῶς Cn) κατέλιπες
καὶ τὸν σταυρόν σου ἀράμενος,
τῷ Χριστῷ ἠκολούθησας
καὶ ὅλος ὅλως (ὅλω Φ, om. Cn) ἀγάπῃ συνενωθεὶς (σὺ ἑνωθεὶς Cn),
τῇ τούτου (τῇ τοῦ ὑψίστου Cn)
ὑψώθης, μάκαρ, ταῖς ἀρεταῖς (μάκαρ om. Φ),
ὅθεν, μάκαρ, κεκλήρωσαι
ἱερωσύνης στολὴν
καὶ πάντας ἐδίδαξας
σέβειν θείαν εἰκόνα Χριστοῦ.

heirm. δ' EE 1, n. 1, Joannis 57 Ὡς] Ὦ Φ θεῖος Cn 60 πυρσός] λαμπτὴρ Co O 64 τῆς ... γενόμενος] εἰς σωτηρίαν ἡμῶν καὶ προτέρησιν Co 66 σκιάζουσα O 67 ἀληθῆ] ἀληθῶς Cn, ἐξ ἐθνῶν A 68 πεπιστευμένος Ec Cn Φ

---

65 ss. Cfr. Ex. 13,21-22

ἐπαγγελίας τῆς ἄνωθεν
οἱ φοιτηταί σου σαφῶς ἐπιστάμεθα.

Ἡ χάρις
ἡ θεία σε σαφῶς ἐνισχύσασα,
τῶν πειρασμῶν ταῖς προσβολαῖς
καὶ βασιλέων ταῖς ὁρμαῖς
ἀνάλωτον ἔδειξε
καὶ νικητὴν
τροπαιοφόρον εἰργάσατο
καὶ τῷ στεφάνῳ τῆς νίκης ἐκόσμησεν.

θεοτ. * Φωτός σε
καλοῦμεν ἀκηλίδωτον ἔσοπτρον,
ὡς δεξαμένην τὴν αὐγὴν
τῆς θεϊκῆς μαρμαρυγῆς
καὶ ταύτην ἀστράψασαν
σωματικῶς
παντὶ τῷ κόσμῳ, πανύμνητε,
πρὸς σωτηρίαν ἡμῶν τῶν ὑμνούντων σε.

ᾠδὴ ε'. *Ὁ φωτίσας*
τῇ ἐλλάμψει τῆς σῆς παρουσίας, Χριστέ,

Παραστάτης
δεξιὸς τοῦ δεσπότου γενόμενος
καὶ προστάτης

---

71 ἐπαγγελίας] τῆς ἀπαθείας Φ τῆς] τὴν Φ τῆς ἄνωθεν] συμπλήρωσιν O 72 φοιτηταὶ] φωτεινὸν A ἐπιστάμενοι A Φ 74 ἐνισχύουσα Cn A 76 βασιλέων] τῶν δαιμόνων Px, βασιλέως Σξ 80 νίκης] δόξης Cn ἐκόσμησας Ec, κατέστεψεν A, κεκόσμησαι Px 81-88 θεοτ. ed. in Eth 51 83 δεξαμένη Cn Px 84 ταῖς θεϊκαῖς μαρμαρυγαῖς A 85 ἀστράψασαν] εἰσάξαντα A 88 πρὸς] εἰς Cn ETh
heirm. ε' EE 1, n. 1, Joannis 90 τοῦ δεσπότου δεξιὸς Σξ τοῦ σωτῆρος A

81-82 Sap. 7,26

εὐσεβείας δογμάτων δεικνύμενος,
τὸν κρατοῦντα ᾔσχυνας
θηριωδῶς ἐπιμανέντα
κατὰ Χριστοῦ, παμμακάριστε.

Ῥωννύμενος
ἀοράτῳ δυνάμει τοῦ πνεύματος,
τὰς ἀδίκους
ἐξορίας γενναίως ὑπήνεγκας,
ἀνθ' ὧν τὸν παράδεισον
νῦν τῆς τρυφῆς χωροβατῆσαι
κατηξιώθης, θεόπνευστε.

Ὁμωνύμως
Ἰωσὴφ τῷ δικαίῳ καλούμενος,
ἰσοτίμῳ
σωφροσύνῃ ἐφάνης κοσμούμενος,
σιτοδότης ἄριστος
θείας τρυφῆς γεγενημένος,
ἱεροφάντα μακάριε.

θεοτ. * Σὲ προστάτιν
τῆς ζωῆς μου, παρθένε, προβάλλομαι,
σὲ ἐλπίδα
κεκτημένος οὐ καταισχυνθήσομαι,
σὲ κρηπῖδα τίθημι
διὰ παντὸς τῆς σωτηρίας·
σοῦ γὰρ πλουτῶ τὴν ἀντίληψιν.

---

99 γενναίως] καρτερῶς Σξ 101 χωροβατοῦντα Cn 102 θεόπνευστε] λαμπρότατα A 103-109 troparium om. A 103 Ὁμώνυμος (Ὁμόνυμος O Px) O Px Σξ Φ 105 ἰσότιμος O Cn Φ 106 σωφροσύνης Cn 108 τροφῆς Co O Px Σξ Φ γεγεννημένος Φ 110-116 θεοτ. ed. in ETh 51 110 προστάτην Ec Co O Cn A Px 111 παρθένε, προβάλλομαι] προβάλλομαι πάναγνε ETh 114 σὲ κρηπῖδα] τὴν ἐλπίδα A 116 γὰρ] καὶ Co O

---

100 s. Cfr. Ez. 28,13; 31,9 103 ss. Cfr. Gen. 41,46-57; 47,13-26

f. 51 ‖ ᾠδὴ ς'. *Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος*

Θεόθεν σοι
τῇ δεδομένῃ χάριτι
καὶ λόγων τῇ λαμπρότητι
τὸ μυστήριον ἐτράνωσας ἡμῖν
τῆς οἰκονομίας τὸ ἀπόρρητον
τοῦ δι' ἡμᾶς
τὴν ἡμετέραν σάρκα πτωχεύσαντος.

Ἐδίδαξας
ἡμᾶς ἐν δύο φύσεσι
τὸν ἕνα τῆς τριάδος Χριστόν,
ὑποστάσει δέ, πανόλβιε, μιᾷ
σέβειν καὶ δοξάζειν τὸν θεὸν ἡμῶν,
τὸν ἐκ φθορᾶς
καὶ τοῦ θανάτου ἡμᾶς ῥυσάμενον.

Τὸν ἄδυτον
δικαιοσύνης ἥλιον
νεφέλῃ τῇ τοῦ σώματος
καλυπτόμενον ἐγνώρισας Χριστόν,
φύσει ἀνθρωπίνῃ ζωγραφούμενον
καὶ ὡς θεὸν
περιγραφῆναι οὐκ ἀνεχόμενον.

θεοτ. * Ὡς εὔσπλαγχνον
καὶ εὐσπλαγχνίας αἴτιον
ἀγκάλαις σου βαστάζουσα,
τὸν φιλάνθρωπον δυσώπησον υἱὸν

---

heirm. ς' EE 1, n. 1, Joannis 119 λόγω Co, λόγου O 130 ἡμᾶς] πάντας Ec ῥυσάμενος Co O A 131-137 troparium om. Cn 133 σώματος] πνεύματος Co O 134 Χριστὸν] ἡμῖν Φ 135 ζωγραφούμενον] σωματούμενον Φ 138-144 θεοτ. ed. ETh 52 138 εὔσπλαγχνος Ec Co O Cn 140 σου] σαῖς O ἐβάστασας Cn, βαστάσασα ETh 141 υἱὸν] θεὸν Co Cn Px, ἀεὶ Φ

---

132 Cfr. Mal. 3,20 133 Cfr. Is. 19,1

σῶσαι τὸν λαόν σου, μητροπάρθενε·
σὺ γὰρ ἐλπὶς
τῶν ἀπορούντων καὶ ἡ παράκλησις.

Κάθισμα.

Ἦχος α'. *Χορὸς ἀγγελικὸς*

Ὡς κήρυκα πιστὸν
ὀρθοδόξων δογμάτων
καὶ νόμιμον θεοῦ
ἀθλητὴν πεφηνότα
ὑμνοῦμέν σε, θεόφρων
Ἰωσήφ, ἐν ᾀσμάτων φωναῖς·
σὺ γὰρ ἤλεγξας
κακοδοξίας τὴν πλάνην
καὶ ἐτράνωσας
ὀρθοδοξίας τὸ κράτος
ἐνθέοις σου δόγμασιν.

ᾠδὴ ζ'. *Οἱ παῖδες εὐσεβείᾳ*

Χάριτι καὶ δυνάμει
τοῦ ἁγίου, θεοφόρε, πνεύματος
καθοπλισάμενος στερρῶς,
εὐσεβείας ὑπερήθλησας
καὶ λεόντων κεφαλὰς
πατήσας, ἔψαλλες·
« ὁ τῶν πατέρων θεός, εὐλογητὸς εἶ ».

---

142 σῶσον Ec 144 τῶν ἀπορούντων] καὶ σωτηρία ETh, τῶν ἀσθενούντων Px ἡ παράκλησις] ἐπανόρθωσις Co, ἡ ἀνόρθωσις Φ
hoc κάθ. unus Ec refert post odem ς' tantum scribit Co inc. καθ. ἦχος δ', Κανόνα πίστεως εἰκόνα πραότητος, quod illud videtur ed. in HR 128
heirm. καθ. MR III, 481
heirm. ζ' EE 7, n. 8, Cosmae vv. 151, 158, 165 varie detruncant cdd.

149-150 Ps. 90,13

Ῥημάτων σου ὁ φθόγγος
τὴν γῆν πᾶσαν ἐμφανῶς διέδραμεν,
ἐξακουόμενος τρανῶς
ἀκοαῖς, πάτερ, θεόφροσι
καὶ διδάσκων εὐσεβῶς
βοᾶν τῷ κτίσαντι·
« ὁ τῶν πατέρων θεός, εὐλογητὸς εἶ ».

Ἱεροπρεπεστάτῃ
πολιτείᾳ προφανῶς διέπρεψας,
βίον θεάρεστον ἐν γῇ
τῷ θεῷ πολιτευσάμενος
καὶ αὐτῷ διὰ παντὸς
βοῶν, πανόλβιε·
« ὁ τῶν πατέρων θεός, εὐλογητὸς εἶ ».

θεοτ. Σύμβολα τοῦ σοῦ τόκου
οἱ τρεῖς παῖδες ἐν καμίνῳ ἔδειξαν·
ὡς γὰρ διέμειναν πυρί,
ἀβλαβὴς διετηρήθης, ἁγνή,
δεξαμένη ἐν γαστρὶ
τὸ πῦρ τὸ ἄστεκτον,
τὸν τῶν πατέρων θεόν, εὐλογημένη.

f. 51v || ᾠδὴ η'. *Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος*

Τύραννον κακοδοξοῦντα διελέγχων,
διετέλεσας δόγμασι θείοις,
τοῦ Χριστοῦ δέ, πάνσοφε,

---

153 πᾶσαν ἐμφανῶς] ἅπασαν σαφῶς Φ 155 θεόφροσι] θεόσοφε A Σξ 157 τῶ κτίστη σου Σξ 159-165 troparium om. A 160 εὐσεβῶς Cn 163 αὐτῷ] χριστῶ Co O, θεῶ Px Σξ 164 πανόλβιε] ἐκρα<ύγαζες> Cn 168 διέμεινεν A 169 ἀβλαβεῖς Co, ἀβλαβῶς Cn 172 tantum το Cn Σξ τὸν] τὸ Co
heirm. η' EE 7, n. 8, Cosmae 175 πάνσοφοι Px

---

166 ss. Cfr. Dan. 3,13.25.50

τὴν εἰκόνα τιμητικῶς
προσεκύνησας τῷ πόθῳ ἀσπαζόμενος,
ᾧ νῦν ἀναμέλπεις εὐφραινόμενος·
« εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας ».

Ὅλην τὴν ἐπιθυμίαν τῷ δεσπότῃ
ἀνατέθεικας ζῶσαν θυσίαν,
τὸν θυμὸν δὲ ἔτρεψας
κατὰ μόνου τοῦ δυσμενοῦς,
ἱερώτατε, τῷ λόγῳ κυβερνώμενος,
ᾧ νῦν ἀνακράζεις ἀγαλλόμενος·
« εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας ».

Σύμβολα τῆς καθ' ἡμᾶς θεοσεβείας
καὶ μορφώματα καὶ χαρακτῆρας
τῶν ἁγίων, ὅσιε,
προσεκύνεις πανευσεβῶς,
πρωτοτύποις ἀναπέμπων τὴν προσκύνησιν,
μεθ' ὧν ἐκβοᾷς νῦν ἐνηδόμενος·
« εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας ».

θεοτ. Χαῖρε, κεχαριτωμένη παναγία,
δι' ἧς ἔλαμψε πᾶσιν ἀνθρώποις
ὁ Χριστὸς ἡ ἄληκτος

---

176 τετιμηκῶς Cn   177 ἀσπασάμενος Φ   178 ᾧ] ὃ Co, καὶ Cn, ὃν Σξ Φ   ἀνακράζεις A   εὐφραινόμενος] ἀγαλλόμενος Cn   vv. 179-180, 187-188, 195-196, 203-204 vel om. vel interrumpunt cdd.   183 τῷ θυμῷ Cn   δὲ ἔτρεψας] διέτρεψας A   186 ἀναμέλπεις Px   189 θεοσεβείας] οἰκονομίας Co O   192 προσκυνήσας Σξ   193 πρωτοτύπως ἀναφέρων τὴν προσκύνησιν Co O   πρωτοτύποις] προσεκύνης A, προετύποις Σξ   ἀναπέμπων] ἀναμέλπων Cn Px Σξ Φ   v. 194 μεθ' ὧν ἀναμέλπεις ἀγαλλόμενος Co O   νῦν ἐνηδόμενος] ἀγαλλιόμενος Cn   ἐνηδόμενος] ἀγαλλόμενος Σξ Φ   197 Χαῖρε om. Cn

---

182 Rom. 12,1

εὐφροσύνη καὶ ἡ χαρά,
ἡ αἰώνιος καὶ ὄντως ἀγαλλίασις,
ᾧ νῦν γεγηθότες ἀναμέλπομεν·
« εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Τύπον τῆς ἁγνῆς λοχείας σου*

Αἴγλη τριφεγγεῖ λαμπόμενος
καὶ φωτοβόλῳ χύσει καταστραπτόμενος,
τῶν σῶν φοιτητῶν τὴν ἱερὰν ποίμνην, ὅσιε,
τὴν ἐν πίστει τελοῦσαν τὴν μνήμην σου
ἐξ ὕψους ἐποπτεύων,
ταῖς σαῖς πρεσβείαις διατήρησον.

Ῥείθροις ἀειζώου νάματος
τοῦ τῆς τρυφῆς χειμάρρου καταρδευόμενος
τὴν τρισόλβιον καὶ μακαρίαν ἀπόλαυσιν
ἀμοιβὴν τῶν σῶν πόνων ἀπείληφας,
προσθήκαις αἰωνίοις,
ἱεροφάντα, αὐγαζόμενος.

Ἴδε, ξυνωρὶς θεόληκτε,
ἀδελφικὴ καὶ σώματι καὶ τῷ πνεύματι,
συνασκήσασα καὶ καρτερῶς συναθλήσασα
καὶ λαβοῦσα τῆς νίκης τὸν στέφανον,

---

200 καὶ ἡ] τε καὶ Co O A   201 καὶ om. A   καὶ] ἡ Px   202 ᾧ] ὃν Σξ
heirm. θ' EE 1, n. 1, Joannis   206 καὶ usque ad καταστραπτόμενος] καὶ τῇ ἐκεῖ φωτοχυσίᾳ πληρούμενος Σξ   207 ποίμνην] μνήμην Cn   210 διατήρησον] διαφύλαξον Px, καθοδήγησον Σξ   212 καταστραπτόμενος Cn   213 τὴν τρισήλιον Cn   ἀπόλαυσιν] ἀνάπαυσιν Σξ   215 προσθήκης Ec   αἰωνίαις Co O Cn Σξ Φ   προσθήκαις αἰωνίοις] ζωῆς τῆς αἰωνίου A   216 ἱεροφάντωρ (-ορ Co) Ec Co O   αὐξανόμενος Co O Px, ἀξιούμενος A   217 θεόληπτος Co O   218 καὶ (1° l.)] τῷ Φ   219 συναθλήσασα καὶ καθαρῶς συνασκήσασα Σξ   συνασκήσασα] ἐνασκήσασα Cn   καὶ καρτερῶς] τε καὶ στερρῶς Co   συναθλήσασα] ἐναθλήσασα Cn A Px Φ

---

212 Ps. 35,9

πρεσβεύει δωρηθῆναι
ταῖς ἐκκλησίαις τὴν ὁμόνοιαν.

θεοτ. Νόμου τοῦ καινοῦ θεότευκτον
ἡγιασμένην πλάκα, θεομακάριστε,
ἔνδον ἔχουσαν ἐγγεγραμμένον τῷ πνεύματι
τὸν τοῦ νόμου δεσπότην καὶ πάροχον
εἰδότες σε, παρθένε,
ἀκαταπαύστως μεγαλύνομεν.

221 πρεσβεύει] βραβεύει A δωρεθῆναι Co 222 τῆς ἐκκλησίας O Px, τῇ ἐκκλησίᾳ Φ 223 καινοῦ] καιροῦ Co θεότευκτε O, θεότεκτην Px 224 ἡγιασμένη O 225 ἔχουσα Ec O ἐγγεγραμμένην Cn 226 τὸν usque ad πάροχον] τὸν χριστὸν θεοτόκε πανάμωμε Co πάροχον] κύριον O Cn 228 ἀκαταπαύστως] ἀξιοχρέως Φ μεγαλύνουσα Cn

224 Cfr. Ex. 31,18

IN SANCTUM ANTIOCHUM MARTYREM SEBASTIAE IN GALATIA

Synaxarium: 824-825: Καὶ ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀντιόχου αὐταδέλφου χρηματίσαντος τοῦ ἁγίου μάρτυρος Πλάτωνος, δι' οὗ καὶ εἰς τὸν Χριστὸν πεπίστευκεν. Οὗτος ἦν ἐκ πόλεως Σεβαστείας, ἰατρὸς τὴν τέχνην, περιϊὼν κατὰ τὰς πόλεις καὶ τοὺς ἐν ἀσθενείᾳ ἰώμενος. Διερχόμενος οὖν τήν τε Γαλατικὴν καὶ Καππαδοκίαν καὶ παντοῖα νοσήματα θεραπεύων, συλλαμβάνεται παρὰ Ἀδριανοῦ ἡγεμόνος· καὶ εὐθέως κρεμασθεὶς ἐπὶ ξύλου ξέεται τὰς πλευρὰς καὶ λαμπάσι πυρὸς κατακαίεται. Ἐπεὶ δὲ οὐχ ἥπτοντο αὐτοῦ αἱ βάσανοι, τῇ φρουρᾷ ἀποτίθεται καὶ τῇ ἑξῆς λέβητι ἐμβάλλεται καχλάζοντι καὶ μεστῷ ὑπάρχοντι παντὸς δραστηρίου ἐλαίου καὶ ἐν ἑπτὰ ἡμέραις ὑπὸ πυρὸς ἐκφλογουμένῳ· ὡς δὲ κἀκεῖθεν χάριτι Θεοῦ ἀπήμαντος ἐξῆλθε, θηρίοις ἐκδίδοται βορά· ἀλλὰ καὶ ἐκ τούτων ἀβλαβὴς διαμείνας, προσευχῇ πάντα τὰ εἴδωλα εἰς γῆν κατέρραξε καὶ κονιορτὸν ἀπετέλεσε. Ξίφει οὖν τὸν αὐχένα τέμνεται, ἐξ οὗ αἷμα σὺν γάλακτι ἔρρευσεν. Ὅπερ ἰδὼν Κυριακός, ὁ τὴν τοῦ ἁγίου ἀναίρεσιν ἐνεργήσας, παρρησίᾳ χριστιανὸν ἑαυτὸν ἀνωμολόγησε, καὶ ἀνάθεμα εἰπὼν Ἀδριανῷ καὶ τοῖς εἰδώλοις αὐτοῦ, ἀφαιρεῖται καὶ αὐτὸς τὴν κεφαλὴν καὶ προστίθεται τῷ ἁγίῳ Ἀντιόχῳ.

Sinait. gr. 627	= Σο	ff. 54v-56v
Crypt. Δ.α. XXIII	= Cn,	ff. 107-108v
Meteor. Metamorph. 150	= Φ,	ff. 148-149

Ὁ κανών, ⟨Θεοφάνους⟩, φέρων ἀκροστιχίδα τήνδε·
Θείοις σε, μάρτυς, ᾄσμασιν περιστέφω.

Ἦχος δʹ.

ᾠδὴ αʹ. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Θαλάσσης εἰδωλικῆς τὸν κλύδωνα
σπαργάνων ἐκ μητρικῶν
διαφυγών, Ἀντίοχε, Χριστῷ

tit. τήνδε om. Cn tantum ὁ κανὼν Φ, qui acrostichidem om. sigla Θεοφάνους referunt in margine Cn Φ, om. Σο
heirm. αʹ EE 94, n. 133, Joannis 3 χριστὸν Σο

πρὸς λιμένα ἀχείμαστον
εἰς οὐρανοὺς καλοῦντί σε
πόθῳ κατέλαβες, μακάριε.

Ἐκλάμψας ταῖς ἀρεταῖς ἠμαύρωσας
εἰδωλικὴν τῶν ἐθνῶν
λατρείαν, μάρτυς ἔνδοξε Χριστοῦ,
καὶ λαοὺς κατεφώτισας
τερατουργῶν ἐξαίσια
τῇ ἐπικλήσει τοῦ θεοῦ ἡμῶν.

Ἰατρὸς τῶν ἀσθενούντων, χάριν σοι
ἐκ θείου πνεύματος
ὡς τοῦ Χριστοῦ θεράπων εἰληφώς,
ἀνεδείχθης, μακάριε,
καὶ τῶν ψυχῶν τὰ πάθη γὰρ
καὶ τῶν σωμάτων ἐκδιώκεις ἀεί.

Ὅλον σε πεφωτισμένον χάριτι
θείᾳ, πανεύφημε,
f. 55 ὁ ‖ τῆς κακίας πρόξενος ἐχθρὸς
ταῖς θωπείαις τοῦ ἄρχοντος
ἐξαπατᾶν ἠβούλετο,
δυνάμει θείᾳ δὲ κατέπεσεν.

Ἱδρῶσιν ἀθλητικοῖς σταζόμενος,
μάρτυς Ἀντίοχε,
ταῖς οὐρανίαις ὤφθης στρατιαῖς
νικηφόρος πανάριστος·
τῷ σταυρικῷ τροπαίῳ γὰρ
εἰδώλων πλάνην ἐξενίκησας.

13-18 troparium om. Φ 19-24, 25-30 duo troparia om. Cn, quorum loco substituit θεοτ. Ἀσπόρως τῷ τοῦ πατρὸς βουλήματι ἐκ θείου πνεύματος (hic deficit), quod illud videtur ed. in MR I, 79 et alibi: cfr. IHG I, 192 24 κατέσπευσεν Φ

ᾠδὴ γʹ. *Εὐφραίνεται ἐπὶ σοί*

Στρεβλούμενος μηχαναῖς
τῶν δυσσεβῶν κολαστικαῖς ἔψαλλες·
« σύ μου ἰσχύς, κύριε,
καὶ καταφυγὴ καὶ στερέωμα ».

Σμῆνος τῶν θεοστυγῶν
καταπλαγέντες τῷ ἐν σοὶ θαύματι,
« ὄντως θεός », ἔλεγον,
« πέλει ὃν λατρεύει Ἀντίοχος ».

Ἐν ἄρτῳ τῷ ζωτικῷ
κατατρυφῶν, τῶν φθαρτικῶν ἅπασαν
βρῶσιν τρυφῆς ἐλάνθανες·
θεία γὰρ μελέτη ὡς μέλι πιστοῖς.

θεοτ. * Σὺ μόνη τοῖς ἐπὶ γῆς
τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος,
μήτηρ θεοῦ, γέγονας,
ὅθεν σοι τὸ « χαῖρε » προσάγομεν.

---

heirm. γʹ EE 94, n. 133, Joannis 32 τῶν δυσμενῶν Cn 35 Σμῆνος] Στρατὸς Cn 37 ὄντως θεοῦ ἔλεγεν Cn 42 ὡς μέλι] πῶς μέλει Σο 43-46 θεοτ., ed. in MR I, 80 et alibi (cfr. IHG III, 569) om. Φ: idem usque ad πρόξενος (v. 44) refert Cn 45 μῆτερ MR 46 προσάγομεν] κραυγάζομεν MR

post odem γʹ refert Φ κάθ. quod ante canonem Σο (f. 54) et Cn (f. 106v) praebent:

Κάθισμα.

Ἦχος δʹ. *Ταχὺ προκατάλαβε* (HR 63)

Ἀνδρείωμα πίστεως
ἀναλαβόμενος,
ἐξῆλθες πρὸς παράταξιν
τῶν ἀοράτων ἐχθρῶν
καὶ τούτους κατέβαλες,
νίκης δὲ τοὺς στεφάνους,
ἐναθλήσας νομίμως,
ἔλαβες, ἀθλοφόρε,
ἐκ χειρὸς τοῦ δεσπότου (κυρίου Cn)
καὶ σὺν αὐτῷ παρίστασαι,
μάρτυς (χαίρων Cn) Ἀντίοχε.

---

39 Cfr. Joh. 6,35

ᾠδὴ δ'. *Δι' ἀγάπησιν, οἰκτίρμον, τῆς σῆς εἰκόνος*

Μελῳδῶν ὥσπερ οἱ παῖδες ἐν τῇ καμίνῳ
τῷ ἐκκαυθέντι λέβητι
σὺν μολίβδῳ καὶ πίσσῃ,
τῷ σταυρῷ φραξάμενος,
ἐπέβης γηθόμενος.

Ἀγαλλόμενος ἐν πνεύματι τῷ ἁγίῳ,
τῷ μεθιστῶντι φύσεις
τῶν στοιχείων ὡς κτίστῃ,
αἶνον ἐκ χειλέων σου
κυρίῳ ἀνέμελπες.

Ῥώμῃ τῇ τῶν λόγων σου, ἀθλοφόρε,
τῶν δυσμενῶν τὸ θράσος
κατηδάφισας ἄρδην·
θείῳ γὰρ ἐν πνεύματι
ἐφθέγγου, μακάριε.

Τῇ τοῦ ἀγγέλου πανσέπτῳ συγκαταβάσει
f. 55v εἰς δρόσον ‖ μετηνέχθη
ἡ παφλάζουσα πίσσα,
χάραν δὲ τοῦ ἄρχοντος
χερσί σου κατέφλεξας.

heirm. δ' EE 97, n. 138, Joannis   47 Μελωδῶν σοι ὡς οἱ παῖδες Cn   48 ἐκκαέντι Cn   51 post γηθόμενος add. Φ δόξα τῇ . . .   52 ἐν] τῷ Σο v. 53 τῶν αἰσθητῶν τῇ φύσει Σο Φ   54 τῶν] καὶ Σο Φ   55 αἶνον] ὦνον Σο   56 post ἀνέμελπες add. Φ: δόξα τῇ δυνάμει σου κύριε   61 post μακάριε add. Φ δόξα . . .   62 πανσέπτῳ] ἁγία Cn   post v. 66 add. Cn θεοτ. Ὑπερύμνητε παρθένε θεοκυῆτορ, ed. in MR V, 120 et alibi: cfr. IHG IV, 424

47 Cfr. Dan. 3,13.25.50

ᾠδὴ ε'. *Σύ, κύριέ μου, φῶς*

Ὑπέδειξε Χριστὸς
τὸν σταυρὸν ὅπλον ἄρρηκτον·
Ἀντίοχος γὰρ ἐν τούτῳ
δυσφημοῦντα τὰ στίφη
εὐσεβῶς ἐτροπώσατο.

Σὲ τείνας τῷ σταυρῷ
ὥσπερ τόξον ἀπέστειλεν,
Ἀντίοχε, θεῖον βέλος,
τῶν ἀπίστων τιτρώσκων
τὰς καρδίας ὁ ὕψιστος.

Ἀνάλγητος ψυχῇ
ὑπῆρχες καὶ τῷ σώματι,
τῷ ἔρωτι τῆς τριάδος
πυρωθεὶς γὰρ ἠλόγεις
τῶν βασάνων τὰς μάστιγας.

θεοτ. * Σὲ ὅπλον ἀρραγὲς
κατ' ἐχθρῶν προβαλλόμεθα,
σὲ ἄγκυραν καὶ ἐλπίδα
τῆς ἡμῶν σωτηρίας,
θεόνυμφε, κεκτήμεθα.

heirm. ε' EE 94, n. 133, Joannis   67-71 troparium om. Cn   70 τὸ στίφει Σο, τὸ στίφη Φ   71 ἐτροπώσαντο Φ   74 μέλος Σο   78 ὑπῆρχε Σο   82-86 θεοτ. om. Φ, usque ad προβαλλόμεθα (v. 53) refert Cn: idem θεοτ. ed. invenimus in MR I, 81 et alibi, cfr. IHG III, 466   86 κετήμεθα Σο

ᾠδὴ ς΄. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, κύριε,

Σοῦ τοὺς πόδας
προσκυνοῦντες οἱ θῆρες ἀσπάζονται·
μαρτυρικῶς γὰρ δραμόντες
ὡραιώθησαν θείᾳ χάριτι
φοινιχθέντες
τῶν οἰκείων μωλώπων τοῖς αἵμασιν.

Μετέθεντο
τὴν ἀπειλὴν πρὸς θαῦμα οἱ τύραννοι·
τὸν γὰρ εἰς βρῶσιν τεθέντα
τῶν θηρῶν ἀλώβητον καθορῶντες,
ἀθυμίας
ἐπληροῦντο σφοδρῶς ἐκτηκόμενοι.

« Ἀβλεπτεῖτε
πηρωθέντες τὸν νοῦν, ὦ ἀνόητοι,
τὸν θαυμαστὸν ἐν ἁγίοις
ἐκτελοῦντα τέρατα μὴ εἰδότες »,
ἀνθρωπίνως
τοὺς δικαστὰς οἱ θῆρες κατήλεγχον.

θεοτ. * Ὢ θαῦμα
τῶν ἁπάντων θαυμάτων καινότερον,
ὅτι παρθένος ἐν μήτρᾳ
f. 56 τὸν τὰ σύμπαντα περιέ||ποντα
ἀπειράνδρως
συλλαβοῦσα, οὐκ ἐστενοχώρησεν.

heirm. ς΄ EE 94, n. 133, Joannis 87-92 troparium om. Cn 95 τεθέντα] τεθέντων Σο, θανέντα Cn 97 ἀθυμία Cn 98 ἐκτηκόμενοι] ἐκπληττομενοι Cn 100 πυρωθέντες Cn 101 τῶν θαυστῶν Σο 102 εἰδότες] ἰδῶντες Cn 104 τούς δικαστούς Φ 105-110 θεοτ., quod om. Φ et tradit usque ad καινότερον (v. 106) Cn, ed. in MR I, 82 et alibi: cfr. IHG V. 1, 129 108 περιέχοντα MR

87-104 PG 117,544 (*Menologium Basilii imperatoris*): ... ὕστερον ... ἄγεται θηριομαχῆσαι, ᾧτινι προσέχαιρον τὰ θηρία· καὶ κυνούμενα πρὸς τοῖς ποσὶν αὐτοῦ, κατεφίλουν αὐτόν. Μία δὲ πάρδαλις ἀνθρωπίνῃ φωνῇ ἤλεγξε τὸν ἡγεμόνα.

ᾠδὴ ζ΄. *Ἐν τῇ καμίνῳ*
ἀβραμιαῖοι παῖδες τῇ περσικῇ

Σοῦ τὴν ἀνδρείαν
ἀγγελικαὶ δυνάμεις ἐθαύμασαν,
ὅπως
τῶν ἀΰλων φύσεις ἐν ὑλικῷ
ἐξενίκησας τῷ σώματι·
εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε.

Ἱερουργούμενος
τῷ δι᾽ ἡμᾶς τυθέντι, μάρτυς σοφέ,
βλέπων
τὴν λαμπρὰν τῶν ἄθλων σου ἀμοιβήν,
εὐφραινόμενος ἐκραύγαζες·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

« Νηπιόφρονες »,
τοῖς ἀπειθοῦσιν, μάρτυς, ἔλεγες,
« μέθην
ἀγνωσίας νίψασθε καὶ Χριστὸν
ἐπιγνόντες μελῳδήσατε·
εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

Πῦρ τε καὶ θῆρες,
βόθρος, σταυρὸς καὶ ξίφος ἄπρακτα
θείου
ἐπιπνοίᾳ πνεύματος ἐπὶ σοὶ

heirm. ζ΄ EE 94, n. 133, Joannis 114 φύσις Cn 115 ἐξενίκησαν Σο vv. 116-117 detruncant Σο Cn 117 σου om. Φ 118 Ἱερουργήσας Cn 119 σοφὲ] χριστοῦ Cn v. 122 εὐχαρίστως ἀνέκρα<ζες> Cn 123-124, 130-131 varie detruncant cdd. orationem 128 χριστῷ Cn v. 133 βόθρος καὶ ξίφος ὄντως ἄπρακτα Cn ἄπρακτον Σο 135 ἐπὶ σοὶ] τοῦ ἐν σοὶ Cn

ἀνεδείχθησαν, πανεύφημε,
« εὐλογημένος εἶ »
τῷ Χριστῷ μελῳδοῦντι, Ἀντίοχε.

ᾠδὴ η΄. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Ἐπάρας τὰς χεῖρας πρὸς θεόν,
τὸ θεῖον εἵλκυσας
πνεῦμα, Ἀντίοχε,
καὶ κατηδάφισας ἅπαντα
τῶν εἰδώλων τὰ σεβάσματα,
τὸν σταδιάρχην ἀνυμνῶν
ἀγαλλιώμενος·
« εὐλογεῖτε,
πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

Ῥανίσιν αἱμάτων τὴν στολὴν
τελείως, μάρτυς σοφέ,
πορφυρωσάμενος,
θεοῦ γὰρ εἴληφας, ἔνδοξε,
κατ' ἀξίαν, παμμακάριστε,
ἐν εὐσεβείᾳ μελῳδῶν
τῷ στεφοδότῃ Χριστῷ·
« εὐλογεῖτε,
πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

Ἰκρίῳ Χριστὸν τὸν δι' ἡμᾶς
προσηλωθέντα σαρκὶ
μιμούμενος, ἀθλητά,
προθύμως ἅπασαν ἤνεγκας
τῶν βασάνων τὴν ἐπίνοιαν

137-138 post εὐλογημένος cetera om. Cn post hoc troparium refert Cn θεοτ. Τὸ τοῦ ὑψίστου / ἡγιασμένον θεῖον σκήνωμα / χαῖρε (cetera om.), quod illud videtur ed. in MR I, 83 et alibi: cfr. IHG IV, 262

heirm. η΄ ΕΕ 94, n. 133, Joannis vv. 146-147, 155-156 164-165 varie detruncant cdd. 151 θεοῦ usque ad ἔνδοξε] ἐκ τοῦ θεοῦ γὰρ εἴληφας ταύτην σοι (σὺ Φ) Σο Φ 160 ἅπασας Σο Φ

148-150 Cfr. Sir. 45,10

καὶ νικητὴς ἀναδειχθεὶς
τροπαιοφόρος βοᾷς·
« εὐλογεῖτε,
πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

θεοτ. * Σὺ μόνη ἐν πάσαις γενεαῖς,
παρθένε ἄχραντε,
μήτηρ ἐδείχθης θεοῦ·
σὺ τῆς θεότητος γέγονας
f. 56v ἐνδι||αίτημα, πανάμωμε,
μὴ φλογισθεῖσα τῷ πυρὶ
τοῦ ἀπροσίτου φωτός,
ὅθεν πάντες
σὲ εὐλογοῦμεν, Μαρία θεόνυμφε.

ᾠδὴ θ΄. *Λίθος ἀχειρότμητος ὄρους*

Σφόδρα γεγηθώς, ἀθλοφόρε,
τῇ ἀποφάσει τοῦ τυράννου
τὸν ἀγωνοθέτην ἀνυμνῶν
σὺν ἱκεσίᾳ,
αἴτησιν εἴληφας
τῶν προσευχῶν, ἀοίδιμε,
καὶ πρὸς τὸ τέλος σπεύδων ἔτρεχες.

Τὸν νοῦν καθαρθεὶς ἀνεδείχθη
τοῦ θείου πνεύματος δοχεῖον,
ὁ ἐσκοτισμένος τῷ ζόφῳ
τῆς πρὶν ἀπάτης,
σαῖς παραινέσεσιν
Κυριακὸς ὁ ἔνδοξος
καὶ μαρτυρίου στέφος εἴληφεν.

166-174 θεοτ. usque ad ἄχραντε (v. 167) refert Cn, om. θεοτ. Φ, idem ed. in MR I, 84 et alibi: cfr. IHG III, 569

heirm. θ΄ ΕΕ 94, n. 133, Joannis 175-181 troparium om. Cn 178 σὺν ἱκεσίαν Φ 182 ἀνεδείχθης Cn

Ἔχων πρὸς θεὸν παρρησίαν,
ὑπὲρ τῶν πίστει ἐκτελούντων,
μάρτυς, τὴν ἁγίαν σου μνήμην
ἀδιαλείπτως
πρέσβευε ῥύεσθαι
ἐκ πειρασμῶν καὶ θλίψεων,
ὅπως σε ὕμνοις μακαρίζομεν.

Φωστῆρας ἐκλάμποντας δύο
πυρσοφεγγεῖς τῇ οἰκουμένῃ
θείαν ἀπαστράπτοντας αἴγλην,
σοφὸν Ἀντίοχον
ἐν μελίσμασιν,
Κυριακὸν τὸν ἔνδοξον,
δεῦτε συμφώνως μακαρίσωμεν.

θεοτ. Ὡς κτίστην τεκοῦσα, παρθένε,
πάσης τῆς κτίσεως δεσπόζεις,
ὅθεν ἀσωμάτων αἱ τάξεις
καὶ τῶν ἀνθρώπων,
θεογεννήτρια,
χρεωστικῶς ὑμνοῦμέν σε
καὶ μακαρίζομεν τὸν τόκον σου.

189-195 troparium om. Φ   195 μεγαλύνομεν Cn   v. 200 ἐμμελίσμασι Σο
204 τῆς πάσης κτίσεως Σο Φ   208 χρεωστικῶς] χερουβικὸς Σο

IN SANCTUM MARTYREM ATHENOGENEM EPISCOPUM

Synaxarium 825-826 (*): .... ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἀθηνογένους ἐπισκόπου γενομένου Πηδαχθόης. Οὗτος ἦν ἀπὸ Σεβαστείας, ἐπὶ Διοκλητιανοῦ βασιλέως. Οὗτος ἀναρτηθεὶς ὑπὸ Φηλιμάρχου ἡγεμόνος μετὰ δέκα μαθητῶν αὐτοῦ, πολλάς τε βασάνους ἅμα αὐτοῖς ὑπομείνας, τὸ τέλος τῆς ὑπὲρ Χριστοῦ μαρτυρίας διὰ ξίφους ἐδέξατο. Λέγεται δὲ περὶ αὐτοῦ ὅτι πρὸ τῆς κατασχέσεως ἀπελθὼν εἰς τὸ μοναστήριον, τοὺς μαθητὰς αὐτοῦ οὐχ εὗρε, προκατεσχέθησαν γάρ· τὴν δὲ ὑπαντήσασαν αὐτῷ ἔλαφον, ἣν ἀνεθρέψατο ἐν τῇ μονῇ, εὐλόγησε καὶ ἐπηύξατο μὴ κυριευθῆναι ὑπὸ τῶν κυνηγετῶν τὸ σπέρμα αὐτῆς, ἀλλὰ καθ' ἕκαστον χρόνον ἄγειν ἐν τῇ μνήμῃ αὐτοῦ αὐτήν τε καὶ τὰς ἐξ αὐτῆς μελλούσας φύεσθαι μόσχον ἕνα· ὃ καὶ γέγονεν. Ὁρᾶται γὰρ μετὰ τὴν ἀνάγνωσιν τῶν ἁγίων εὐαγγελίων ἐν τῇ ἐκκλησίᾳ εἰσερχομένη ἡ ἔλαφος καὶ τὸν νεαρὸν αὐτῆς ἀνατιθεῖσα τῷ ἁγίῳ καὶ πάλιν ἐξιοῦσα· ὃν θύοντες οἱ συνειλεγμένοι εὐωχοῦνται εἰς δόξαν τοῦ ἁγίου μάρτυρος καὶ τιμήν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ τοῦ ἁγίου Γεωργίου, τῷ ὄντι ἐν τῷ Κυπαρισσίῳ (**).

Paris. gr. 368	= Pz,	ff. 188-195^{v}
Vat. gr. 2308	= W,	ff. 135^{v}-138
Mess. gr. 136	= Mf,	ff. 220^{v}-225
Sinait. gr. 624	= Σμ,	ff. 60^{v}-62

(*) Memoriam martyris constituit Synaxarium in diem XVII iulii, sic ut cdd. W Σμ, et in diem XVI eiusdem mensis, ut Pz Mf: cfr. Synaxarium (*Selecta*) 824$^{49-50}$, 825$^{42-44}$. Inter eas dies sumpsimus quam refert cd. Mf, in Italia Inferiore transcriptus.

(**) De hac synaxi, quae minime canoni aptatur, cfr. commentarium pp. 584 ss.

Ὁ κανών, οὗ ἡ ἀκροστιχίς·

f. 188v ‖ Ἀθηνογένην τὸν μέγιστον αἰνέσω· Ἰωσήφ.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἡ κεκομμένη*
τὴν ἄτομον ἔτεμε

Αἴγλῃ τῇ θείᾳ
τὸν νοῦν φωτιζόμενος
καὶ σὺν ἀγγέλων χοροῖς,
μάκαρ, παριστάμενος
τῷ θρόνῳ τῷ φρικτῷ,
τοὺς πόθῳ σε γεραίροντας
τυχεῖν ἁγιασμοῦ καὶ φωτισμοῦ
δυσώπει, Ἀθηνόγενες,
ἱεράρχα ἔνδοξε
καὶ μάρτυς πανσεβάσμιε.

Θέσει, παμμάκαρ,
υἱὸς ἐχρημάτισας
τοῦ ἐπὶ πάντων θεοῦ·
τούτου γὰρ ἐφύλαξας
τὰς θείας ἐντολὰς
ἀκαταγνώστως, ἔνδοξε,
καὶ μάρτυς ἀπαράγραπτος ὀφθείς,
ἐνθέως ἀνεκραύγαζες·
« τῷ κυρίῳ ᾄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται ».

---

tit. εἰς τὸν ὄρθρον ἡ συνήθης στιχολογία· οἱ κανόνες τῆς ὀκτωήχου· καὶ τοῦ ἁγίου· οὗ ἡ ἀκροστιχίς· . . . Pz   Τῇ αὐτῇ ἡμέρᾳ κανὼν φέρων ἀκροστιχίδα τήνδε· . . . W, qui nomen Ἰωσὴφ om. et pro αἰνέσω, ὑμνήσω in rubrica refert tantum ὁ κανὼν Mf et κανὼν ἕτερος εἰς τὸν ἅγιον μάρτυρα ἀθηνογένην Σμ: uterque cd. acrostichidem et nomen auctoris om.

heirm. α' EE 220, n. 316, Joannis, integrum invenimus in Mf 4 μάκαρ] μάρτυς Pz   11-20 troparium om. Σμ   16 ἀκαταπαύστως Pz, ἀκαταγνώστους Mf   20 γὰρ δεδόξασται om. Mf

Ἤνθησας ῥόδον
ὡς εὔοσμον, πάνσοφε,
καὶ ἐν αὐλαῖς τοῦ θεοῦ
ὡς ἐλαία εὔκαρπος
πεφύτευσαι, καρπῷ
τῶν ἱερῶν ἀγώνων σου
ἁπάντων ἱλαρύνων τὰς ψυχὰς
ἐν πίστει καὶ τὰ πρόσωπα
f. 189 τῶν ‖ μακαριζόντων σε,
θεόφρον Ἀθηνόγενες.

θεοτ. Νομίμων δίχα
τῆς φύσεως τέτοκας
τὸν ποιητὴν τοῦ παντὸς
ἄνθρωπον γενόμενον,
τὸν σώζοντα ἡμᾶς
ἁγίαις μεσιτείαις σου
κινδύνων καὶ φθορᾶς καὶ πειρασμῶν
καὶ πάσης κατακρίσεως,
παναγία δέσποινα,
τοὺς πόθῳ ἀνυμνοῦντάς σε.

ᾠδὴ γ'. *Τὸν φόβον σου, κύριε, ἐμφύτευσον*
ταῖς καρδίαις τῶν δούλων σου
καὶ γενοῦ ἡμῖν στερέωμα
τοῖς σὲ ἐν ἀληθείᾳ
ἐπικαλουμένοις.

Ὁ νοῦς σου συννεύσεσι θεούμενος
πανολβίοις, ἱερώτατε,
τῶν τοῦ σώματος ἀνώτερον

21-30 troparium om. Mf   27 πάντων W   vv. 39-40 om. Pz
heirm. γ' EE 220, n. 316, Joannis, integrum praebent Pz Mf
43 τῶν] τὸν W   ἀνώτερον] ἄνωθεν Mf

23-24 Ps. 51,10; Hos. 14,7

πόνων καὶ ἀλγηδόνων
ἔδειξέ σε, μάκαρ.

Γενναίως τελέσας τὸν ἀγῶνά σου,
Ἀθηνόγενες πανεύφημε,
τοῖς χοροῖς συγκαταρίθμησαι
τῶν ἀθλητῶν, παμμάκαρ,
ὅθεν σε τιμῶμεν.

Ἐν θαύμασι μέγιστος γενόμενος,
ψυχοφθόρον κτείνεις δράκοντα,
τῆς αὐτοῦ βλάβης ῥυσάμενος
f. 189v λαὸν καὶ πόλιν ‖ πᾶσαν,
τοῦ Χριστοῦ θεράπον.

θεοτ. Νοός μου τὸ σκότος διασκέδασον,
ἡ τὸ φῶς ἀρρήτως τέξασα
τὸ ἀνέσπερον, πανάμωμε,
καὶ μή με καταισχύνῃς,
ὅπως σε δοξάζω.

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Ἀκτῖσι τὸ πρότερον
καταυγασθεὶς τὴν ψυχήν,
ἀκτῖσι τὸ δεύτερον
τελειοτάτῳ νοΐ

44 πόνους καὶ ἀλγηδόνας W 45 μάκαρ] ἔνδοξε Pz 46-50 troparium om. Σμ 48 συγκαταρίθμησαι: cfr. PSALTES 201 s. v. 49 τῶν ἀθλοφόρων μάκαρ Mf 51-55 troparium om. Mf 53 τῆς ... βλάβης] τοῖς ... βέλεσι Pz 57 post φῶς, τοῦ κόσμου add. Pz 59 με om. Pz W
κάθ. om. Mf W Σμ
heirm. καθ. HR 63

51-55 Cfr. commentarium pp. 587 ss.

46 Cfr. II Tim. 4,7

θεῷ εὐηρέστησας,
ἱερεύς τε καὶ μάρτυς
γεγονώς, θεοφόρε,
στῖφος δὲ προσαγάγω
μαθητῶν τῷ δεσπότῃ,
μεθ' ὧν ἐκτενῶς ὑπὲρ ἡμῶν
πρέσβευε, ἔνδοξε.

Θεοτοκίον, ὅμοιον.

Παρθένε πανάμωμε,
τὸν ὑπερούσιον
....

Σταυροθεοτοκίον, ὅμοιον.

Σταυρῷ σε ὑψούμενον
ὡς ἐθεάσατο
f. 190 ....

ᾠδὴ δ'. *Ἐπέβης ἐφ' ἵππους*

Ἠνδρίσω, θεόφρον,
κατὰ δαιμόνων στερρότατα
καὶ τὴν τούτων κακίαν διώλεσας
καὶ τυραννούντων ᾔσχυνας
ἄθεον φρύαγμα,
ἱεράρχα καὶ μάρτυς,
θείων ἀσωμάτων συνόμιλε.

Νεκρώσας τὴν σάρκα
ἀσκητικοῖς ἀγωνίσμασιν,
μαρτυρίῳ τὸν δρόμον ἐτέλεσας
καὶ τὴν ζωὴν ἀπείληφας
τὴν ἀτελεύτητον,
Ἀθηνόγενες, μέλπων·
« δόξα τῇ δυνάμει σου, κύριε ».

θεοτ. et σταυροθεοτ. ed. in MR II, 50 et alibi: cfr. IHG III, 283,531
heirm. δ' EE 221, n. 316, Joannis, integer refertur in Mf 63 διωλέσας Σμ
70 μαρτυρίου Pz τὸν] δὲ Pz 74 σου κύριε om. Σμ κύριε om. W

70 Cfr. II Tim. 4,7

Τιμᾷ σου τοὺς πόνους,
τὰς ἀριστείας, τὰ ἔπαθλα
καὶ τὰ ἄπειρα θαύματα, ἔνδοξε,
ἡ ἐκκλησία πάντοτε,
τὴν θείαν μνήμην σου
ἐκτελοῦσα ἐν πίστει,
κλέος ἀθλητῶν Ἀθηνόγενες.

f. 190v θεοτ. ‖ Ὁ πλήρης κενοῦται
μὴ χωρισθεὶς τοῦ γεννήτορος
καὶ ἐν σοὶ κατεσκήνωσεν, ἄχραντε,
καὶ τοὺς βροτοὺς ἐθέωσε
δι' ἀγαθότητα
εὐσεβῶς μελῳδοῦντας·
« δόξα τῇ δυνάμει σου, κύριε ».

ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*

Νόμους θείους κρατύνων,
ἤχθης ὥσπερ ἄμωμος ἀμνὸς τοῦ θύεσθαι
καὶ φλογὸς ἐν μέσῳ
ἐπιβὰς θαρσαλέῳ φρονήματι,
ἱεράρχα, χαίρων
ὁλοκαυτώθης καὶ προσήχθης
οὐρανίῳ τραπέζῃ, πανόλβιε.

Μακαρίως βιώσας,
θείων ἀθλητῶν ἐδομήσω, ἀοίδιμε,
ναὸν καὶ ἐν τούτῳ
τὰ αὐτῶν καρτερώτατα σώματα
ἐναπέθου πίστει,
ὧν μετ' ὀλίγον ἐμιμήσω
τοὺς ἀνδρείους ἀγῶνας ἐν πνεύματι.

75-81 troparium om. Mf Σμ 76 ἔπαθλα] στίγματα W 82 καίνοῦται Mf 88 σου κύριε om. W Σμ σου om. Mf
heirm. ε' EE 219, n. 314, Joannis 101 ὧν] ὃν W

---

89 ss. Cfr. vv. 117-124, 155-160 et commentarium p. 577 s.
96-100 Cfr. commentarium pp. 587 ss.

Εὐφημήσωμεν πίστει
ἅπαντες Κλεόνικον καὶ τὸν Θεόφραστον
καὶ σὺν Ἡσυχίῳ
τὸν σεπτὸν Μαξιμῖνον, Πατρόφιλον
ἅμα τῷ Ῥηγίνῳ,
f. 191 νῦν μακαρί‖σωμεν ἐνθέως
τοὺς Χριστοῦ τοῦ θεοῦ ἡμῶν μάρτυρας.

θεοτ. Γεννηθεὶς ἐκ γαστρός σου,
ὃν πρὸ ἑωσφόρου πατὴρ ἀπεγέννησεν,
ἀνωτέραν πάντων
ποιημάτων, παρθένε, σὲ ἔδειξεν,
ὃν ἀεὶ δυσώπει
ὑπὲρ ἡμῶν, εὐλογημένη,
τῶν συμφώνως ἀεὶ ἀνυμνούντων σε.

ᾠδὴ ς'. *Τὴν δέησιν*
ἐκχεῶ πρὸς κύριον
καὶ αὐτῷ ἀναγγελῶ μου τὰς πράξεις,
ὅτι κακῶν
ἡ ζωή μου ἐπλήσθη
καὶ ἡ ψυχή μου τῷ ᾅδῃ προσήγγισε
καὶ δέομαι ὡς Ἰωνᾶς·
« ἐκ φθορᾶς, ὁ θεός, μὲ ἀνάγαγε ».

Ἱέρευσας
σεαυτόν, ἀθλοφόρε,
ἐπιβὰς τῇ ἀναφθήσει ἀνδρείως
χαίρων φλογὶ
καὶ ἐν ταύτῃ ὡς ἄρτος
ἐξοπτηθείς, ἐτηρήθης ἀλώβητος,

103-109 troparium om. Mf Σμ 106 σεπτὸν] κλεινὸν W 109 τοὺς] τοῦ W μάρτυρες W
heirm. ς' EE 219, n. 314, Joannis tantum inc. heirm. W Mf Σμ tradunt heirm. 3 ἀπαγγελῶ EE πράξεις] θλίψεις EE 5 ζωὴ] ψυχὴ EE 6 ψυχὴ] ζωὴ EE 118 θεοφόρε Pz 122 ἐξοπτισθεὶς W

---

111 Ps. 109,3

μὴ φλέξαντός σε τοῦ πυρός,
ἀλλὰ σῶον τηρήσαντος χάριτι.

Σὲ μάρτυρα
ἐπιγνοῦσα τοῦ λόγου
οὐ παρέβη σου τοὺς λόγους, παμμάκαρ,
ἡ ἀληθῶς
Εὐσεβία, ἀλλ' ὅλον
f. 191v ἀνακομίζει τὸ ἅγιον σῶμά ‖ σου,
συνθάψασα τοῖς ἀθληταῖς,
μεθ' ὧν πίστει καὶ πόθῳ ὑμνοῦμέν σε.

Τῇ θείᾳ σου
προσευχῇ, μάκαρ, πέτρα
ἡ ἀκρότομος μετῆλθεν εἰς λίμνας
καὶ συντηρεῖ
εἰς αἰῶνας τὸ θαῦμα,
ἀνακηρύττουσα τὴν παρρησίαν σου,
ἣν ἔσχηκας πρὸς τὸν θεόν,
Ἀθηνόγενες μάρτυς πολύαθλε.

θεοτ. Οἰκήσας σου
τὴν ἁγίαν γαστέρα,
ὁ οἰκῶν τοὺς οὐρανοὺς ἀπορρήτως
πάντας πιστοὺς
οἰκητήρια δόξης
τῆς ἑαυτοῦ, θεοτόκε, εἰργάσατο,
ἐντεῦθέν σε πᾶσα ψυχὴ
μακαρίζει γνησίως δοξάζουσα.

---

127 οὐ παρέβη] ὑπερέβης W 129 εὐσέβεια W, εὐσεβεία Mf Σμ 130 ἅγιον om. Pz 133-140 troparium om. Mf Σμ 136 συντερεῖ Pz 141 Ὠκήσας σου Mf 145 οἰκετηρία W 146 τῆς αὐτοῦ W Σμ 147 σε] σου Σμ

post odem ϛ' refert Mf κάθ. Χριστὸν ἐπιποθῶν τὸν τῶν ὅλων δεσπότην, in hoc volumine ed. pp. 255 s., in S. Petrum Cretensem dicatum, quod etiam W ante canonem (f. 132) tradit

---

125-132 Cfr. commentarium pp. 587, 591 s.
133-140 Cfr. commentarium pp. 587-589.

134-135 Deut. 8,15

f. 193v ‖ ᾠδὴ ζ'. *Παῖδες Ἑβραίων ἐν καμίνῳ*

Νοῦν λαμπροτάταις θεωρίαις
λαμπρυνόμενον ἐκτήσω, θεομάκαρ,
καὶ φωστὴρ τῶν πιστῶς
βοώντων ἀνεδείχθης·
« εὐλογητὸς εἶ, κύριε
ὁ θεός, εἰς τοὺς αἰῶνας ».

Ἄφλεκτος ἔμεινας ὡς πάλαι
οἱ θεόφρονες οἱ τρεῖς ἐν τῇ καμίνῳ
ἐπιβὰς τῇ πυρᾷ,
ἱερουργὲ καὶ μάρτυς,
f. 194 δρόσῳ ‖ τοῦ θείου πνεύματος
συντηρούμενος, παμμάκαρ.

Ἴαμα θεῖον ἀναβλύζει,
Ἀθηνόγενες, ὁ σὸς τίμιος τάφος,
ἰατρεύων ψυχῶν
τὰ πάθη καὶ σωμάτων
τῶν εὐσεβῶς τιμώντων σε
ἀριστεύσαντα νομίμως.

θεοτ. Νύξ με συνέχει ῥαθυμίας·
ἡ τὸν ἥλιον τὸν τῆς δικαιοσύνης
ἀπορρήτως ἡμῖν
φανέντα, θεοτόκε,
ἀποτεκοῦσα, φώτισον
τῆς ψυχῆς μου τὰς αἰσθήσεις.

---

heirm. ζ' EE 220, n. 315, Joannis 149 Νῦν W Σμ 150 λαμπρυνόμενος Mf 151 καὶ] ὁ Mf vv. 153-154 varie detruncant W Mf Σμ 159-160 pro his vv. tantum εὐλογητὸς εἶ invenimus in Mf 161-166 troparium om. Mf Σμ 163 ἰατρεύων] ἰατρὲ τῶν W 167 ῥαθυμίας] ἀμελείας W, ἀμελίας Σμ

155-160 Cfr. Dan. 3,19-25. 49-50 168 Cfr. Mal. 3,20

ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*
τῶν Χαλδαίων ὁ τύραννος
τοῖς θεοσεβέσιν ἐμμανῶς ἐξέκαυσεν·
δυνάμει δὲ κρείττονι
περισωθέντας τούτους ἰδών,
« τὸν δημιουργὸν καὶ λυτρωτήν », ἀνεβόα,
« οἱ παῖδες, εὐλογεῖτε,
ἱερεῖς, ἀνυμνεῖτε,
λαός, ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Εὐσεβοφρόνως ἅπαντες
Μαξιμῖνον, Πατρόφιλον
ἅμα Ἡσυχίῳ καὶ Ῥηγίνῳ μέλψωμεν,
τιμῶντες Θεόφραστον
καὶ τὸν σοφὸν Κλεόνικον
f. 194v καὶ Ἀθηνογένην καὶ τὸν πάνσοφον || Πέτρον,
τοὺς θείους ἀθλοφόρους,
τοὺς μεγίστους φωστῆρας,
τοὺς ἅπασαν τὴν κτίσιν
ἀεὶ φωταγωγοῦντας.

Σὺ ἐκ σπαργάνων, ἔνδοξε,
τῷ θεῷ ἀνακείμενος,
πᾶσαν ἀρετὴν θεοπρεπῶς ἐξήσκησας·
ἐντεῦθεν γενόμενος
ἀρχιερεὺς πανάριστος,
στέφει ἐπὶ τέλους ἀθλητῶν κατεστέφθης,
κραυγάζων τῷ δεσπότῃ·
« ἱερεῖς, ἀνυμνεῖτε,
λαός, ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

heirm. η' EE 219, n. 314, Joannis, tantum in Pz integer invenitur 175 ῥιγῖνον Pz 177 v. om. Pz 180 τοὺς] καὶ Pz 183-192 troparium om. Mf 188 στέφῃ W Σμ 190-192 post ἱερεῖς cetera om. Pz 190 v. om. W ἱερεῖς εὐλογεῖτε Σμ vv. 191-192 om. Σμ

Ὡς ἱερεὺς εὐπρόσδεκτος,
ὡς ποιμὴν ἀξιάγαστος,
ταῖς μαρτυρικαῖς κατηγλαΐσθης χάρισι
καὶ νῦν κατεσκήνωσας
τῶν πρωτοτόκων, ἔνδοξε,
νῦν ἐν ταῖς σκηναῖς, διηνεκῶς ἀναμέλπων·
« οἱ παῖδες, εὐλογεῖτε,
ἱερεῖς, ἀνυμνεῖτε,
λαός, ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Ἱκετηρίαν ποίησον,
θεοτόκε πανύμνητε,
ὑπὲρ τῶν πιστῶς καὶ εὐσεβῶς ὑμνούντων σε,
πταισμάτων συγχώρησιν
καὶ τῶν ἐκεῖσε λύτρωσιν
αἰωνιζουσῶν καὶ πικροτάτων βασάνων
λαβεῖν τοὺς μελῳδοῦντας·
« ἱερεῖς, ἀνυμνεῖτε,
λαός, ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

f. 195 || ᾠδὴ θ'. *Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς*
καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα,
ὅτι θεὸς
ὤφθη τοῖς ἀνθρώποις σωματικῶς
καὶ ἡ γαστήρ σου γέγονεν
εὐρυχωροτέρα τῶν οὐρανῶν·
διό σε, θεοτόκε,

193-202 troparium om. Σμ 195 χάρισι] κάλλεσι W 198 διηνεκῶς] ταῖς ἀγαθαῖς Pz 199-202 pro his vv. refert W tantum λαὸς ὑπ‹ερυψοῦτε› post παῖδες cetera om. Mf vv. 201-202 om. Pz 208 διαιονιζόντων Mf καὶ om. Mf 210-213 post ἱερεῖς cetera om. W 210 εὐλογεῖτε Pz Σμ vv. 211-212 om. Σμ Mf post λαὸς cetera om. Pz
heirm. θ' EE 220, n. 314, Joannis heirm. inc. referunt W Mf Σμ

196-198 Cfr. Luc. 16,9

ἀγγέλων καὶ ἀνθρώπων
ταξιαρχίαι μεγαλύνομεν.

Ὡραῖος ὡς νυμφίος ὑπεξελθὼν
τοῦ γεώδους, παμμάκαρ, σκηνώματος,
ταῖς καλλοναῖς
κατηγλαϊσμένος τῶν εὐκλεῶν
καὶ ἱερῶν ἀγώνων σου,
ἔφθασας νυμφῶνα τὸν νοητόν,
ἀγγέλους καταπλήξας
καὶ ἅπαντας ἀνθρώπους
ταῖς ὑπὲρ νοῦν ἀνδραγαθίαις σου.

Συνήφθης ταῖς χορείαις ταῖς νοηταῖς
τῶν ἀγγέλων, σοφὲ Ἀθηνόγενες,
τὸ γὰρ αὐτῶν
ἔσχηκας πολίτευμα ἐπὶ γῆς
καὶ ἠριθμήθης τάξεσι
πάντων ἱερέων καὶ ἀθλητῶν,
μεθ' ὧν ἡμῶν ἀπαύστως
μνημόνευε τῶν πίστει
ἐπὶ τῆς γῆς μνημονευόντων σου.

f. 195v Ἡμέραν εὐφροσύνης καὶ χαρμο||νῆς
τὴν σεπτήν σου πανήγυριν ἄγομεν,
δόξα πιστῶν,
καύχημα μαρτύρων πανευκλεῶν,
καὶ ἐκτενῶς δεόμεθα·
« ἔχων παρρησίαν πρὸς τὸν θεόν,
ἱκέτευε δοθῆναι
συγχώρησιν πταισμάτων
καὶ ἱλασμὸν ἡμῖν καὶ ἔλεος ».

heirm. 9 μεγαλύνουσιν EE 214 μάκαρ Mf 216 εὐκλεῶν] ἐκλεκτῶν Σμ 222-230 troparium om. Mf 228 ἀπαύστως] τῶν πίστει Pz 229 τῶν πίστει] ἀπαύστως Pz 231-239 troparium om. Σμ 232 ἄγωμεν W Mf 239 ἡμῖν καὶ] καὶ μέγα Mf

213 ss. Cfr. Ps. 18,6

θεοτ. Φανεῖσα ἀνωτέρα τῶν οὐρανῶν,
χερουβὶμ ὑπερτέρα, θεόνυμφε,
μήτηρ θεοῦ,
θρόνος καὶ παλάτιον φωτεινὸν
τοῦ βασιλέως γέγονας
τῶν βασιλευόντων ὡς ἀληθῶς,
βασίλισσα κυρία
ἁπάσης οἰκουμένης
τῆς εὐσεβῶς μακαριζούσης σε.

241 θεόνυμφε] πανεύφημε Mf 242 θεοῦ] χριστοῦ Pz 243 θρόνος] νύμφη Pz φωτεινὸν] φοβερὸν Σμ 245 ὡς ἀληθῶς] ὡς ἀγαθὸς W 248 τοῖς εὐσεβῶς σε μακαρίζουσιν Pz τῆς] τοῖς W μακαριζούσης] μεγαλυνούσης Mf

IN SANCTAM MARINAM MARTYREM ANTIOCHIAE PISIDIAE

Synaxarium 825: Ἄθλησις τῆς ἁγίας μάρτυρος Μαρίνας. Αὕτη ὑπῆρχεν ἐξ Ἀντιοχείας τῆς Πισιδίας, θυγάτηρ Αἰδεσίου ἱερέως τῶν εἰδώλων. Προσαχθεῖσα δὲ Ὀλυβρίῳ τῷ ἐπάρχῳ καὶ θῦσαι τοῖς εἰδώλοις καὶ ἀρνήσασθαι τὸν Χριστὸν μὴ ἑλομένη, πολλὰς ὑπέστη βασάνους· καὶ βληθεῖσα ἐν τῇ φυλακῇ, τὸν ἐπαναστάντα αὐτῇ δράκοντα προσευξαμένη διέρρηξεν. Εἶτα ἀχθεῖσα ἐκεῖθεν καὶ ἐρωτηθεῖσα καὶ ἀσάλευτον τὴν εἰς Χριστὸν ὁμολογίαν φυλάττουσα, τὴν κεφαλὴν ἀπετμήθη. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις ἔνδον τοῦ ἁγίου μάρτυρος Μηνᾶ.

Mess. gr. 139 = Ma, ff. 231-232
Sinait. gr. 627 = Σο, ff. 62v-63v

Ὁ κανών.

Ἦχος πλ. δʹ.

ᾠδὴ αʹ. *Ἆισμα*
ἀναπέμψωμεν, λαοί,

Θρόνῳ
παρεστῶσα τοῦ Χριστοῦ,
Μαρίνα καλλιπάρθενε,
τὸν σὸν ἀθάνατον
ἱκέτευε νυμφίον
δοθῆναι τοῖς πίστει σου
μνήμην τὴν φωτοφόρον
ἀνυμνοῦσι τὴν ἔνθεον χάριν.

---

tit. ἕτερος κανὼν εἰς τὴν ἁγίαν μεγαλομάρτυρα μαρίναν Σο
heirm. αʹ EE 225, n. 323, Germani 6 τοῖς] τοὺς Σο

Πόθῳ
θελγομένη τοῦ Χριστοῦ,
βασάνων κατεφρόνησας
καὶ τὰ τερπνὰ τοῦ βίου
παρέδραμες ὡς ὄναρ·
ἐντεῦθεν, πανόλβιε,
τῆς μὴ σαλευομένης
βασιλείας σαφῶς ἠξιώθης.

Τάξεις
αἱ οὐράνιαι, σεμνή,
καὶ ἦχος ἑορτάζοντος
καὶ ἡ ἀνέκφραστος
ἐδέξατο λαμπρότης
ἀγῶνα νικήσασαν
τὸν τῶν ἀμιάντων,
ἀθλοφόρε Μαρίνα θεόφρον.

ᾠδὴ βʹ. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω
καὶ ἀνυμνήσω Χριστὸν

Ἔδραμες
συντονώτατον δρόμον
τοῦ μαρτυρίου σου,
ἀθλοφόρε Μαρίνα,
καὶ τὸν στέφανον ἀπείληφας.

Ἤλεγξας
τὸν πολύμορφον ὄφιν
ἐν γυναικείᾳ μορφῇ
καὶ τῆς Εὔας τὴν πτῶσιν
ἀνώρθωσας, ἀξιάγαστε.

---

11 κατετόλμησας Ma 12 τὰ om. Ma vv. 17-24 perperam ut θεοτ. refert Σο 18 αἱ οὐράνιαι] οὐρανίας σε Ma 22 ἀγῶναν Ma
odem βʹ om. Σο
heirm. βʹ EE 226, n. 324, Germani

---

19 Cfr. Ps. 41,5 25-29 Cfr. II Tim. 4,7-8 30-34 Cfr. Gen. 3,1-15

Μύρον σε
ἡ ὀσμὴ τοῦ νυμφίου
τοῦ νοητοῦ τῶν ψυχῶν
ἐπιπνεύσασα, νύμφη,
ἀθλοφόρον ἀπειργάσατο.

f. 231v || ᾠδὴ γ΄. *Οὐκ ἔστιν ἅγιος*

Πυρὸς καὶ κολάσεων
καταπτύσασα,
τῆς τρυφῆς κατηξίωσαι,
μάρτυς ἀοίδιμε,
τῆς διαιωνιζούσης,
ὁρῶσα τὴν ἄρρητον
δόξαν τοῦ νυμφίου σου.

Τὸ χαῦνον τοῦ θήλεος
οὐκ ἐκώλυσε
τὸ στερρὸν τῆς ἀθλήσεως,
μάρτυς, ἐνδείξασθαι·
τῆς ψυχῆς γὰρ τὸν τόνον
ἀνδρείως ἐπτέρωσε
χάριτι ὁ κύριος.

Ὁ πάλαι τὰ ἄμετρα
φρυαττόμενος

vv. 35-39 perperam ut θεοτ. refert Ma
heirm. γ΄ EE 226, n. 323, Germani 40 κολάσεως Ma 46 νυμφίου] κυρίου Ma 54-60 pro hoc tropario substituit Σο θεοτ.: Ῥωσθέντες τῇ χάριτι, ed. in MR VI, 145.

54-60 LATYŠEV, *Menol.* II, 182: ... καί ποθεν δράκων ἑρπύσας, δεινὸς μὲν ἰδεῖν, δεινὸς δὲ τὴν ὁλκὴν ἐν τῷ ἕρπειν, περιέτρεχεν ταύτην ... καὶ ἅμα θάρσους ὑποπλησθεῖσα τῶν τριχῶν τοῦ δαίμονος δράττεται. καὶ ξένον οὐδέν· τί γὰρ τῇ παντοδυνάμῳ χειρὶ οὐκ ἐφικτὸν καὶ ἧς οἱ τρόποι τῆς οἰκονομίας ἄρρητοι καὶ ἀνέκφραστοι; καί που σφῦραν εὑροῦσα τετυφέναι τοῦτον ἐπιχειρεῖ κατά τε τῆς κεφαλῆς καὶ τῶν νώτων, ἐπὶ τραχήλου πρότερον αὐτὸν τῷ ὡραίῳ ταύτης πεπατηκυῖα ποδί. [Cfr. H. USENER, *Acta S. Marinae et S. Christophori*, Bonn 1886, 24 ss.].

35-36 Cfr. Cant. 1,3-4

ἐξαλείφειν τὴν θάλασσαν
κόρης θεόφρονος
ὑπὸ πόδας πατεῖται·
Χριστὸς γὰρ ἐνέκρωσε
τούτου τὰ κινήματα.

ᾠδὴ δ΄. *Ἐξ ὄρους κατασκίου, λόγε, ὁ προφήτης*

Μεγαλοπρεπῶς,
θεόφρον, ἠγωνίσω
καὶ νῦν τοὺς οὐρανοὺς
ἀξίως ἐμβατεύεις
στεφηφοροῦσα, Μαρίνα μάρτυς παρθένε,
καὶ ἀνυμνοῦσα τὸν νυμφίον σου.

Ταῖς μαρτυρικαῖς
ἀγέλαις συναγάλλῃ
καὶ παρθενικαῖς
χορείαις συνευφραίνῃ,
μάρτυς παρθένος, πανεύφημε, γενομένη,
ἐν ἀμφοτέροις διαλάμψασα.

Τὸν ὡς ἀστραπὴν
πεσόντα οὐρανόθεν
καὶ χαμαιπετῆ
γενόμενον ὡς ὄφιν
ταῖς προσευχαῖς σου κατέδυσας, ἀθλοφόρε,
δοξολογοῦσα τὸν νυμφίον σου.

heirm. δ΄ EE 224, n. 321, Joannis (cfr. p. 86) 65 στεφηφόρους παρθένε μάρτυς μαρίνα Ma 67-72 troparium om. Σο 74 πεσῶτα Σο 77 κατέδεισας Σο post v. 78 add. Σο θεοτ.: Χαίροις παρ' ἡμῶν, ed. in MR III, 351 et alibi: cfr. IHG V. 1,77

73-76, Cfr. Luc. 10,18-19

ᾠδὴ ε΄. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*

Ἀρρενωθεῖσα κόρη
καὶ γυναικείαν ἀσθένειαν ῥίψασα,
πρὸς τοὺς θείους ἀγῶνας
ἐρρωμενεστέρως ἐχώρησας.

Τὸ εὐσταθές σου, μάρτυς,
τῆς διανοίας καὶ ἄτρεπτον φρόνημα
τὴν ἀκαταστασίαν
τὴν τοῦ ἀρχεκάκου κατέλυσεν.

Τῇ εἰς Χριστὸν ἐλπίδι
ἐρηρεισμένη ὡς πύργος ἀκλόνητος
διεκρούσω τοὺς ὄμβρους
καὶ τὰς τρικυμίας τοῦ δράκοντος.

ᾠδὴ ς΄. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Παρθένος τε καὶ μάρτυς ἀληθὴς
Χριστοῦ ἐχρημάτισας,
f. 232 δόξῃ καὶ ‖ χάριτι
στεφομένη παρ' αὐτοῦ, ἀξιάγαστε.

Τοῦ βίου σου τὴν ἄστατον ἀχλὺν
λιποῦσα, πανεύφημε,
θείας λαμπρότητος
φωτοβόλοις ἀστραπαῖς προσωμίλησας.

Τῆς ἄνω βασιλείας ἀπλανῶς
τὴν τρίβον διώδευσας,

---

heirm. ε΄ EE 226, n. 323, Germani heirm. 1 ἀγνοίας] ἀγνωσίας Ma 82 ἐχώρεσας Σο 86 κατέλυσας Ma 88 ἐστηριγμένη Σο post v. 90 add. Σο θεοτ.: Ὁ τῆς παρθένου τόκος, ed. MR III, 541

heirm. ς΄ EE 224, n. 321, Joannis heirm. 1 φωτεινὸν] ἀγαθ<ὲ?> Ma 91 τε om. Ma 94 ἀξιάγαστε] παμμακάριστε Σο

μάρτυς πανένδοξε,
κεκτημένη ὁδηγὸν τὸν νυμφίον σου.

ᾠδὴ ζ΄. *Ὁ ἐν ἀρχῇ*
τὴν γῆν θεμελιώσας

Ὁ παρασχὼν
τῇ αὐτοῦ ἀθλοφόρῳ
καταπατεῖν
τοῦ ὄφεως τὴν κάραν,
εὐλογητὸς εἶ
εἰς τοὺς αἰῶνας,
κύριε ὁ θεὸς
τῶν πατέρων ἡμῶν.

Ὁ ἐξ ἁγνῆς
παρθένου ἀνατείλας
καὶ γυναικῶν
τὸ σαθρὸν ἀναρρώσας,
εὐλογητὸς εἶ
εἰς τοὺς αἰῶνας,
κύριε ὁ θεὸς
τῶν πατέρων ἡμῶν.

Ὁ καθελὼν
τοῦ τυράννου τὸ θράσος
διὰ τῆς σῆς
ἀθλοφόρου βοώσης·
« εὐλογητὸς εἶ
εἰς τοὺς αἰῶνας,
κύριε ὁ θεὸς
τῶν πατέρων ἡμῶν ».

---

post v. 102 add. Σο θεοτ.: Ἡ μόνη διὰ λόγου ἐν σαρκί, ed. in MR I, 183 et alibi: cfr. IHG II, 47

in inferiore margine, f. 231v, refert Ma: ζήτησον τὸ κονδάκιον τῆς ἁγίας μαρίνας εἰς τὸ τέλος τοῦ τετραῳδίου εἰς τὸ ἐξαποστειλάριον τοῦ ἁγίου ἡλιοῦ

heirm. ζ΄ EE 226, n. 323, Germani 114 ἐναρρώσας Ma vv. 107-110, 115-118, 123-126 varie detruncant cdd. post v. 126 add. Σο θεοτ.: Ὁ ἐν γαστρὶ τῆς παρθένου οἰκήσας, ed. in MR V, 116 et alibi: cfr. IHG III, 24

ᾠδὴ η΄. *Τὸν ἐν ὄρει*
ἁγίῳ δοξασθέντα

Παρθενίας
σφραγῖδι κοσμουμένη
καὶ μαρτύρων
ἀγῶσι λαμπομένη,
δι' ἑκατέρων, ἔνδοξε, διέπρεψας,
κύριον ὑμνοῦσα
καὶ ὑπερυψοῦσα
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἄφθορόν σου
τηρήσασα τὸ σῶμα,
ἐν ἀφθάρτοις
κατῴκησας θαλάμοις,
ἐν οὐρανοῖς, Μαρίνα πανσεβάσμιε,
κύριον ὑμνοῦσα
καὶ ὑπερυψοῦσα
αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐωδίας
ἀντιλαμβανομένη
τοῦ νυμφίου
καὶ πόθῳ τετρωμένη,
διδυμευούσαις χάρισι κραυγάζεις νῦν·
« κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

---

heirm. η΄ EE 226, n. 323, Germani 128 σφραγίδος Σο 132-133 κύριον ὑμνεῖτε / καὶ ὑπ<ερυψοῦτε> Σο, qui v. 134 om. vv. 133-134 om. Ma vv. 141-142 om. cdd. 148 κύριον ὑμνοῦσα Σο vv. 149-150 om. cdd. post v. 150 add. Σο θεοτ.: Τὸν ἐν μήτρᾳ / οἰκήσαντα παρθένου, ed. in MR I, 34 et alibi: cfr. IHG IV, 201

143-145 Cfr. Cant. 1,3-4 146 Cfr. Cant. 2,5; 5,8

ᾠδὴ θ΄. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

Τῇ τῆς ἀνωτάτω ἁγίας καὶ μακαρίας
καὶ βασιλικῆς τριάδος
ἐντρυφᾶν θεωρίᾳ
καθαρῶς καὶ τρανῶς ἠξιώθης,
μάρτυς ἀθλοφόρε πανσεβάσμιε.

Ἀντὶ τῆς ὀδύνης τῶν πόνων καὶ τῶν βασάνων
ἡ ἀγγελικὴ σε τέρψις
ὑπεδέξατο, κόρη,
καὶ χαρᾶς νοητῆς μετουσία
ἔνθα τῶν μαρτύρων αἱ λαμπρότητες.

Τῇ μαρτυρικῇ σου χρωμένη νῦν παρρησίᾳ,
τὸν Χριστὸν τὸν σὸν νυμφίον
δυσωποῦσα μὴ παύσῃ
τὰς ψυχὰς τῶν πιστῶς σε ὑμνούντων
σῶσαι καὶ φωτίσαι, παμμακάριστε.

---

heirm. θ΄ EE 226, n. 324, Germani 161 Τῆς μαρτυρικῆς Ma post v. 165 praebet Σο θεοτ.:

Λῦσαι τῶν δεσμῶν (τὸν δεσμὸν?) τῶν ἐμῶν, ἄχραντε, πταισμάτων·
λυτρωτὴν γὰρ ἔτεκες
τοῦ παντὸς καὶ δεσπότην
καὶ τὸ ἄλγος τῶν ἀνιάτων παθῶν μου
θεράπευσον ἐλαίῳ τῆς πρεσβείας σου.

IN SANCTUM SPERATUM ET SOCIOS MARTYRES SCILLITANOS

Mess. gr. 140 = O, ff. 183-189

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Τὸν ἱερὸν μάρτυρα μέλπω Σπειρᾶτον.
Ἐν δὲ τοῖς θεοτοκίοις· Θεοφάνης.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Τὸν μέγαν ἱερουργὸν καὶ μάρτυρα
Σπεράτον, κύριε,
ὑμνολογεῖν προθέμενός σου νῦν,
φωτισμόν μοι παράσχου, σωτήρ,
καὶ τῆς ψυχῆς ἀπέλασον
τὴν ἐμπαθῆ ⟨μου⟩ ἐπισκότωσιν.

Ὁ θεῖος ἱερομάρτυς σήμερον
Σπερᾶτος ᾄσμασιν
ἀνευφημείσθω πᾶσι τοῖς πιστοῖς,
ὡς προστάτης ὑπάρχων θερμὸς
f. 183v τῶν θλι||βομένων πάντοτε
καὶ ἀντιλήπτωρ ἑτοιμότατος.

---

tit. Τὸν ἱερομάρτυρα βλέπω Σπεράτον in rubrica canonis, sed ex tropariis acrostichis exstat: Τὸν ἱερὸν μάρτυρα μέλπο (sic) Σπειρᾶτον (sic): cfr. commentarium p. 598 notam 1
heirm. α' EE 94, n. 133, Joannis   5 καὶ τῆς ψυχῆς μου cd., μου postea crasum   6 μου metri causa add.   ἐπισκότωσιν pro ἐπισκότησιν?

Νοός μου τὸν σκοτασμὸν διάλυσον
λιταῖς ἐνθέοις σου
καὶ τὴν ἐμὴν εὐόδωσον ψυχὴν
εὐαρέστησιν θείαν πρὸς σήν,
κατατολμῶντος ἅψασθαι
τῶν σῶν ἐπαίνων, ἱερώτατε.

Ἱδρῶτας καταβαλὼν τοῦ σώματος,
Σπερᾶτε, γέγονας
τοῦ ποιητοῦ τῶν ὅλων θεουργὸν
ἐνδιαίτημα, μάρτυς σοφέ,
καὶ καθαρὸν κειμήλιον
τῶν χαρισμάτων τῶν τοῦ πνεύματος.

θεοτ. Θεότητος ὁλικῶς τὸ πλήρωμα,
παρθένε, τέτοκας
καὶ τὴν ἡμῶν ἐθέωσας ῥευστὴν
f. 184 || τῶν ἀνθρώπων οὐσίαν, ἁγνή·
διὸ καὶ μακαρίζομεν
αἱ γενεαί σε, παναμώμητε.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Ἐνθέως σου μετιών,
ἱερομάρτυς, τὴν ζωὴν πρότερον,
νῦν τὸν ἐχθρὸν βέβληκας
αἵματος ἐκχύσει τιμίου σου.

Ῥεόντων καταφρονὴν
καὶ τὴν ἐλπίδα πρὸς θεὸν τείνας σου,
ὑπερφυῶς ἅπασαν
πράξεως ἰδέαν ἐξήσκησας.

Ὁ σπόρος ὁ τοῦ θεοῦ
ὥσπερ εἰς γῆν καταβληθεὶς ἔγκαρπον,

---

heirm. γ' EE 94, n. 133, Joannis   38 ἰδίαν cd.

---

39 ss. Matth. 13,8; Marc. 4,8; Luc. 8,8

τῇ σῇ ψυχῇ κάλλιστον
δένδρον εὐθαλὲς ἀναδείκνυσιν.

Ναμάτων τῶν ζωτικῶν
ἐμφορηθεὶς καὶ πρὸς νομὰς ἄριστα
ποίμνην τὴν σὴν ἤλασας,
f. 184v || δόγμασι ποτίσας τῆς πίστεως.

θεοτ. Ἐκύησας ἀληθῶς
τὸν χαρακτῆρα τοῦ πατρός, ἄφθορε,
καὶ τὴν αὐτοῦ ἤγειρας
καταπεπτωκυῖαν ὁμοίωσιν.

Κάθισμα.

Ἦχος πλ. δʹ. *Τὴν σοφίαν τοῦ λόγου ἐν σῇ γαστρὶ*

Καρταγέννων ἡ πόλις ἐπὶ τῇ σῇ
δᾳδουχεῖται νῦν μνήμῃ, θαυματουργέ,
μέγιστόν σε ἔχουσα
πολιοῦχον καὶ σκέπην,
ἱερομαρτύρων
Σπερᾶτε τὸ καύχημα,
σὺν αὐτῇ δὲ καὶ πάντα
τὰ πέρατα γέγηθεν,
ᾄσμασιν ἡμέραν
τὴν σεπτήν σου τιμῶντα,
μεθ' ὧν συγχορεύοντες
καὶ ἡμεῖς σε γεραίρομεν,
ἱεράρχα, δεόμενοι·
« πρέσβευε Χριστῷ τῷ θεῷ
τῶν πται⟨σμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου⟩ ».

---

heirm. καθ. MR I, 68 vv. 15-17 om. cd.

---

43 ss. Cfr. Joh. 10,1 ss.

f. 185 || ᾠδὴ δʹ. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Μαρτυρίου σου ἐνθέως σὺν τοῖς συνάθλοις
τετελεκὼς τὸν δίαυλον
καὶ τῆς οὐρανίου
δόξης κατηξίωσαι νῦν,
κραυγάζων τῷ κτίστῃ σου·
« δόξα τῇ δυνάμει σου, κύριε ».

Ἀναλόγως τῶν σῶν πόνων, ἱεροκῆρυξ,
ἀναβιβάζει θρόνῳ σε
τῆς ἱερωσύνης
ἐγκαθιδρυσάμενος
Χριστὸς καὶ ποιμένα τε
τοῦ λαοῦ αὐτοῦ προκαθίστησιν.

Ῥαντισμῷ τῶν σῶν αἱμάτων ἐθελουσίως
ἱερουργῶν τὸ σῶμά σου
τῷ Χριστῷ, Σπερᾶτε,
λύθρου ψευδωνύμων θεῶν
καθαίρεις, θεόσοφε,
πλείστους ἐπιστρέφων πρὸς κύριον.

Τῶν ἰάσεων ἀφθόνως κατατρυφῶμεν
f. 185v οἱ προσιόντες || πόθῳ σοι,
Σπερᾶτε παμμάκαρ,
ὅθεν ἀνυμνοῦμεν Χριστὸν
τὸν σὲ ὑπεράραντα
ξένοις θαυμασίοις καὶ τέρασιν.

θεοτ. Ὁ προάναρχος, παρθένε, τοῦ θεοῦ λόγος
σωματικῶς κατῴκησεν
ἐν σοί, θεομῆτορ,
θέλων δὲ ἐκ σοῦ ⟨. . .⟩
διπλοῦς ὁ αὐτὸς ὁμοῦ
τέλειος θεός τε καὶ ἄνθρωπος.

---

heirm. δʹ EE 94, n. 133, Joannis v. 56 interrumpit cd. 61 τε: fortasse σε 68 ἐπιστρέφειν cd. 78 tres syllabae in cd. desunt

ᾠδὴ ε΄. *Σύ, κύριέ μου, φῶς*
εἰς τὸν κόσμον ἐλήλυθας

Ὕλη μαρτυρικὴ
τοῖς ἀπίστοις ἀνέφανε
πρὸς κύριον ὁ σὸς πόθος,
ἐπιστρέφων ἐκ πλάνης
αὐτοὺς πρὸς θεοσέβειαν.

Ῥύστην ἐξ ἀναγκῶν
καὶ λυτῆρά σε ἔγνωμεν·
ἐν θλίψεσι γὰρ προφθάνης,
ὦ θεόφρον Σπερᾶτε,
τοὺς ἐπικαλουμένους σε.

Ἄλλον ὥσπερ Μωσῆν
f. 186 νομοθέτην || ἡ σύναθλος
ἐφεύρατό σε χορεία,
τοῦ ἐχθροῦ τῆς δουλείας
σοφῶς ὑπεξαιρούμενον.

Μέγαν θαυματουργὸν
ὁ Χριστός σε ἀνέδειξε
καὶ κόσμῳ ἐξῃρημένον,
ὁ δοξάζων μεγάλως
ἐκεῖνον τοὺς δοξάζοντας.

θεοτ. Φαίνειν ἐπὶ τῆς γῆς
διὰ σοῦ ἐπεδήμησε
φῶς ἄφραστον τοῖς ἐν σκότει,
καταυγάζον ἀκτῖσιν,
παρθένε, θείας γνώσεως.

heirm. ε΄ EE 94, n. 133, Joannis

99-100 I Regn. 2,30

ᾠδὴ ϛ΄. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, κύριε,

Ἐφάνης
ἀπὸ δυσμῶν φανότατος, ἅγιε,
ὡς ἑωσφόρος φωτίζων
σαῖς ἀδύτοις λάμψεσι τῶν περάτων
τὴν ἑσπέραν,
θαυματουργὲ Σπερᾶτε μακάριε.

Λέλυνται
τῶν θλιβερῶν οἱ σὲ προσκαλούμενοι
καὶ χαρμοσύνης ἀπλέτου
f. 186v ἐμπιπλῶνται || πάραυτα καὶ τὴν χάριν
σοῦ τὴν θείαν
ἀνευφημοῦντες πίστει δοξάζουσιν.

Ποῖός σου
καταλαβεῖν τὸ μέτρον δυνήσεται
νοῦς τῶν θαυμάτων, Σπερᾶτε;
καὶ γὰρ ἀραρότως τοῖς δεομένοις
σὺ χαρίζει
πρὸς τὸ συμφέρον πᾶσι τὴν αἴτησιν.

Ὄλλυται
τῶν δυσμενῶν πληθὺς ἡ ὀλέθριος
τῇ ἐπικλήσει σου μόνη
καὶ πιστῶν τὰ στίφη, ἱερομάρτυς,
σαῖς πρεσβείαις
διασωθέντα πόθῳ σεμνύνει σε.

θεοτ. Ἄνωθεν
προφητικαὶ φωναὶ κατήγγειλαν
τράπεζαν, βάτον, λυχνίαν,

heirm. ϛ΄ EE 94, n. 133, Joannis 122 σὺ] σοῦ cd.

132 Ex. 25,23; ibid. 3,2; ibid. 25,31

μαννοδόχον στάμνον σε καὶ λαμπάδα
πυρφοροῦσαν
ἀκαταφλέκτως, ἁγνή, τὸν κύριον.

Κοντάκιον.

Ἦχος γ'. *Ἡ παρθένος σήμερον*

f. 187 || Ἰατρεῖον ἄμιστον
ὁ σὸς ναὸς ἀνεδείχθη
προσιοῦσιν, ἔνδοξε
ἱερομάρτυς, ἐν πίστει·
βρύεις γὰρ
τῶν ἰαμάτων τὴν θείαν χάριν,
ἅπασι
τοῖς δεομένοις μετοχετεύων·
διὰ τοῦτο σὲ ὑμνοῦμεν,
Σπερᾶτε μάκαρ,
ἱεραρχῶν καλλονή.

Ὁ οἶκος. *<Τὴν Ἐδὲμ Βηθλεὲμ>*

Ἀνυμνήσωμεν οὖν
τὸν ἱεράρχην ᾄσμασι
Καρταγέννων, πιστοί,
ποιμένα καὶ διδάσκαλον·
οὗτος γὰρ ἀμέμπτως
τὸ πρὶν ἱερούργει
θεῷ λατρείαν
φέρων ἀναίμακτον,
καὶ νῦν δὲ προσήνεγκεν

---

133 λαμπάδαν cd. 135 ἀκατάφλεκτος cd.
heirm. κοντακ. HR 164, MR II, 666
heirm. οἴκ. MR II, 667 cd. om.

---

133 Ex. 16,33-34 7-12 οἴκ. Cfr. Hebr. 9,11-14

αὐτοῦ τὸ σῶμα
θυσίαν ἄμωμον,
ὁλοκαυτωθὲν
δι' ἀθλήσεως,
ὡς ἀθλητὴς μὲν καταφρονήσας
διὰ Χριστὸν καὶ τῆς σαρκός,
ὅθεν ἁπάντων εὐσεβῶν
καθοδηγέτης τυγχάνεις
f. 187v καὶ ὑπέρμαχος || μέγας,
Σπερᾶτε μάκαρ,
<ἱεραρχῶν καλλονή>.

ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*

Σὲ ὡς ἀστέρα
τῆς ὁμοάθλου συνοδίας φαιδρὸν
σχέσει
ἐν καρδίᾳ μᾶλλον ἢ τῇ φωνῇ
σεβαζόμενοι κραυγάζομεν·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

Πολιουχεῖται
τῶν Καλαβρῶν ἡ ἐπαρχία, σοφέ,
λίαν
αὐχουμένη σκέπῃ τῇ παρὰ σοῦ,
. . . .
. . . . . .
οἷς τοὺς πιστοὺς ἀρδεύεις ἑκάστοτε.

Ἐγκαυχωμένη
τῶν Καρταγέννων ἡ πατρὶς ἐπὶ σοὶ
χαίρει·
ἐπὶ πλέον ταύτης γὰρ εὐσεβῶς
προκαθήμενος ἐδίδασκες
πιστεύειν ἅπαντας
τριαδικῶς εἰς μίαν θεότητα.

---

20 metri causa complevi
heirm. ζ' EE 94, n. 133, Joannis 142 post ναῷ cetera om. cd.
146 αὐχωμένη cd. vv. 147-148 desunt in cd.

θεοτ. Ναὸς κυρίου,
παρθενομῆτορ, ὤφθης ἐπὶ τῆς γῆς,
ὅθεν
ἀνεδείχθης ὄντως τῶν χερουβὶμ
ὑπερτέρα, θεονύμφευτε,
θεὸν κυήσασα
f. 188 δημιουρ||γὸν τῶν ὅλων καὶ κύριον.

ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Ἵστασο πρὸ βήματος στερρῶς
ἀδάμας, ἔνδοξε,
καθάπερ ἄτρεπτος,
θεηγορίαις τῶν λόγων σου
στηλιτεύων τὸ πολύθεον
τῶν ἀσεβῶν καὶ στερεῶν
πίστει τοὺς κράζοντας·
« εὐλογεῖτε,
πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

Ῥαίνεις τοῖς νοσοῦσι δαψιλῆ
τὴν χάριν, ἅγιε
Σπερᾶτε μέγιστε,
τοῖς τῷ ναῷ σου προστρέχουσιν,
τῶν λυπούντων ἐξιώμενος
τοὺς εὐσεβεῖς καὶ τῷ θεῷ
προτρέπεις κράζειν ἀεί·
« εὐλογεῖτε,
πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

Ἄφατον θεοῦ τῶν δωρεῶν
τὸν πλοῦτον κτώμενος,
προστάτης ἔνθερμος
ἑορταζόντων τὴν μνήμην σου

heirm. η' EE 94, n. 133, Joannis 166 ἄτρεπτον cd. v. 172 om cd. v. 181 om. cd. 182 θεῷ cd.

χρηματίζεις ἀξιάγαστος,
τοῦ δυσωπεῖν ὑπὲρ ἡμῶν
ὅθεν τὸν κύριον
μὴ ἐλλείπης,
f. 188ᵛ ὅπως παντοίων || ῥυσθείημεν θλίψεων.

θεοτ. Ἤνοιξας ἡμῖν τὴν τῆς Ἐδὲμ
εἰρχθεῖσαν εἴσοδον,
δέσποινα πάναγνε,
καὶ τῆς προμήτορος ἔλυσας
τὴν ἀρὰν ὡς παντευλόγητος
καὶ διὰ τοῦτο οἱ πιστοὶ
πάντες κραυγάζομεν·
« εὐλογεῖτε,
πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Τῶν συναθλητῶν τὴν χορείαν
παραλαβών, ἱερομάρτυς,
ποίησον κυρίῳ ἐντεύξεις
σωθῆναι πάντας
τοὺς ἀνυμνοῦντας μνήμην
τὴν σὴν ἀξιοθαύμαστον,
μάκαρ Σπερᾶτε πανaοίδιμε.

Ὅλος παρεστὼς τῇ τριάδι
θείῳ φωτὶ λελαμπρυσμένος
καὶ τὰς θεαυγεῖς φρυκτωρίας
ὁρῶν ἀμέσως,
ὑπὲρ ἡμῶν μὴ παύσῃς
θεὸν ἐξιλεούμενος
f. 189 τῶν οἰκε||τῶν σου, παμμακάριστε.

189 ἐλλίπης cd. vv. 198-199 om. cd.
heirm. θ' EE 94, n. 133, Joannis

Νίκης ἐπαξίως τῶν ἄθλων
καὶ τοὺς στεφάνους ἀνεδύσω
διπλοῦς ἐκ χειρὸς τοῦ δεσπότου,
χορεύων, μάκαρ,
σὺν ἀρχαγγέλοις ἄνω
καὶ ἀποστόλοις, μάρτυσι
καὶ ἱεράρχαις ἀγαλλόμενος.

θεοτ. Σῶσον, ὑπεράγαθε σῶτερ,
λιταῖς τεκούσης σε παρθένου
καὶ τοῦ ἱεράρχου Σπεράτου
καὶ τῶν συνάθλων
ἱκετηρίαις θείαις
ἡμᾶς ὡς πολυέλεος
καὶ βασιλείας σου ἀξίωσον.

IN SANCTUM SPERATUM ET SOCIOS MARTYRES SCILLITANOS

Mess. gr. 140 = O, ff. 189-194v

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Σπερᾶτον ὑμνῶ τὸν κλεινὸν ἱεράρχην· δωρ(?).

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἄισμα*
ἀναπέμψωμεν, λαοί,

Σῶτερ,
χορηγὲ τῶν ἀγαθῶν
καὶ κτίστα πάσης κτίσεως,
f. 189v τῆς δια||νοίας μου
ἀπέλασον τὸ νέφος
καὶ λάμψον ἀκτῖνά μοι
χάριτος, ἵν' ὑμνήσω
ἐπαξίως
Σπερᾶτον τὸν θεῖον.

Πάντες
οἱ πιστοί, χαρμονικῶς
συναθροισθέντες σήμερον,
τὸν ἀρχιποίμενα
Σπερᾶτον ὑμνῳδίαις
σεπτῶς καταστέψωμεν,
ὅπως ταῖς ἱκεσίαις

---

tit. Ἕτερος κανὼν ... cd. litterae δωρ, quae fortasse sunt contractio nominis auctoris, in rubrica desunt: cfr. commentarium p. 598
heirm. α' EE 225, n. 323, Germani

τούτου πάσης
ῥυσθῶμεν ἀνάγκης.

Ἔσχες
ἐκ σπαργάνων μητρικῶν,
παμμάκαρ, ἐν καρδίᾳ σου
τὴν ὑπερέχουσαν
τοῦ παρακλήτου χάριν,
διὸ καὶ βεβίωκας
βίον ⟨τὸν⟩ τῶν ἀγγέλων
καὶ σὺν τούτοις
ἐνθέως αὐλίζῃ.

θεοτ. Ῥῦσαι,
μητροπάρθενε ἁγνή,
τοὺς σὲ θεοῦ γινώσκοντας
f. 190 μητέρα πάν||αγνον
τῷ βασιλεῖ τῆς δόξης
ἐκ πάσης κακώσεως
καὶ τῆς αἰωνιζούσης
τιμωρίας
τῆς κρίσεως ὥρᾳ.

ᾠδὴ γ'. *Τὸν φόβον σου, κύριε,*
ἐμφύτευσον
εἰς τὰς καρδίας
τῶν δούλων σου
καὶ γενοῦ ἡμῖν βοήθεια
τοῖς σὲ ἐν ἀληθείᾳ
ἐπικαλουμένοις.

Ἀξίως σε ἔχρισε
θείῳ χρίσματι,
ἱεράρχα μακάριε,

25 τὸν metri causa add.
heirm. γ' EE 220, n. 316, Joannis heirm. 2 ταῖς καρδίαις EE
5 βοήθεια] στερέωμα EE

34-35 Cfr. Matth. 25,46 36 Cfr. Matth. 12,36

ἡ χάρις τοῦ πνεύματος
καὶ ποιμένα ἀπειργάσατο
τῶν λογικῶν προβάτων
τοῦ Χριστοῦ, παμμάκαρ.

Ταπείνωσιν ἔσχηκας
καὶ πραότητα
τοῦ Δαυΐδ, παμμακάριστε,
διὸ καὶ πεπίστευσαι
τὴν Χριστοῦ ἐκκλησίαν,
ἣν καὶ ἐτήρησας
λύκοις ἀνεπίβατον.

f. 190v || Οἱ πόθῳ προστρέχοντες
τῷ τεμένει σου
τὰς αἰτήσεις λαμβάνουσιν,
Σπερᾶτε ἀοίδιμε,
καὶ παντοίων λυτροῦνται
παθῶν τε καὶ θλίψεων
καὶ νόσων ταῖς πρεσβείαις σου.

θεοτ. Νοσοῦσαν θεράπευσον,
ἀειπάρθενε,
μητρικαῖς ἱκεσίαις σου
ψυχὴν τὴν ἀθλίαν μου,
ταῖς Σπεράτου πρεσβείαις
εἰρήνην βραβεύουσα
τῷ κόσμῳ, θεονύμφευτε.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*

Ὑπερήθλησας ἄριστα,
μάκαρ ἱεράρχα καὶ ἐπορφύρωσας
πορφυρίδι τῶν αἱμάτων σου
τῆς ἱερωσύνης τὴν ἀμφίασιν.

heirm. δ' EE 225, n. 322, Cosmae

41-42, 49-50 Joh. 10,1 ss. 66-68 Cfr. Sir. 45,10; Apoc. 7,13-15

Μιμητὴς ἐχρηματίσας,
f. 191 μάκαρ, τοῦ δεσπότου σου, προδιδοὺς || τὴν ψυχὴν
ὑπὲρ ποίμνης, ἧς ἐκτήσατο
αἵματι οἰκείῳ, ὡς φιλάνθρωπος.

Νυσταγμὸν οὐκ ἐνέδωκας,
μάκαρ, τοῖς βλεφάροις ἐν τῇ ἀθλήσει σου,
ἀλλ' ἀνδρείως κατεπάτησας
τοῦ ἐχθροῦ, Σπερᾶτε, τὰ φρυάγματα.

θεοτ. Ὡς πασῶν ὑπερέχουσα
τῶν ἐπουρανίων θείων δυνάμεων,
τοὺς ὑμνοῦντάς σε περίσωζε,
παναγία κόρη μητροπάρθενε.

ᾠδὴ ε'. *Φώτισον ἡμᾶς*

Τῶν ἱεραρχῶν
καὶ μαρτύρων τὸν συνόμιλον
ἀνυμνήσωμεν ἐνθέοις ᾠδαῖς
Σπερᾶτον πάντες
πάσης νόσου ἐκλυτρούμενοι.

Ὅμιλος ἀθλεῖ
ἐξ μαρτύρων καὶ γυναίων πεντάς,
f. 191v ἔχοντές σε, || μάκαρ, πρόμαχον
καὶ ἀποστόλων
δωδεκάριθμον πληροῦντα χορόν.

Νόσων καὶ παθῶν
οἱ τιμῶντές σε λυτρούμεθα,
ἐν τῷ οἴκῳ σου προστρέχοντες·
ταχὺς γὰρ πέλεις
ἰατρὸς τῶν σὲ καλούντων ἀεί.

---

heirm. ε' EE 224, n. 321, Joannis

70s. Cfr. Joh. 10,11 ss.

θεοτ. Κόπασον, ἁγνή,
τῆς ψυχῆς μου τὸ κλυδώνιον
καὶ κατεύνασον τὸν τάραχον
τῶν λογισμῶν μου,
παναγία μητροπάρθενε.

ᾠδὴ ς'. *Ἄβυσσος ἁμαρτιῶν*

Λόγοις σου τοῖς ἱεροῖς
ἐξεπαίδευσας, Χριστοῦ ἱεράρχα,
τὴν λογικήν σου ποίμνην
ἐπιστήμην ὀρθόδοξον,
καὶ γὰρ ἤθλησαν σὺν σοί,
μάκαρ Σπερᾶτε, μαρτύρων δῆμος,
f. 192 οἷς συναγάλλῃ || εὐφραινόμενος.

Ἔρωτι τῷ τοῦ Χριστοῦ
καὶ χορὸς τῶν γυναικῶν πυρωθεῖσαι,
ὀπίσω σου, πάτερ,
διδαχαῖς σου προσέδραμον
καὶ ἀθλήσασαι στερρῶς,
μάκαρ Σπερᾶτε, πρὸς τὸν νυμφῶνα
τὸν τοῦ νυμφίου κατεσκήνωσαν.

Ἵνα τῶν ἐν οὐρανοῖς
σὺν ἀγγέλοις ἀγαθῶν ἐπιτύχῃς,
πολυειδεῖς βασάνους
καρτερῶς ἀνθυπέφερες
καὶ στολὴν τὴν ἱερὰν
αἵματι βάψας τοῦ μαρτυρίου,
δόξης τὸ στέφος κομισάμενος.

θεοτ. Νόμοι φύσεως ἐν σοὶ
καταλύονται σαφῶς, θεοτόκε·

---

98 καταύνασον cd.
heirm. ς' EE 222, n. 318, Joannis

108-111 Cfr. Cant. 1,3-4 113-114 Cfr. Matth. 25,10 119-120 Cfr. Apoc. 7,13-15 121 Cfr. I Petr. ep. 5,4

γεννᾷς γὰρ τὸν προόντα
ἀπορρήτως σαρκούμενον
καὶ παρθένος ὡς τὸ πρὶν
f. 192v πάλιν μεμένηκας· ξένον || θαῦμα
βροτοῖς καὶ νόοις ἀνερμήνευτον.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ λόγου ἐν σῇ γαστρὶ*

Καθαρώτατον βίον ἐξησκηκὼς
ἱερώτατον χρῖσμα θεοπρεπῶς
ἐδέξω, μακάριε,
καὶ ποιμὴν ἀνηγόρευσαι
ἐν καιρῷ τῆς πλάνης
τοῦ λόγου τῇ σύριγγι,
ἐπὶ χλόην θείαν
ποιμαίνων τὸ ποίμνιον,
ὅθεν ἐπὶ τέλει
ἐναθλήσας γενναίως
χορὸν ἑνδεκάριθμον
συναθλοῦντας προσήγαγες·
σὺν αὐτοῖς οὖν, μακάριε,
πρέσβευε Χριστῷ τῷ θεῷ
⟨τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου⟩.

ᾠδὴ ζ'. *Παῖδες Ἑβραίων ἐν καμίνῳ*

Ὅλῃ ψυχῇ καὶ προθυμίᾳ
θεῖα θύματα προσήχθησαν κυρίῳ
ἀθλησάντων σὺν σοὶ

---

128 νόαις cd.
heirm. καθ. MR I, 68 vv. 15-17 om. cd.
heirm. ζ' EE 220, n. 315, Joannis 130 κυρίου cd.

μαρτύρων, ὦ Σπερᾶτε,
f. 193 ἀναβοών|των· « κύριε
ὁ θεός, εὐλογητὸς εἶ ».

Νόσους ποικίλους θεραπεύεις
καὶ παθήματα δυσίατα, θεόφρον,
ἀπελαύνεις πιστῶν
τῶν σὲ ἐπικαλούντων,
καὶ εὐσεβῶς κραυγάζουσιν·
« ὁ θεός, εὐλογητὸς εἶ ».

Ἵνα πιστῶς σε μεγαλύνω
ὡς θερμότατον καὶ μέγαν μου προστάτην,
τῆς παρούσης ταχὺ
ἀπάλλαξον ὀδύνης
τῆς νῦν περιεχούσης με
ἐκ πολλῶν ἁμαρτημάτων.

θεοτ. * Εὔας τῆς πάλαι τὴν κατάραν
μεταβέβληκας, ἁγνή, πρὸς εὐλογίαν,
τὸν υἱὸν τοῦ θεοῦ
γεννήσασα, ᾧ πάντες
« εὐλογητὸς εἶ », κράζομεν,
« ὁ θεός, εἰς τοὺς αἰῶνας ».

ᾠδὴ η'. *Νικηταὶ τυράννου*

Ῥώμῃ θείᾳ, πάτερ,
εὐσθενῶς ἐρρώσθησαν θεῖαι γυναῖκες
f. 193v καὶ τὸν ἀλα||ζόνα
ἀνδρικῶς ἐπάτησαν σὺν σοὶ βοῶσαι·
« εὐλογεῖτε, πάντα
τὰ ἔργα, τὸν κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

---

140 εἶ om. cd. 147-152 θεοτ. ed. in MR IV, 299 et alibi: cfr. IHG I, 548 147 πάλαι] πρώτης MR 148 πρὸς] εἰς MR v. 152 om. cd.
heirm. η' EE 221, n. 316, Joannis 158-160 post ἔργα cetera om. cd.

Ἀαρὼν τοῦ πάλαι
θειοτέραν, ἔνδοξε, στολὴν ἐνδύσω,
ἣν καὶ μαρτυρίου
πορφυρώσας αἵματι, εἰσῆλθες χαίρων
πρὸς τὰς οὐρανίους
σκηνὰς ἀγαλλόμενος,
δῆμον ἐπιφέρων
συναθλητῶν μαρτύρων.

Ῥῦσαί με, παμμάκαρ,
τὸν ἐν σοὶ προστρέχοντα θερμῇ τῇ πίστει
ἐκ τῆς πιεζούσης
καὶ κατατρυχώσης με νῦν ἁμαρτίας,
ἵνα μετὰ πάντων
κηρύττω τὸ ἔλεος
καὶ τὴν εὐσπλαγχνίαν
τῆς σῆς φιλανθρωπίας.

θεοτ. Χαρὰν συλλαβοῦσα
καὶ τεκοῦσα, πάναγνε, παντὶ τῷ κόσμῳ,
πλήρωσον χαρᾶς με
τὴν τῆς διανοίας μου λύπην ἐξαίρων,
f. 194 ὅπως || γηθοσύνως
ἀνυμνῶ σε πάντοτε,
τὴν εὐλογημένην
καὶ κεχαριτωμένην.

ᾠδὴ θ'. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

Ηὔγασεν ἡ μνήμη, πιστοί, τοῦ θερμοῦ προστάτου
ὑπὲρ τὰς ἡλίου αὐγάς·
δεῦτε πάντες προθύμως

174 ἔλεον cd. 180 ἐξαίρων pro ἐξαίρουσα: cfr. MITSAKIS, 158-159
heirm. θ' EE 226, n. 324, Germani

161-162 Lev. 8,7 163-164 Cfr. Sir. 45,10

ἀπολαύσωμεν
τῆς αὐτοῦ λαμπηδόνος,
σκότους νοσημάτων ἐκλυτρούμενοι.

Νῦν ἐπαπολαύεις τῶν σῶν ἀγώνων τὰ γέρα
ἐκ ζωαρχικῆς δεξιᾶς
τοῦ πάντων βασιλέως,
παμμακάριστε
θεοφόρε Σπερᾶτε,
μέμνησο πιστῶς τῶν ἀνυμνούντων σε.

Δρόμον τὸν καλὸν εὐσεβῶς διανύσας, πάτερ,
ἄμωμον τὴν πίστιν
τετηρηκώς, ἱεράρχα,
καὶ διὰ τοῦτο
διπλοῖς στεφάνοις ἐστέφθης
f. 194v τῆς || ἱεραρχίας καὶ ἀθλήσεως.

Ὡς ἱεραρχῶν ἀληθῶς καὶ μαρτύρων κλέος
τὸν τοὺς ὕμνους σοι πλέξαντα
καὶ τῶν σὺν σοὶ μαρτύρων
γυναικῶν τε
τιμίων, Σπερᾶτε,
μέμνησο κινδύνων περισώζεσθαι.

θεοτ. Ῥῦσαι ψυχοφθόρων παθῶν, πάναγνε παρθένε,
τοὺς μητέρα σε σέβοντας
τοῦ θεοῦ καὶ τιμῶντας·
σὲ γὰρ ἔχομεν
ἀρραγῆ προστασίαν,
ἐν σοὶ καὶ τὰς ἐλπίδας ἀνεθέμεθα.

197 ss. Cfr. II Tim. 4,7-8

18 IUL. *CANON* XXVI

IN SANCTUM AEMILIANUM MARTYREM
DOROSTORI IN MOESIA

Synaxarium 827: Ἄθλησις τοῦ ἁγίου μάρτυρος Αἰμιλιανοῦ. Οὗτος ὑπῆρχεν ἐκ Δωροστόλου πόλεως Μυσίας τῆς Θράκης, δοῦλος τυγχάνων ἕλληνός τινος κατὰ τοὺς χρόνους Ἰουλιανοῦ τοῦ παραβάτου καὶ Καπετωλίνου βικαρίου. Σεβόμενος δὲ τὸν Χριστὸν καὶ τὰ εἴδωλα μυσαττόμενος, εἰσῆλθεν εἰς τὸν ναὸν τῶν εἰδώλων καὶ πάντα τὰ ἐν αὐτῷ ξόανα μετὰ τῆς σφαίρας, ἣν ἐν ταῖς χερσὶν εἶχε, συνέτριψεν. Ἀγομένων δὲ ἑτέρων ἐπὶ τῷ συμβάντι διὰ τὴν ἄγνοιαν καὶ αἰκιζομένων, αὐτὸς προσήγγειλεν ἑαυτόν· ὅθεν συλληφθεὶς ἐλέγχει τὴν τοῦ βικαρίου ἄνοιαν, ὅτι ἐπὶ ματαίοις πέποιθε τοῖς εἰδώλοις. Τυφθεὶς δὲ βουνεύροις δεινῶς καὶ βληθεὶς ἐν πυρὶ καὶ ἄφλεκτος ἐν αὐτῷ διαμείνας, τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε......

Vallic. gr. E 55 = Ec, ff. 62-66

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Αἰμηλιανὸς δοξάζεται ὁ μάρτυς.
Ἐν δὲ τριαδικοῖς καὶ θεοτοκίοις·
Ἠλιοὺ ᾆσμα.

Ἦχος δʹ.

ᾠδὴ αʹ. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Ἀξίως πρὸς εὐφημίαν, ἅγιε,
τῆς σῆς λαμπρότητος
ἀποκαθάρας θείαις σου λιταῖς
τῆς ψυχῆς τὰς αἰσθήσεις μου,

---

tit. ἕτερος κανὼν φέρων ἀκροστιχίδα ... cd., qui alternatis odis cum canone inc. Αἰνέσωμεν σήμερον, MR VI, 154, hunc canonem praebet ex tropariis sic extat acrostichis: Αἰμηλιανὸς δωξάζεται ὁ μάρτυς, cfr. commentarium p. 600 rubrica cd. Αἰμιλιανὸς δοξάζεται ...
heirm αʹ EE 94, n. 133, Joannis

ἐν τῷ φωτὶ τῆς γνώσεως
δίδου μοι λόγον εὐρυθμότατον.

Ἰδού σε ὡς κυβερνήτην ἄριστον
οἱ ἐν θαλάσσῃ μακρᾷ
καὶ κραταιὰν ἐλπίδα οἱ ἐν γῇ
κεκτημένοι, τὸν ὕμνον ἀμφοῖν
χρεωστικῶς σοι, ἅγιε,
νῦν ἐν τῇ μνήμῃ σου προσφέρομεν.

Μεγάλως τοῖς σὲ αἰτοῦσιν, ἅγιε,
πληροῖς τὸ θέλημα,
ὡς ἐκ θεοῦ τὸ δῶρον εἰληφώς·
ζηλωτὴς γὰρ αὐτοῦ γεγονώς,
τοῖς ἐν ἀνάγκαις δέδειξαι
προστάτης χάριτι θερμότατος.

τριαδ. Ἡ μία τῆς ἀκραιφνοῦς θεότητος
ἰσχὺς καὶ δύναμις,
φῶς νοερόν, τρισάκτινον, φαιδρῶς
ἀπαστράπτει ἀείζωον
πατρός, υἱοῦ καὶ πνεύματος
ἐν τῇ ταυτότητι τῆς φύσεως.

θεοτ. Λιμένα χριστιανοί σε ἄκλυστον
καὶ τεῖχος ἄρρηκτον,
θεοκυῆτορ, ἔχοντες ἀεί,
δυσωποῦμεν ῥυσθῆναι καὶ νῦν
τοῦ Ἰσμαὴλ τῆς μάστιγος,
εὐλογημένη παμμακάριστε.

f. 62ᵛ ‖ ᾠδὴ γʹ. *Εὐφραίνεται ἐπὶ σοὶ*

Ἡ γέννησίς σου σεπτὴ
καὶ ἡ τελείωσις φαιδρὰ πέφηνεν,
ἃς εὐσεβῶς μέλπομεν,
Αἰμιλιανὲ ὡραιόψυχε.

---

heirm. γʹ EE 94, n. 133, Joannis

Λαμπρύνεται ὁ λαός,
ἐπαπολαύων τηλαυγῶς πάντοτε
σοῦ τῆς φαιδρᾶς χάριτος,
Αἰμιλιανὲ θεοδόξαστε.

Ἰάματα δαψιλῶς
οἱ προσιόντες τῷ σεπτῷ δόμῳ σου
πίστει ἀεὶ αἴρομεν,
Αἰμιλιανὲ θεοπλούτιστε.

τριαδ. Ἰσότιμον τῷ πατρὶ
υἱὸν καὶ πνεῦμα τὸ εὐθὲς σέβομεν,
φῶς ἐκ φωτὸς τρίφεγγον,
μίαν βασιλείαν καὶ δύναμιν.

θεοτ. Ἰσχὺν παρέχουσα νῦν
τοῖς βασιλεῦσι κατ' ἐχθρῶν, δέσποινα,
πάσης ὀργῆς λύτρωσαι
τὴν κληρονομίαν τοῦ τόκου σου.

Κάθισμα.

Ἦχος γ'. *Θείας πίστεως ὁμολογία*

Πυρπολούμενος τῷ θείῳ ζήλῳ
πῦρ ὁμόδουλον οὐκ ἐπτοήθης
....

Ἄλλο.

Ἦχος γ'. *Τὴν ὡραιότητα*

Θεὸν ἠγάπησας
πάσῃ ἰσχύϊ σου
καὶ τὸν πλησίον σου

---

44 πνεῦμα τὸ εὐθὲς: cfr. PSALTES, 155
primum κάθ. ed. in MR VI, 155
heirm. secundi καθ. HR 243

3-4 secundi καθ. Matth. 19,19 et similes locos

ὡς σεαυτὸν γραφικῶς,
ὡς πληρωτὴς τῶν ἐντολῶν
γενόμενος αὐτοῦ τοῦ Χριστοῦ·
πλάνης γὰρ τὸ πρότερον
καθελὼν τὰ βδελύγματα,
ἔσωσας τὸ δεύτερον
τὸν δεινῶς μαστιζόμενον·
διὸ καὶ συνελθόντες, τιμῶμεν
πάντες τὴν ἔνδοξον μνήμην σου.

Ἄλλο.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ λόγου ἐν σῇ γαστρὶ*

Δανιὴλ τὸν προφήτην παραζηλῶν
καὶ Ὡσήαν ὡσαύτως, μάρτυς σοφέ,
ἀνδρείως συνέτριψας
f. 63 τὰ τῆς || πλάνης σεβάσματα·
τῷ γὰρ θείῳ πόθῳ
τρωθεὶς τὴν διάνοιαν,
εὐσεβείας ἔκδικος
θερμὸς πεφανέρωσαι·
ὅθεν ἑκουσίως
σεαυτὸν τοῖς ἀνόμοις
προέδωκας, ἔνδοξε,
καὶ νομίμως ἐνήθλησας
καὶ στεφάνων τετύχηκας·
πρέσβευε Χριστῷ τῷ θεῷ
τῶν πταισμάτων ⟨ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου⟩.

---

4 ὡς ἑαυτὸν cd. 10 μαστιζόμενος cd.
heirm. tertii καθ. MR I, 68 2 ὁσίαν cd. 15-17 sermonem detruncat cd.

9-10 secundi καθ.: cfr. notas ad vv. 57-62 canonis.

---

1 tertii καθ. Cfr. Dan. 14,1-22 2 Cfr. Hos. 10,1-8

ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Ἀντεχόμενος σοφώτατα ἐπ' ἐλπίδι
τῶν ἐντολῶν τοῦ κτίστου σου,
ἰσχὺν δεδειγμένος
ὕψοθεν, συνέτριψας
τὰ ἄσεμνα εἴδωλα,
Αἰμιλιανὲ εὐσθενέστατε.

Νάουσαν τοῦ πνεύματος ἔχων, μάρτυς,
ἐν τῇ στερρᾷ καρδίᾳ σου
τὴν χάριν, ἀτρέπτως
ἔστης ἐπὶ βήματος,
ἀδίκως τὸν μέλλοντα
ἀντὶ σοῦ θανεῖν ἐξαιρούμενος.

Ὄλβιος ὑπάρχων πρὸς τὰς αἰκίσεις
ὁλοσχερῶς ἐξέδωκας
σαυτὸν μέχρι πότμον,
ἅγιε, καὶ εἴληφας
τὰ γέρα ἀντάξια,
Αἰμιλιανὲ παμμακάριστε.

Στίγμασι τὰ στέρνα σου διαρρήξας,
ὁ σοβαρὸς ἡττώμενος

---

heirm. δ' EE 94, n. 133, Joannis 54 ὕψωθεν cd. pro ὑψόθεν: cfr. p. 163 v. 171, p. 340 v. 107 63 αἰκίσεις in lexicis deest

---

57-62 AA.SS. Iulii IV (1725), 374,5: Τότε ἐξελθόντες οἱ ὑπηρέται εὗρόν τινα γεωργόν, ἐρχόμενον ἐκ τοῦ ὄρους, ὅντινα συλλαβόντες ἔδειραν, καὶ εἰς τὸ πραιτώριον τοῦ Καπετουλίνου παρέστησαν, ὅντινα θεασάμενος ὁ μακάριος Αἰμηλιανός, εἶπεν ἐν ἑαυτῷ· Ἐὰν κρύψω τὸ γεγονός, γενήσεται ἡ σωτηρία μου ναυάγιον· ἐπειδὴ ἤγγικεν ὁ καλέσας με διὰ θανάτου εἰς τὴν ἀθάνατον αὐτοῦ βασιλείαν· καὶ ταῦτα διαλογισάμενος, προσήνεγκεν ἑαυτὸν εἰς τὸ μέσον, καὶ κρατήσας τὰ φράγελλα τῶν ὑπηρετῶν, ἤρξατο λέγειν· φείσασθε αὐτοῦ, αἰτοῦμαι, φείσασθε, ὅτι οὗτος οὐδὲν ἥμαρτεν, ἀλλ' ἐγώ εἰμι, ὡς λέγετε, πράξας...

69-74 *Ibid.*, 375,8: Καπετουλῖνος πραίφεκτος εἶπεν τοῖς ὑπηρέταις· Ἁρπάσαντες αὐτόν, ἰσχυρὰς πληγὰς ἐπίθετε ... ἐν τῷ οὖν ἰσχυροτέρως τύπτεσθαι αὐτόν, λέγει πρὸς αὐτὸν ὁ πραίφεκτος· Εἰπὲ σύ, ἄτυχε, τίς σὲ ἐπλάνησεν τοῦτο ἐπιτη-

f. 63v ‖ αἰκίζεσθαι τάττει
ἐν τοῖς μεταφρένοις σε·
διὸ κεκαρτέρηκας,
μάρτυς, ὥσπερ ἄκμων ἀνήλατος.

τριαδ. Ὁ μόνος ἐκ μόνου θεός, θεέ μου,
μονογενοῦς υἱοῦ πατήρ,
συνάναρχε λόγε,
καὶ πνεῦμα τὸ σύνθρονον,
σοὶ πρέπει, τρισάγιε,
δόξα καὶ τιμὴ καὶ προσκύνησις.

θεοτ. Ὅπλα σε καὶ τεῖχος καὶ σωτηρίαν
χριστιανοὶ κεκτήμεθα,
ἁγνὴ θεοτόκε·
διὸ καὶ θαρροῦντες ἐν σοί,
ῥυσθῆναι ἐλπίζομεν
τῶν Ἀγαρηνῶν τῆς ἁλώσεως.

ᾠδὴ ε'. *Σύ, κύριέ μου, φῶς*

Δύναμιν ἐκ θεοῦ
εἰληφὼς τὴν ἀήττητον,
πᾶν νόημα ἀτοπίας
ᾐχμαλώτευσας, μάρτυς,
τυράννων καὶ θρασύτητα.

---

74 ἄγμων cd. 81 σωτηρία cd.
heirm. ε' EE 94, n. 133, Joannis

δεῦσαι; Ὁ μακαριώτατος Αἰμιλιανὸς ἔφη αὐτῷ· Εἶπόν σοι, ὅτι οὐδείς, εἰ μὴ ὁ θεὸς καὶ ἡ ψυχή μου, ἐποίησέν με, ἵνα τὰ ἀκάθαρτα εἴδωλα συντρίψω καὶ τὰς βδελυκτὰς ὑμῶν θυσίας καταπατήσας ἀποῤῥίψω. Καπετουλῖνος πραίφεκτος εἶπεν· Βλέπετε, ὑπερηφάνως ἡμῖν λαλεῖ· μεταστρέψαντες αὐτόν, εἰς τὸ στῆθος δείρατε, ἵνα γνῶ, ὅτι πάντες οἱ τοῖς νόμοις τῶν αὐτοκρατόρων ἀνυπήκοοι τοιούτοις κολαστηρίοις ὑπόκεινται.

Ὡς θεῖον θησαυρὸν
ἐκ καρδίας ἠγάπησας,
νῦν εὕρηκας ἐν ὑψίστοις,
ἀθλοφόρε, βραβεύοντα
ἀφθαρτόπλουτα γέρα σοι.

Ξένα καὶ θαυμαστὰ
ἐνεργεῖ τὰ τεράστια
ὁ κύριος, ἀθλοφόρε,
διὰ σοῦ τοῖς αἰτοῦσιν
ἐν γῇ καὶ ἐν θαλάσσῃ ἀεί.

τριαδ. Υἱὸς σὺν τῷ πατρὶ
καὶ τῷ πνεύματι μέλπεται·
εἷς κύριος παντοκράτωρ
f. 64 || ἐν τρισὶν ὑποστάσεσιν,
μιᾷ δὲ τῇ θεότητι.

θεοτ. Ὕψοθεν σαῖς εὐχαῖς
δωρηθῆναι ἱκέτευε
νῦν δύναμιν τῷ λαῷ σου
κατ' ἐχθρῶν καὶ κραταίωμα,
παρθένε θεονύμφευτε.

ᾠδὴ ϛ'. *Θύσω σοι*
μετὰ φωνῆς αἰνέσεως, κύριε,

Αἵμασιν
ἀθλητικοῖς ὠνήσω ἐν πνεύματι
τὸν πολυτίμητον, μάρτυς,
μαργαρίτην, οὗπερ τῆς εὐπρεπείας
καὶ τοῦ κάλλους
ἐπαπολαύων, δόξῃ λαμπρύνεσαι.

95 βραβεύων cd. 107 Ὕψωθεν cd.: cfr. v. 54 app. crit. heirm. ϛ' EE 94, n. 133, Joannis 117 λαμπρύνεται cd., λαμπρύνεσαι pro λαμπρύνῃ metri causa scripsi: cfr. PSALTES, 209; MITSAKIS, 61

92-96 Cfr. Matth. 6,20-21; Luc. 12,33-34 114-115 Matth. 13,45

Ζάλης με
βιοτικῆς λιταῖς σου διάσωσον,
ὁ θαλαττίας ἐκ ζάλης
καὶ βιαίας αὔρας σῴζων ἀνθρώπους·
τὴν γὰρ χάριν
ἐν ἀμφοτέροις, μάρτυς, κεκλήρωσαι.

Ἔχοντες
ὡς ἀσφαλῆ κρηπῖδα καὶ καύχημα
σοῦ τὴν βοήθειαν, μάρτυς,
ἐξ ἐχθρῶν λυτρούμεθα πολεμίων
οἱ τελοῦντες
ἀθλοπρεπῶς τὴν θείαν σου κοίμησιν.

τριαδ. Ἄναρχε
πάτερ, υἱὲ καὶ λόγε συνάναρχε,
ἐκπορευτὸν θεῖον πνεῦμα,
σὲ αἰνεῖ καὶ φρίττει πᾶσα ἡ κτίσις,
παναγία
τριάς, μονὰς ἀεί, ὁ θεὸς ἡμῶν.

θεοτ. Ἄνελε
ταῖς μητρικαῖς, παρθένε, πρεσβείαις σου
τὸν πολεμοῦντα φονώδη
Ἰσμαὴλ τὴν πόλιν καὶ τὸν λαόν σου,
θεοτόκε,
ἐν εὐφροσύνῃ ὅπως σε μέλπωμεν.

f. 64v || Κοντάκιον.

Ἦχος β'. *Τὰ ἄνω ζητῶν*

Ἀγάπῃ Χριστοῦ
τὴν πλάνην ἀπωσάμενος
....

κοντ. ed. in EEBS 28 (1958), 312

Ὁ οἶκος. *Τράνωσόν μου*
τὴν γλῶτταν, σωτήρ μου,

Τῷ μυστικῷ
κρατῆρι τὰ χείλη,
ἀθλοφόρε, προσψαύσας,
ποταμοὺς διειδεῖς
θεοῦ σοφίας ἐξήντλησας,
ἔνθεν τὴν πλάνην τῆς ἀσεβείας
κατακλύσας, ἀρδεύεις τὴν ἐκκλησίαν,
ἧς εὐσεβῶς
νῦν τὰ τέκνα πανήγυριν ἄγουσι
τὴν μνήμην τῶν σῶν ἀγώνων,
οὓς ὑμνεῖν ἐπαξίως με ἴθυνεν,
ἐκεῖθεν νέμων τὴν χάριν μοι,
ἔνθα φθάσας εὐφραίνεις, ἀοίδιμε,
πρεσβεύων ἀπ⟨αύστως τὸν θεὸν ἡμῶν⟩.

ᾠδὴ ζ΄. *Ἐν τῇ καμίνῳ*

Τῇ φλογοφόρῳ
⟨πυρᾷ⟩ σοῦ ἐκβληθέντος, πυρκαϊὰ
φλέγει
ὑπηρέτας αὖθις τοὺς δυσσεβεῖς·

ἀσινὴς γὰρ ἀνεκραύγαζες·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

Ἀγαλλόμενος
ἐν ταῖς χερσὶ τοῦ κτίστου σου τὴν ψυχήν,
μάρτυς,
εὐσεβῶς παρέθου καὶ σὺν αὐτῷ
βασιλεύων, μέλπεις ἄληκτα·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

Ἰατῆρά σε
τῶν ἀσθενούντων, μάρτυς, καὶ σκεπαστὴν
ξένων
καὶ γυμνῶν, χηρῶν τε καὶ ὀρφανῶν
καὶ πλεόντων κυβερνήτην σε
ὁ ἀθλοθέτης σου
καὶ θαυμαστὸς θεὸς ἀναδείκνυσιν.

f. 65 ‖ Ὁ ἱεράρχης
ἀνευφημείσθω ὕμνοις Ἄνθιμος,
Φαῦστος,
Εὐτυχής, Καρτέριος οἱ σοφοί,
Εὐτροπία καὶ Βασίλισσα
καὶ Ἰωάννης τε
σὺν Θεοκτίστῳ ἅμα καὶ Αἰμιλιανῷ.

τριαδ. Σοὶ τῇ τριάδι,
ὡς παντουργῷ μονάδι θεοπρεπῶς,
ὥσπερ
σεραφὶμ κραυγάζει καὶ χερουβίμ,

---

heirm. οἴκ. MR V, 396 v. 14 interrumpit cd.
heirm. ζ΄ EE 94, n. 133, Joannis 143 πυρᾷ metri causa add. πυρκαϊᾶν cd.

vv. 147-148, 154-155 post εὐλογημένος interrumpit cd.

142-152 *Ibid.*, 375,10: Τότε οὖν οἱ ὑπηρέται κρατήσαντες τὸν μακάριον ἀθλητὴν τοῦ Χριστοῦ Αἰμιλιανόν, ἔξω τῆς πόλεως ἐξήγαγον ἐγγὺς τοῦ χείλους τοῦ Δανουβίου ποταμοῦ, ὅπου ἦσαν ἑτοιμάσαντες τὴν πυρκαιάν, ὅστις αὐτοῦ διὰ τῆς καρτερίας στέφανος γέγονεν. Τότε ὁ ἰσχυρότατος ἀθλητὴς τοῦ Χριστοῦ Αἰμιλιανὸς τοῖς ὑπηρέταις εἶπεν· Ὑποστέξατέ μοι βραχύ, ἕως ἂν ἱκετεύσω τὸν θεόν μου. Καὶ εὐξαμένου, καὶ πληρώσαντος τὴν εὐχήν, συλλαβόντες αὐτὸν οἱ ὑπηρέται, ἐνέβαλον εἰς τὸ πῦρ, νομίζοντες αὐτὸν παραχρῆμα γενέσθαι τέφραν. Τὸ δὲ πῦρ γνωρίσαν τὸν τοῦ Χριστοῦ μάρτυρα, οὐ κατέφλεξεν αὐτόν, ἀλλὰ σῶον καὶ ἀκήρεον διεφύλαξεν. Τοὺς δὲ ὑπηρέτας τοῦ Καπετουλίνου, τοὺς πλησίον, περιῆρεν ἡ φλόξ, καὶ κατέκαυσεν· ἰδὼν δὲ ὁ δεδοξασμένος μάρτυς Αἰμηλιανός, ὅτι τὸ πῦρ οὐχ ἥψατο αὐτόν, ἀλλὰ σῶος διέμεινεν, ὁ Ἅγιος ἐδόξασεν τὸν θεόν, καὶ στραφεὶς κατὰ ἀνατολάς, κατεσφράγισεν αὐτόν, καὶ ἀτενίσας εἰς τὸν οὐρανόν, εἶπεν· Κύριε Ἰησοῦ Χριστέ, δέξαι τὸ πνεῦμά μου · καὶ τοῦτο εἰπών, ἐκοιμήθη ἐν εἰρήνῃ.

1-5 οἴκ.: cfr. Prov. 9,5

προσκυνοῦντες ἀναμέλπομεν·
« εὐλογημένος εἶ
ἐν τῷ ναῷ τῆς δόξης σου, κύριε ».

θεοτ. Σὲ δυσωποῦμεν,
τὴν τοῦ ὑψίστου λόγου θείαν σκηνήν,
ἵνα
λυτρωθῶμεν πάσης ἐπιβουλῆς
ἀλλοφύλων οἱ κραυγάζοντες·
« εὐλογημένη σὺ
ἐν γυναιξὶν ὑπάρχεις, πανάμωμε ».

ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Μύρα ἰαμάτων ζωηρὰ
δεῦτε ἀρύσασθε
οἱ ἀσθενεῖς δαψιλῶς·
ὡς προχεόμενα χάριτι
ἐκ τῆς λάρνακος τοῦ μάρτυρος,
μυροδοτεῖ γὰρ μυστικῶς
τοὺς ἀναμέλποντας·
« εὐλογεῖτε,
πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

Ἄνθος ὡς ἡδύπνοον τερπνὸν
πυκάζον ἅπασι
τοῖς ὀδωδότοις, σοφέ,
καὶ δι' ἀθλήσεως πέφηνας·
ἐκ σοῦ πίστει ὀσφραινόμενοι,
τῷ σε δοξάσαντι θεῷ
γήθοντες ψάλλομεν·
« εὐλογεῖτε,
πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

175-176 post εὐλ. cetera om. cd. vv. 191-192, 200-201, 209-210, 218-219, 227-228 post εὐλ. cetera om. cd. 195 ὀδωδότοις: in lexicis non refertur, cfr. v. 189 μυροδοτεῖ

heirm. η' EE 94, n. 133, Joannis

178 Cfr. Ex. 25,9.40

f. 65v ‖ Ῥῦσαι ἀπὸ πάσης ἀπειλῆς,
κινδύνων, θλίψεως,
ἀνάγκης τε καὶ ὀργῆς
τοὺς ἐκτελοῦντάς σου, ἅγιε,
τῆς ἀθλήσεως τὴν μνήμην πιστῶς,
καὶ καταξίωσον βοᾶν
ἐν παρρησίᾳ Χριστῷ·
« εὐλογεῖτε,
πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

τριαδ. Μίαν ἐκ μιᾶς τρισσοφαοῦς
αἴγλης θεότητος
ὑμνῶ καὶ σέβομαι·
εἰς ἓν μὲν μένουσα σύνθρονον,
τριάδος δὲ ἀπαστράπτουσα,
αὕτη τριὰς γὰρ καὶ μονὰς
ἔστιν ἣ ψάλλομεν·
« εὐλογεῖτε,
πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

θεοτ. Μέλλοντες δικαίως ἐν χερσὶν
ἐμπίπτειν τοῦ Ἰσμαήλ,
ἁγνὴ θεόνυμφε,
νῦν οἱ ἐφάμαρτοι κράζομεν·
« ἐκ βαθέων σὺ εἰσάκουσον
τῆς τῶν πενήτων σου κραυγῆς
καὶ ῥῦσαι ψάλλοντας·
εὐλογεῖτε,
πάντα τὰ ἔργα κυρίου, τὸν κύριον ».

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Τάχιστος ὑπήκοος πέλων
τοῖς σε αἰτοῦσιν ἀδιστάκτως,
f. 66 ‖ πάντων τὰς αἰτήσεις ἐκπληροῖς,
προφθάνων, μάρτυς, καὶ διασώζων αὐτοὺς

heirm. θ' EE 94, n. 133, Joannis

224-225 Cfr. Ps. 129,1-2

ἀνεξαιρέτως, ἅγιε,
τοὺς ἐν θαλάσσῃ κινδυνεύοντας.

Ὕψωσον πρὸς κύριον, μάρτυς,
ἐν παρρησίᾳ τὴν φωνήν σου,
λύτρωσιν δοθῆναί μοι παθῶν
τῷ ὑμνῳδῷ σου, ζωὴν τοῖς ψάλλουσιν,
τοῖς ἐκτελοῦσιν ἴασιν
τὴν παγκλεῆ σου μνήμην, πάνσοφε.

Σῶσον τὸν λαόν σου, οἰκτίρμων,
ἰσχὺν τῷ ἄνακτι παρέχων
Αἰμιλιανοῦ ταῖς προσευχαῖς·
τῆς ἐκκλησίας παῦσον τὸν κλύδωνα,
εἰρήνην παρεχόμενος
τῇ οἰκουμένῃ ὡς φιλάνθρωπος.

τριαδ. Ἄλλον οὐ γινώσκομεν πλήν σου
Χριστόν, θεὸν καὶ βασιλέα,
πάτερ παντοκράτορ καὶ υἱὲ
καὶ πνεῦμα θεῖον, τριὰς ἀμέριστε·
εἰς σὲ γὰρ βεβαπτίσμεθα
καὶ σὲ ὑμνοῦντες μεγαλύνομεν.

θεοτ. Ἄλλην οὐ κεκτήμεθα σκέπην
μετὰ θεὸν οἱ ὑμνῳδοί σου,
εἰ μὴ σέ, πανάμωμε ἁγνή,
τοὺς πολεμίους ὅθεν τροπούμεθα·
εἰς σὲ γὰρ ἀνατίθεμεν
καὶ τὰς ἐλπίδας, παμμακάριστε.

238 τῷ] τοῦ cd.

19 IUL. *CANON* XXVII

IN SANCTUM DIUM ABBATEM ET THAUMATURGUM

Synaxarium 829-830: ..... μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Δ ί ο υ. Οὗτος ἦν κατὰ τοὺς καιροὺς Θεοδοσίου τοῦ μεγάλου ἐν Ἀντιοχείᾳ τῆς Συρίας, πολλὴν ἐπιδειξάμενος ἄσκησιν καὶ εἰς μεγίστην ἐπίδοσιν ἀρετῆς προελθών. Παρεγένετο δὲ ἐν Κωνσταντινουπόλει προτραπεὶς παρὰ τοῦ Θεοῦ δι' ἀποκαλύψεως· καὶ καταλαβὼν τὸν τόπον, ἔνθα νῦν τὸ εὐαγὲς αὐτοῦ ἵδρυται μοναστήριον, ἐξεκάθαρέ τε αὐτόν, καὶ τὴν ἑαυτοῦ ῥάβδον, ξηρὰν οὖσαν καὶ ἄνικμον, ἐπὶ τοῦ τόπου κατέπηξεν· ἥτις τῇ ἐπικλήσει τῆς ἁγίας Τριάδος ῥιζωθεῖσα εἰς δένδρον ἐγένετο καὶ νῦν περίεστι, παρεχομένη τοὺς καρποὺς τελεσφόρους. Προσῆλθε δὲ αὐτῷ καὶ ὁ βασιλεὺς Θεοδόσιος, — οὐ γὰρ ἦν καθόλου λαθεῖν τὴν κρυπτομένην τοῦ ἀνδρὸς ἀρετήν, — καὶ θαυμάσας αὐτὸν ἱκανὰ παρέσχετο χρήματα, ἐξ ὧν ἡ σύστασις τοῦ μοναστηρίου ἐγένετο. Ἀλλὰ καὶ ὁ μακαριώτατος πατριάρχης Ἀττικὸς βιασάμενος αὐτὸν πρεσβύτερον κεχειροτόνηκε· πολλὰ δὲ θαύματα τῇ δυνάμει καὶ ἐπικλήσει τοῦ Χριστοῦ ἐνεργήσας καὶ ἐκ τῶν λαγόνων τῆς γῆς κατὰ τὸν μέγαν Μωϋσῆν ὕδωρ ἐξαγαγὼν καὶ τὸν ἐν αὐτῷ δι' ἀπιστίαν ἀποπνιγέντα ἀναστήσας, ἐπεὶ τελευτᾶν ἔμελλεν, ἤδη ἄπνους καὶ ἀκίνητος καθορώμενος καὶ τῶν παρόντων δάκρυσιν αὐτὸν ἐπιταφίοις δεξιουμένων καὶ τὰ περὶ τὴν ταφὴν ἐνεργούντων, — ἐν οἷς ἦν καὶ ὁ ἁγιώτατος πατριάρχης Ἀττικὸς καὶ Ἀλέξανδρος Ἀντιοχείας — ἀνανήψας ὡς ἐξ ὕπνου ὁ ὅσιος εἶπε προστεθῆναι παρὰ τοῦ Θεοῦ ἔτη δεκάπεντε τῇ αὐτοῦ ζωῇ. Ἐπιβιώσας οὖν τὸν εἰρημένον τῶν χρόνων ἀριθμόν, πρὸς Κύριον ἐξεδήμησεν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ εὐαγεστάτῃ μονῇ αὐτοῦ, τῇ οὔσῃ κατὰ τὴν μεγάλην πόλιν καὶ βασιλίδα.

Crypt. Δ.α. XI	= Co, ff. 73-74v
Sinait. gr. 625	= Σν, ff. 83v-86
Mess. gr. 140	= O, ff. 58-59v
Matrit. gr. 4694	= A, ff. 114v-115v
Bodl. gr. Auct. E 5.2	= Oa, ff. 59-60

Ὁ κανών, ⟨Γερμανοῦ⟩.

Ἦχος πλ. δʹ.

ᾠδὴ αʹ. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Τὸν ἀσκητὴν τὸν τῆς εὐσεβείας,
τρόποις ἐνθέοις ἀληθῶς
φερωνύμως ἔνδοξον τῷ βίῳ δεικνύμενον,
ὕμνοις πνευματικοῖς
ἀνευφημοῦμεν, Χριστὸν δοξολογοῦντες.

Τῶν ἀρετῶν σου τὸν χαρακτῆρα
ἀπαραποίητον ἡμῖν
ἔδειξε σαφῶς ἡ πολιτεία σου, ὅσιε,
ἐκ ταύτης πνευματικῶς
τὸ κατ' εἰκόνα θεοῦ ἀπομιμεῖσθαι.

Ὡς τετρωμένος τῷ θείῳ πόθῳ,
θεράπον ἔνδοξε Χριστοῦ,
ἡδοναῖς σαρκὸς ἐθανατώθης καὶ πάθεσιν,
ζῶντα ἐν ἑαυτῷ
ἔχων τὸν νόμον τοῦ πνεύματος τῇ πίστει.

---

tit. Εἰς τὸν ὄρθρον κανὼν τοῦ ὁσίου Δίου Co   nomen Γερμανοῦ tradit unus Σν in rubrica

heirm. αʹ EE 229, n. 328, Germani, integer refertur in O A   1 τὸν (II l.) om. Σν O A Oa   3 τὸν βίον κτησάμενον Oa   v. 5 ἀνευφημήσωμεν εἰς τοὺς αἰῶνας Oa   6 σου om. Σν O A Oa   v. 7 ἀπαραλλάκτως νῦν ἡμῖν Oa   8 πολιτείας Σν   ὅσιε] ἔνδοξε O A   v. 10 ἀνευφημοῦμεν χριστὸν δοξολογοῦντες Σν (cfr. v. 5)   ἀπομιμεῖσθαι] μιμεῖσθαι πάτερ Oa   11-15 pro hoc tropario substituit Oa sequens:

Ἐν προσευχαῖς ἀδιαλείπτως
προσκαρτερῶν, ὁ τοῦ θεοῦ
ἔνδοξος θεράπων κατεπάτησεν ὄντως ἐχθρῶν
μανίαν καὶ προσβολὴν
καὶ ἐκομίσατο στέφος ἀφθαρσίας.

13 ἐθανατώθης] ἐταπεινώθεις Co   15 τῇ] ἐν O A

---

13 Rom. 8,13

θεοτ.   Ἡ συλλαβοῦσα τὸν πρὸ αἰώνων
ἄναρχον λόγον τοῦ πατρὸς
f. 73v   ‖ καὶ σαρκὶ τεκοῦσα ὑπὲρ λόγον, πανύμνητε,
ἱκέτευε ἐκτενῶς
τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ τῶν κινδύνων.

ᾠδὴ βʹ. *Πρόσεχε,*
οὐρανέ, καὶ λαλήσω
καὶ ἀνυμνήσω Χριστὸν
τὸν σωτῆρα τοῦ κόσμου
καὶ μόνον φιλάνθρωπον.

Ὁ βίος σου
ὑποτύπωσις θείων
κατορθωμάτων ἡμῖν
γεγονώς, σεβασμίαν
τὴν μνήμην σου ἀπειργάσατο.

Ὡς ὄνειρον
τῆς σαρκὸς τὴν ἀπάτην
πᾶσαν τιθέμενος,
προαπέβλεπες, πάτερ,
τὴν πόλιν τῆς βασιλείας Χριστοῦ.

Ἀνέλαβες
γνωστικῶς, θεοφόρε,
τὸν τοῦ σωτῆρος σταυρὸν

16-20 pro hoc θεοτ. substituit Oa:

θεοτ.   Τὴν ἀκατάφλεκτον ἐν Σιναίῳ
βάτον ἑώρα Μωϋσῆς (Ex. 3,2)
καὶ τὴν σὴν γαστέρα προετύπου (προετύποι Oa), παρθένε ἁγνή·
ἐκύησας γὰρ τὸ πῦρ
τὸ τῆς θεότητος ἀκαταφλέκτως.

18 ὑπὲρ λόγον] θεοτόκε O A   πανύμνητε] καὶ ἔννοιαν Σν

odem βʹ om. O A Oa

heirm. βʹ EE 226, n. 324, Germani   vv. 1-2 heirm. inveniuntur in Σν, vv. 1-4 in Co

τῆς ψυχῆς σου ἐπ' ὤμων,
τῇ πίστει ἀκολουθήσας αὐτῷ.

Οὐράνιον
ἐπὶ γῆς πολιτείαν
ἐκτήσω, δοῦλε Χριστοῦ,
τὴν ἀγγέλων ζηλώσας
ἐν σώματι ἀσαρκίαν σαφῶς.

θεοτ. * Ἄχραντε
θεοτόκε παρθένε,
μόνη πανύμνητε,
τὸν υἱόν σου δυσώπει
σωθῆναι τοὺς ἀνυμνοῦντάς σε.

ᾠδὴ γ'. *Στερέωσον ἡμῶν*
τὸν νοῦν καὶ τὴν καρδίαν,
ὁ τοὺς οὐρανοὺς
τῷ λόγῳ στερεώσας,
εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε τὸν σωτῆρα
καὶ λυτρωτὴν καὶ πανοικτίρμονα.

Ὄρει προσιὼν
ἐνθέου πολιτείας,
ἔλυσας σαυτὸν
τῶν βάσεων τοῦ βίου,
τὰ ὑποδείγματα πάντα τῆς ἀλογίας,
τῶν παθημάτων τὴν οἰκείωσιν.

---

39 τὴν τῶν ἀγγέλων Σν 41-45 θεοτ. ed. in Anth. I, υξζ' et alibi: cfr. IHG I, 214

heirm. γ' EE 229, n. 328, Germani (idem heirm. in EE 224, n. 321, Joannis), integrum legimus in Co, eiusdem unum vel duo vv. referunt Σν O A Oa heirm. 2 τὰς καρδίας EE O A 6 καὶ πανοικτίρμονα] τῶν ψυχῶν ἡμῶν Co 48 σαυτὸν] αὐτοῦ Σν, αὐτὸν OA 49 βάσεων] θλίψεων Co 50 τὰ ὑποδήματα Co 51 τὴν οἰκείωσιν] παμμακάριστε Oa

---

46 Cfr. Ex. 19,16-25

Μέγαν παιδευτὴν
ζωῆς τῆς ἐναρέτου
ὑπὸ τοῦ Χριστοῦ
ἡμῖν ἀποσταλέντα
ἐν τῇ ἐνδόξῳ σου μνήμῃ, πάτερ θεόφρον,
πνευματικῶς ἀνευφημοῦμέν σε.

θεοτ. * Χαίροις παρ' ἡμῶν,
ἁγία θεοτόκε·
χαῖρε, ἡ χαρὰν
κυήσασα τῷ κόσμῳ·
χαῖρε, ἡ μόνη ἀντίληψις τῶν ἀνθρώπων,
εὐλογημένη θεοτόκε ἁγνή.

ᾠδὴ δ'. *Εἰσακήκοα*
τὴν ἀκοήν σου καὶ ἐφοβήθην,
κατενόησα τὰ ἔργα σου
καὶ ἐξέστην, κύριε.

Ἑωσφόρον σε
τῆς εὐσεβείας ἔγνωμεν, πάτερ,
τὴν ἡμέραν ὑποφαίνοντα
τῆς σωτηρίας ἐν πνεύματι.

---

53 ἐναρέτου] ἀκηράτου Oa 57 πνευματικῶς ἀνευφημίσωμεν Oa post v. 57 add. Σν Oa aliud troparium:

Πόλιν τοῦ θεοῦ
ποιήσας τὴν ψυχήν σου (τὴν καρδίαν Oa),
πόλιν κοσμικὴν
ἀνθρώπων ἐξουσίας
τῇ παρουσίᾳ σου ἔδειξας φαιδροτέραν,
θεῖον πολίτευμα ῥιζώσας αὐτῇ (ζηλώσας αὐτὴν Oa).

58-63 θεοτ ed. in MR III, 351 et alibi: cfr. IHG V. 1,77 vv. 62-63 χαῖρε ἡ μόνη τὸν ἥλιον τοῖς ἐν σκότει / τὸν νοητὸν ἡμῖν ἐκλάμψασα Σν, χαῖρε ἡ μόνη ἀντίληψις θεοτόκε / καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν O A

post odem γ' legimus in A Oa κάθ. quod post odem ς' referimus

heirm. δ', ineditus secundum ἦχ. πλ. δ', cfr. IHG I, 375, integer legitur in Co O, usque ad ἀκοήν σου (v. 2) in Σν A heirm. 1 Εἰσακήκοα κύριε Σν textum heirm. differt in Oa: Εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην / κατενόησα τὴν οἰκονομίαν σου κύριε / καὶ ἐδόξασά σου τὴν δύναμιν 64 Φωτοφόρον σε O 66 ἀποφαίνοντα Oa

Τὸ πολίτευμα
ἐν οὐρανοῖς, θεόσοφε, ἔχων,
τῶν γηΐνων κατεφρόνησας,
ὡς τῆς γῆς παρεπίδημος.

f. 74 ‖ Προορώμενος
μονάς, θεόφρον, τὰς οὐρανίους,
τὴν μονήν σου κατεσκεύασας
τῶν ἀρετῶν φροντιστήριον.

Δόξα γέγονας
τῶν μοναζόντων, ὅσιε πάτερ,
ὡς τὸ ἄσαρκον ἐν σώματι
ἀγγελικῶς μιμησάμενος.

θεοτ. * Μήτηρ ἄχραντε,
εὐλογημένη ἁγνὴ παρθένε,
τοὺς ὑμνοῦντάς σε περίσωζε
ἀπὸ πάσης περιστάσεως.

ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας θεογνωσίᾳ φαιδρύνας τὰ πέρατα*

Ὡς Ἀαρὼν ὁ πάλαι,
ξενοπρεπῶς τῷ τῆς ῥάβδου βλαστήματι
ὤφθης, ὅσιε πάτερ,
ἐκλεκτὸν θεοῦ ἱεράτευμα.

68-71 troparium om. Oa 74 μόνην Σν post v. 75 add. Oa troparium:

Οἱ τὴν μνήμην σου
ἀγαλλόμενοι θεοφρόνως
καὶ τῆς ἀμώμου σου συμμέτοχοι
εὐφροσύνης γενόμεθα.

76-79 troparium om. O A 78 τὸ] τὸν Σν σώματι] πνεύματι Σν 80-83 θεοτ. ed. in MR II, 602 et MR V, 11 secundum ἦχ. γ', in MR III, 87 secundum ἦχ. βαρ.: cfr. IHG II, 423 80 Μῆτερ O A v. 82 τοὺς οἰκέτας σου περίσωζε Oa 83 περιστάσεως] ἀνάγκης Oa

heirm. ε' EE 226, n. 323, Germani heirm. 1 ἀνοίας Σν 2 θεογνωσίας Co O A

---

73 Cfr. Joh. 14,2 84-87 Num. 17,23

Τῇ γνωστικῇ δικέλλῃ
τῶν θεολήπτων σου τρόπων, ἀοίδιμε,
πολιτείας ἐνθέου
ὕδωρ ζῶν ἡμῖν ἀνεστόμωσας.

Τῶν μοναζόντων, πάτερ,
δι' ἀρετῆς ἐγκαλλώπισμα γέγονας,
ὅθεν ὕμνοις τιμῶμεν
τὴν ἁγίαν μνήμην σου, ὅσιε.

θεοτ. * Ὡς βασιλίδα, πάντες,
καὶ βασιλέα τῶν ὅλων κυήσασαν,
δεῦτε σὺν τῷ ἀγγέλῳ
τὴν εὐλογημένην τιμήσωμεν.

ᾠδὴ ς'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Οὐ χρήμασιν, θεόφρον, αἰσθητοῖς,
θείοις δὲ χαρίσμασι
ζωῆς ᾠκοδόμησας
θεαρέστου ἐν ἡμῖν κατασκήνωσιν.

---

pro vv. 88-99 haec troparia et θεοτ. tradit Oa:

Ὡς μαθητὴς κυρίου
καὶ παρ' αὐτοῦ εἰληφὼς τὰ χαρίσματα,
ἱκέτευε, μακάριε,
πάντων νοσημάτων ῥυσθῆναι ἡμᾶς.

Θαυματουργὸν καὶ μύστην
τῇ θεϊκῇ δυναστείᾳ τοῦ πνεύματος
ἔδειξας, σωτὴρ ἡμῶν,
[Δίον τὸν θεσπέσιον] (v. abundat)
αὐτουργὸν γενέσθαι τῆς χάριτος.

θεοτ. Τῶν χερουβὶμ φανεῖσα
τιμιωτέρα, παρθένε πανύμνητε,
πρέσβευε τῷ υἱῷ σου
σῶσαι τὰς ψυχὰς τῶν ὑμνούντων σε.

92-95 troparium om. O A 94 ὅθεν ὕμνοις] διὸ ὑμνοῦντες Σν 95 ἁγίαν] μακαρίαν Σν 96-99 θεοτ. ed. in MR I, 31 97 καὶ] τὸν O A κυήσασαν] κυήσασα O, ὑμνήσωμεν A 98 δεῦτε usque ad ἀγγέλῳ] πρέσβευε τῷ υἱῷ σου O A 99 τὴν... τιμήσωμεν] σῶσαι τοὺς ὑμνοῦντας σε ἄχραντε O, σῶσαι τὰς ψυχὰς ἡμῶν A τιμήσωμεν] ὑμνήσωμεν Σν

heirm. ς' EE 224, n. 321, Joannis 101 θείου δὲ χαρίσματος Oa

Ἐκάθηρας δαιμόνων πονηρῶν
τὸν τόπον σου, ὅσιε,
προτέρως τὸν βίον σου
ἀπαλλάξας τῆς ἐκείνων ἐνοχλήσεως.

Εἰρήνευσον τὸν κόσμον, ἀγαθέ,
καὶ σῶσον οὓς ἔπλασας
πρεσβείαις, δεόμεθα,
τοῦ ἐνδόξου σου Δίου, ὡς φιλάνθρωπος.

θεοτ. * Ἡ μόνη διὰ λόγου ἐν σαρκὶ
τὸν λόγον κυήσασα,
ῥῦσαι, δεόμεθα,
τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν.

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ λόγου ἐν σῇ γαστρὶ*

Τῷ θεῷ ἀπὸ βρέφους ἀνατεθεὶς
καὶ αὐτῷ μέχρι τέλους εὐαρεστῶν,
f. 74v ....

---

104 littera initialis Ἐ deest in A Ἐκκαθάρας Oa 105 τὰς φάλαγγας ὅσιε O inter vv. 105 et 106 add. Oa προτέρως τὸν βίον σου ὅσιε 107 ταῖς ... ἐνοχλήσεσιν Oa ὀχλήσεως Σν vv. 108-111 unus Co refert, om. O (qui spatium relinquit et in margine ζήτει scribit) A Oa, pro his substituit Σν troparium:

Ποιμάνας ὀρθοδόξως, ἱερέ,
τὸ ποίμνιον, ὅσιε,
τὸ σόν, ἀπεδίωξας
τῶν αἱρέσεων καὶ δαιμόνων ἀθεότητα.

112-115 θεοτ. ed. in MR I, 183 et alibi: cfr. IHG II, 47
καθ., quod ante canonem O (f. 57v) et Σν (f. 82) et post odem γ' A Oa praebent, ed. MR VI, 162 Τῶ χριστῶ ἀπὸ βρέφους ... inc. Oa

ᾠδὴ ζ'. *Ὁ ἐν ἀρχῇ*
τὴν γῆν θεμελιώσας

Ἀσκητικοῖς
δάκρυσι κατασβέσας
τὴν τῶν παθῶν
κάμινον, ἀνεβόας·
« εὐλογητὸς εἶ
εἰς τοὺς αἰῶνας,
κύριε ὁ θεὸς
τῶν πατέρων ἡμῶν ».

Σὺ καὶ νεκροὺς
ἐγείρειν ἠξιώθης,
ὡς τῆς σαρκὸς
τὸ φρόνημα νεκρώσας,
Χριστῷ κραυγάζων·
« εὐλογητὸς εἶ,
κύριε ὁ θεὸς
τῶν πατέρων ἡμῶν ».

---

heirm. ζ' EE 226, n. 323, Germani 122-123 post κύριε cetera om. Σν 123 ἡμῶν om. A post v. 123 add. O A sequens troparium:

Ζῶντι Χριστῷ
σεαυτὸν (οὐσαυτῶ A), θεοφόρε,
πλῆθος αὐτῷ
προσήγαγες βοώντων·
« εὐλογητὸς εἶ
εἰς τοὺς αἰῶνας,
κύριε ὁ θεὸς
τῶν πατέρων <ἡμῶν> ».

124 Σοὶ A 125 ἐγεῖραι Oa vv. 128-129 εὐλογητὸς εἶ / εἰς τοὺς αἰῶνας A, qui vv. 130-131 om. v. 129 εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Oa 130 εἰς τοὺς αἰῶνας O, qui cetera om. v. 131 om. Σν πατέρων ἡμῶν om. Co post v. 131 add. Oa troparium:

Τοὺς σέβοντας
εὐσεβῶς σου τὴν μνήμην
ῥῦσαι ταῖς σαῖς
ἱκεσίαις κινδύνων

θεοτ. * Ὁ ἐν γαστρὶ
τῆς παρθένου οἰκήσας
καὶ ἐν αὐτῇ
τὸν Ἀδὰμ ἀναπλάσας,
εὐλογητὸς εἶ
εἰς τοὺς αἰῶνας,
κύριε ὁ θεὸς
τῶν πατέρων ἡμῶν.

ᾠδὴ η΄. *Τὸν τοῦ παντὸς δημιουργὸν*
καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν,
ἱερεῖς, εὐλογεῖτε,
λαός, ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Δῖον τὸν πᾶσιν ἐμφανῶς
φερωνύμως ὄντα ἔνδοξον
ἐπαξίως τιμῶντες,
Χριστὸν ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

βοῶντας πίστει·
« εὐλογητὸς εἶ [εἰς τοὺς αἰῶνας] (cfr. app. crit. ad. v. 129)
<κύριε ὁ θεὸς
τῶν πατέρων ἡμῶν> ».

132-139 θεοτ. ed. in MR V, 116 et alibi: cfr. IHG III, 24 vv. 137-139 om. Co A vv. 138-139 om. Oa, post κύριε cetera om. Σν

heirm. η΄ invenitur secundum ἦχ. πλ. α΄ in EE 135, n. 189, sed testatur etiam secundum ἦχ. πλ. δ΄ in AHG V, 234, 299 et AHG X, 112 app. crit. tantum primum v. heirm. praebent Σν Oa, usque ad σωτῆρα (v. 2) A, usque ad αὐτὸν (v. 5) Co, integrum in O heirm. 3 ἱερεῖς ὑνμεῖτε Co O, sed metro troparriorum melius aptatur εὐλογεῖτε: cfr. etiam v. 152 5 εἰς πάντας τοὺς αἰῶνας O 140 Δῖον] Βίον O A 141 ἔνδοξε O 142 τιμῶμεν O A, τιμῶντες σε Oa 143 ὑπερυψοῦντες O A 144 post πάντας Σν, post τοὺς A v. detruncant post v. 144 add. O A Oa troparium:

Μνήμην τελοῦντες εὐσεβῶς
τοῦ θεράποντος Χριστοῦ τοῦ θεοῦ,
ἱερεῖς, ὑμνεῖτε (ἱερεῖς εὐλογεῖτε τὸν κύριον Oa),
λαός, ὑπερυψοῦτε (καὶ ὑπ. Oa)
αὐτὸν εἰς τοὺς αἰῶνας.

Φωστῆρα λάμποντα φαιδρῶς
τὰς ἀκτῖνας τῆς ἀσκήσεως
κεκτημένοι σε, πάτερ,
Χριστὸν ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. * Τὸν ἐν τῷ πόκῳ Γεδεὼν
τὴν παρθένον προτυπώσαντα,
ἱερεῖς, εὐλογεῖτε,
λαός, ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ΄. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

Ἀρετῶν τοῖς χρώμασι τὴν ψυχήν σου μορφώσας
νοητῶς, μακάριε,
πρὸς θεοπτίας κάλλος,
ἀληθῶς τοῦ Χριστοῦ κατ᾽ εἰκόνα
ἄνθρωπος ἐδείχθης κατορθώμασιν.

---

145 φαιδρὸν Σν v. 147 κεκτημένος πάτερ O A 148 ὑπερυψοῦντες O A v. 149 om. A Oa τοὺς αἰῶνας om. Co O post v. 149 add. Σν troparium:

Τὸν ὑποδείξαντα ἡμῖν
τοῦ ὁσίου τὸν ἐνάρετον βίον
εἰς εἰκόνα καὶ τύπον
ἀσκήσεως εὐφημήσωμεν
<εἰς πάντας τοὺς αἰῶνας>.

150-154 pro hoc θεοτ., ed. AHG X, 113 app. crit., refert Oa alterum (cfr. AHG X, 113 app. crit.):

(150) Τὸν ἐπ᾽ ἐσχάτων δι᾽ ἡμᾶς
ἐκ παρθένου σαρκωθέντα θεόν,
ἱερεῖς, εὐλογεῖτε [τὸν κύριον]
καὶ ὑπερυψοῦτε
<εἰς πάντας τοὺς αἰῶνας>.

152 εὐλογεῖτε] ἀνυμνεῖτε Σν, ὑμνεῖτε O A vv. 153-154 om. A 153 λαὸς] καὶ O v. 154 om. Σν

heirm. θ΄ EE 226, n. 324, Germani, in margine in O alia manus integrum transcripsit v. 158 ἀληθῶς κατ᾽ εἰκόνα φυλάξας O A vv. 158-159 ἀληθῶς κατορθώμασι θείοις / ἀνθρώποις ἐδείχθης ἐπουράνιος Oa 158 Χριστοῦ] θεοῦ Σν

150-151 Iud. 6,37-40

Μολυσμοῦ σαρκός τε καὶ πνεύματος ἐκκαθάρας
σεαυτόν, μακάριε,
πνεύματος τοῦ ἁγίου
ἀληθῶς οἰκητήριον ὤφθης
ἐν τῇ σῇ καρδίᾳ ἐνσκηνώσαντος.

Ἔχων πρὸς θεὸν ἐκ τῶν πόνων σου παρρησίαν,
καὶ ἡμῖν συγχώρησιν
αἴτησαι τῶν πταισμάτων,
οὐρανίου ζωῆς κληρονόμους,
πάτερ, μετὰ σοῦ ἀναδειχθῆναι ἡμᾶς.

θεοτ. * Σὺ εἶ, θεοτόκε, τὰ ὅπλα ἡμῶν καὶ τεῖχος·
σὺ εἶ ἡ ἀντίληψις
τῶν εἰς σὲ προστρεχόντων·
σὲ καὶ νῦν εἰς πρεσβείαν κινοῦμεν,
ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

---

160 Μολυσμοὺς Oa 164 ἐνσκηνώσασα Oa 165 Ἔχων ἐκ τῶν πόνων σου πρὸς θεὸν παρρησίαν Oa ἐκ τῶν σῶν πόνων O A 167 τῶν πταισμάτων] τὸν δεσπότην A 170-174 θεοτ. ed. in MR II, 270 et alibi: cfr. IHG III, 561 171 ἡ om. Co O vv. 172-174 om. A

20 IUL. *CANON* XXVIII

IN SANCTUM PROPHETAM ELIAM

Synaxarium 831-832: Ἡ πυρφόρος ἀνάβασις ὡς εἰς οὐρανοὺς Ἡ λ ι ο ῦ τοῦ ἐν προφήταις μεγίστου. Οὗτος ἦν υἱὸς Σωβὰκ ἐκ Θέσβης, ἐκ γῆς Ἀράβων, ἐκ φυλῆς Ἀαρών, οἰκῶν ἐν Γαλαάδ, ὅτι ἡ Θέσβη δόμα ἦν τοῖς ἱερεῦσι δεδομένη. Καὶ ὅτε ἔτεκεν αὐτὸν ἡ μήτηρ αὐτοῦ, εἶδε Σωβὰκ ὁ πατὴρ αὐτοῦ ὀπτασίαν, ὅτι ἄνδρες λευκοφανεῖς αὐτῷ προσηγόρευον, καὶ ὅτι ἐν πυρὶ αὐτὸν ἐσπαργάνουν καὶ φλόγα πυρὸς ἐδίδουν αὐτῷ φαγεῖν. Καὶ ἐλθὼν εἰς Ἱερουσαλὴμ ἀνήγγειλε τοῖς ἱερεῦσι καὶ εἶπεν αὐτῷ ὁ χρηματισμός· « Μὴ δειλιάσῃς, ἄνθρωπε· ἔσται γὰρ ἡ οἴκησις τοῦ παιδίου φῶς· καὶ ὁ λόγος αὐτῷ ἀπόφασις, καὶ κρινεῖ τὸν Ἰσραὴλ ἐν ῥομφαίᾳ καὶ πυρί ». Οὗτος οὖν προεφήτευσεν ἔτη εἰκοσιπέντε καὶ προέλαβε τὴν ἔλευσιν τοῦ Χριστοῦ ἔτη ὀκτακόσια δεκαέξ. Οὗτός ἐστιν Ἠλίας, ὁ τὸ πῦρ ἐξ οὐρανοῦ τρίτον κατενέγκας καὶ τὸν ὑετὸν τῇ ἰδίᾳ γλώττῃ βαστάσας καὶ νεκροὺς ἐγείρας καὶ πεντήκοντα δισσοὺς καταφλέξας καὶ ἐν τῷ Χωρὴβ ὄρει, ὡς ἀνθρώπῳ ἰδεῖν δυνατόν, Θεὸν ἰδὼν καὶ τὸν Ἰορδάνην τῇ μηλωτῇ σχίσας, καὶ ὡς εἰς οὐρανὸν ἐν ἅρματι πυρὸς ἀναληφθείς. Συνεορτάζεται δὲ καὶ ἡ μνήμη τῶν ἁγίων προφητῶν καὶ ἱερέων Μωσέως, Ἀαρὼν καὶ Ἐ λ ι σ - σ α ί ο υ, καὶ τελεῖται ἡ τοιαύτη σύναξις ἐν τῷ αὐτοῦ προφητείῳ, τῷ ὄντι ἐν τῷ Πετρίῳ, καὶ ἐν τῇ νέᾳ ἐκκλησίᾳ.

Vat. gr. 1547 = Vq, ff. 181-183ᵛ

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Τοῖς ᾄσμασι στέφω σε, μάκαρ Ἠλία.
Ἐν δὲ τοῖς θεοτοκίοις· Εὐθυμίου.

Ἦχος πλ. β′.

ᾠδὴ α′. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Τῆς παρθενίας τὸ κλέος,
τῶν ἀρετῶν
τὸ τερπνὸν ἀγλάϊσμα,

---

tit. acrostichidem et nomen auctoris refert rubrica, canon autem usque ad secundum troparium odae ζ′ legitur in cd.
heirm. α′ EE 159, n. 224, Joannis

τὸν προφήτην ἀληθῶς
νῦν Ἠλίαν, δέσποτα, τὸν σὸν
εὐφημῆσαι νῦν φαιδρῶς
χάριν παράσχου μοι.

Ὁ ζηλωτὴς τοῦ δεσπότου,
τῶν προφητῶν
ὁ πυρίπνους ἄνθρωπος,
ὁ τῷ φθέγματι αὐτοῦ
πρὶν τὰ ὑδατόρρυτα συσχὼν
τῶν νεφῶν, νῦν Ἠλιοὺ
ἀνευφημείσθω λαμπρῶς.

Ἵλεον ποίου, προφῆτα
πανευκλεῆ,
τοῖς πιστῶς τελοῦσί σου
τὴν ἁγίαν ἑορτὴν
τὸν θεὸν καὶ κύριον ἡμῶν,
ὡς προφήτης θαυμαστός,
Ἠλία τίμιε.

Σὺ γεννηθεὶς ἐκ σπαργάνων
ἐκ τοῦ θεοῦ
⟨εἰσ⟩ωρίσθης, πάνσοφε,
f. 181v εἰς προφήτην ἀ⟨ψευ⟩‖δῆ·
διὸ καὶ ἑώρουν σε ὡς πῦρ
σπαργανούμενον οἱ σοὶ
θεῖοι γεννήτορες.

θεοτ. Ἐκ καθαρᾶς σου νηδύος
ὁ τοῦ θεοῦ
λόγος προελήλυθεν,
θεοτόκε, ἀπαθῶς
καὶ φθορᾶς ἐρρύσατο ἡμᾶς
τοὺς δοξάζοντας αὐτοῦ
τὴν θείαν σάρκωσιν.

16 πανευκλεῆ (πανευκλεεῖ cd.) pro πανευκλεές: cfr. PSALTES, 152 20 θαυμαστὼς cd. 24 <εἰσ>ωρίσθης, 25 ἀ<ψευ>δῆ complevi: cd. non legitur 26 ἑώρουν pro ἑώρων: cfr. PSALTES, 233

8 Cfr. III Regn. 19,10.14 9-10 Cfr. Sir. 48,1 11-12 III Regn. 17,1

ᾠδὴ γ΄. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*
κύριε ὁ θεός μου,

Ἀποσκεδάσας σου τὸν νοῦν
ὑλικῆς προσπαθείας,
Ἠλιοὺ θεοφόρε,
δοχεῖον χωρητικὸν
ἐγένου ὡς ἀληθῶς
χαρισμάτων
τοῦ ἁγίου πνεύματος.

Σὺ τοὺς στρατάρχας Ἀχαάβ,
Ἠλιοὺ θεορρῆμον,
ἐν τῷ ὄρει σχολάζων,
ἐπυρπόλησας εὐχῇ
ῥημάτων σου φλογερῶν·
ζηλωτὴς γὰρ
ἔφυς κατὰ νόμον θερμός.

Μεστὸς γενόμενος, σοφέ,
θείου ζήλου, ἀνεῖλες
ἱερεῖς τῆς αἰσχύνης,
Ἠλιού, πᾶσι δεικνὺς
τοῦ σέβεσθαι ἀψευδῶς
τῶν πατέρων
θεὸν προδηλότατα.

f. 182 θεοτ. ‖ Ὑπὸ τὰς πτέρυγας τῆς σῆς
ἀντιλήψεως, κόρη,
καταφεύγω σπουδαίως,
θεοτόκε ἀγαθή,
ῥυσθῆναι τῶν πειρασμῶν
καὶ παντοίας
λύπης καὶ κακώσεως.

heirm. γ΄ EE 159, n. 224, Joannis 39 χωριτικὸν cd. 49 ἔφης ... θερμῶς cd. 59-61 καταφεύγω ... ῥυσθῆναι: cfr. MITSAKIS, 149 s.

43-47 IV Regn. 1,9-16 (cfr. commentarium p. 606 s.) 48-49 Cfr. III Regn. 19,10.14 50-56 III Regn. 18,39-40

ᾠδὴ δ΄. *Χριστός μου δύναμις,*
θεὸς καὶ κύριος,

Ἀπέδρας, ὅσιε,
ἀπὸ προσώπου ποτὲ
Ἰεζάβελ φονώσης,
ὡς κατὰ σοῦ
ὅρκον διαθήσασα
μανιωδῶς σὲ ἀνελεῖν,
Ἠλιοὺ θεομακάριστε.

Σοφίας τέμενος
καὶ καθαρώτατον
παρθενίας δοχεῖον
καὶ ἀρετῶν
πάντων καταγώγιον
σὺ ἀνεδείχθης, Ἠλιού,
καὶ προφήτης πρακτικώτατος.

Ἰσχὺν παράδοξον
θεὸς παρέδειξε
τὴν ἐπὶ τῶν σχιδάκων
πρὶν διὰ σοῦ
πᾶσι προδηλότατα,
ἀποπεράνας σοῦ εὐχήν,
Ἠλιού, πυρὸς τὴν αἴτησιν.

θεοτ. Θεὸν γεγέννηκας
τὸν πρὶν ἀσώματον
μετὰ σώματος· ὅθεν
πάσης φθορᾶς
ῥῦσαί με, πανάχραντε,
ταῖς ἱκεσίαις σου, ἁγνή,
καὶ παντοίας περιστάσεως.

---

heirm. δ΄ EE 159, n. 224, Joannis 66 φωνώσης cd. 68 διαθήσασαν cd., cfr. PSALTES, 239

64-69 III Regn. 19,1-3 78-84 III Regn. 18,30-38

f. 182ᵛ || ᾠδὴ ε΄. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Σὺ τεσσαράκοντα ἡμερῶν
ἤνυσας ὁδόν, δυναμωθεὶς
ἀπὸ μιᾶς, μάκαρ, βρώσεως,
ἕως οὗ ἀνῆλθες
ἐπὶ τοῦ ὄρους Χωρήβ,
Ἠλία, καὶ ὠράθη
φωνή σοι αὔρας θεός.

Τῷ φθέγματί σου τοῦ οὐρανοῦ
ἔστησας σαφῶς τὸν ὑετόν,
Ἠλία μάκαρ, προφῆτα θεοῦ,
ἐπὶ ἔτη τρία
καὶ μῆνας ἓξ προφανῶς
ἐπὶ τοῦ ἐπιστρέψαι
τοὺς γηγενεῖς πρὸς θεόν.

Ἐλέγξας αὖθις τὸν Ἀχαάβ,
ὅτε τὴν σφαγὴν τοῦ Ναβουθαὶ
ἀδίκως, μάκαρ, εἰργάσατο
καὶ ἀπῆλθε σαίνων
καὶ ὀδυρόμενος,
τὸ ῥῆμά σου ὡς ξίφος
ἐν τῇ καρδίᾳ λαβών.

θεοτ. Ὑπὲρ ἡμῶν νῦν ὡς ἀγαθὴ
τῶν κεκακωμένων διὰ θεῖον
τοῦ υἱοῦ σου νόμον ἀδίκως, ἁγνή,
τὰς ἱκετηρίας
αὐτῷ προσάγαγε
καὶ σύναψον, παρθένε,
εἰς ἓν τοὺς δούλους σου.

---

heirm. ε΄ EE 159, n. 224, Joannis 93 ἤνοισας cd. 107 ναβουθὲ cd.

92-98 III Regn. 19,5-13 99-105 III Regn. 17,1; ibid. 18,1; Luc. 4,25 106-112 III Regn. 21,1-29

ᾠδὴ ϛ′. *Τοῦ βίου τὴν θάλασσαν*

Φωτός σου τοῖς ῥήμασιν,
ἀξιάγαστε σοφέ,
⟨Ἠλ⟩ία μεγαλώνυμε,
f. 183 τὰ τεμένη καὶ ἄλ||ση τὰ τῆς Βαὰλ
ζοφώσας κατέαξας,
Ἰσραὴλ ἐκδιδάσκων
ἕνα σέβειν θεόν.

Ὡς πῦρ μὲν κατεῖδέ σε
σπαργανούμενον τὸ πρὶν
ὁ σὸς γεννήτωρ πνεύματι
καὶ ὡς φλόγα πυρός σε οἱ τοῦ θεοῦ
ἄγγελοι ἐψώμιζον,
Ἠλιοὺ θεορρῆμον
ἀξιάγαστε.

Σὲ ὁ προαιώνιος
θεὸς λόγος τοῦ πατρός,
Ἠλία μεγαλώνυμε,
τῆς αὐτοῦ ἐκ δευτέρου ἐπὶ τῆς γῆς
ἐνδόξου ἐλεύσεως
προπορεύεσθαι, μάκαρ,
ἐπ⟨ηγ⟩γείλατο.

θεοτ. Μεγάλων σου, δέσποινα,
ἀπολαύσας δωρεῶν,
ἀγνώμων ὅλως γέγονα
καὶ εἰς βάθη κατήντησα πειρασμῶν·
διὸ μὴ ἐάσῃς με
εἰς βυθὸν ἀπωλείας,
ἀλλὰ σῶσόν με.

---

heirm. ϛ′ EE 159, n. 224, Joannis 122 Ἠλία complevi: cfr. v. 136
140 verbum complevi

120-126 III Regn. 20ss. 134-140 Cfr. Apoc. 11,1-19

Κοντάκιον.

Ἦχος β′.

Προφῆτα καὶ προόπτα
....

f. 183ᵛ || Ὁ οἶκος.

Τὴν πολλὴν τῶν ἀνθρώπων ἀνομίαν
....

ᾠδὴ ζ′. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

Ἑστιάθης διὰ κόρακος, πανόλβιε,
ἐν ὄρει τῷ Καρμήλῳ ποτὲ
ἐκ προστάγματος
τοῦ θεοῦ, Ἠλία, δαψιλῶς
καὶ αὖθις ἐστάλης πρὸς τὴν γῆν
τῆς Σιδωνίας· οὐ γὰρ ἦν
θέμις σε κρύπτεσθαι.

Μετανάστης ὅλος γέγονας, ἀοίδιμε,
πρὸς χήραν τῇ προνοίᾳ θεοῦ
τοῦ παντάνακτος
. . . .
. . . .
. . . .
. . . .

κοντάκ. et οἶκ. ed. MR VI, 182
heirm. ζ′ EE 159, n. 224, Joannis 148 Ἑστιάθης pro Εἱστιάθης: cfr. MITSAKIS, 54; PSALTES, 203 post v. 157, rescissis ultimis foliis cd., deest finis canonis

---

148-154 III Regn. 17,6-9 155 ss. III Regn. 17,10 ss.

<Α . . . .
. . . .
. . . . .
. . . .
. . . .
. . . .
. . . .

θεοτ. Ι . . . .
. . . .
. . . . .
. . . .
. . . .
. . . .
. . . .

ᾠδὴ η'. Ἐκ φλογὸς τοῖς ὁσίοις (?)

Κ ....
....

Α ....
....

Ῥ ....
....

θεοτ. Ο ....
....

ᾠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον (?)

Η ....
....

ex v. 162 complere possumus litteras initiales tropariorum secundum acrostichidem in rubrica relatam   fortasse etiam heirm. odarum deperditarum ex eadem acolouthia, ex qua heirm. odarum α'-ζ' ducuntur: cfr. commentarium p. 606 notam 4

Λ ....
....

Ι ....
....

Α ....
....

θεοτ. Υ ....
..................>

IN SANCTUM PROPHETAM ELIAM

Mess. gr. 136 = Mf, ff. 225v-230v

Ὁ κανὼν ⟨φέρων ἀκροστιχίδα τήνδε⟩·
Ὑ⟨μ⟩νεῖν σε ⟨Χ⟩ρισ⟨τ⟩ὸς προσθέτω χάρ⟨ι⟩ν, μάκ⟨α⟩ρ·
Ἰω⟨σ⟩ήφ.

Ἦχος πλ. β΄.

ᾠδὴ α΄. *Ὡς ἐν ἠπείρῳ πεζεύσας*

Ὑμνολογεῖν σου τὸν βίον
τὸν ἱερὸν
καὶ θαυμάτων ἔμπλεον
ἐφορμῶντα, Ἠλιού,
φωτισμόν μοι αἴτησαι, ἀχλὺν
f. 226 ἀγνωσίας τὴν || ἐμὴν ψυχὴν σκεδάζοντα.

⟨Μ . . . .
. . . .
. . . .
. . . .
. . . .
. . . .⟩

Νομοθεσίαις με θείαις
διηνεκῶς
καθυπείκειν, πάνσοφε,

---

tit. ex tropariis, quamvis mutila, ducuntur acrostichis et nomen auctoris, quae rubrica canonis tacet
heirm. α΄ EE 159, n. 224, Joannis 7-12 troparium om. cd.

ἐνδυνάμωσον πολλαῖς
ἀνομίαις ἔχοντα ψυχὴν
μολυνθεῖσαν, Ἠλιού, καὶ κινδυνεύοντα.

Ἐν τῇ μελλούσῃ σου δίκῃ
τῇ φοβερᾷ
μὴ καταδικάσῃς με,
Ἰησοῦ παμβασιλεῦ,
τὸν πολλά σοι πταίσαντα εὐχαῖς
τοῦ προφήτου Ἠλιοὺ τοῦ σοῦ θεράποντος.

θεοτ. Ἱερωτάτη χορεία
τῶν ἱερῶν
προφητῶν ἐν πνεύματι
σὲ καλὴν ἐν γυναιξὶ
καὶ θεοῦ λοχεύτριαν καλεῖ
καὶ λυχνίαν μυστικήν, θεοχαρίτωτε.

ᾠδὴ γ΄. *Οὐκ ἔστιν ἅγιος ὡς σύ,*

Νοσοῦσαν, μάκαρ,
ἀθεΐᾳ τὴν κτίσιν
ὑετοῦ ἐπισχέσει
f. 226v || ἰατρεύεις καὶ πληγαῖς
μαστίζεις παρεκτικαῖς
εὐσεβείας,
ζήλῳ πυρακτούμενος.

Σὲ τεῖχος ἔχων ἀσφαλές,
ὑπερβήσομαι τεῖχος
χαλεπῆς ἁμαρτίας
καὶ παθῶν ἐπαγωγῆς,
προφῆτα, περιφανῶς

---

heirm. γ΄ EE 159, n. 224, Joannis 38 τείχον cd.

19-21 Cfr. Matth. 12,36 28 Cant. 1,8; 5,9.17 30 Ex. 25,31
31 ss. III Regn. 17,1 ss.

ὁ ποθῶν σε,
μάκαρ, καὶ σωθήσομαι.

Ἐκτρέφει πάλαι σε Χριστός,
Ἠλιού, δι' ὀρνέου,
προξενήσαντα ζήλῳ
θεϊκῷ πάσῃ τῇ γῇ
λιμόν· διό σοι βοῶ·
« σωτηρίου
ἔμπλησόν με βρώσεως ».

⟨Χ. . . . .
. . . .
. . . .
. . . .
. . . .
. . . .
. . . .⟩

θεοτ. Ῥομφαῖαι πᾶσαι τοῦ ἐχθροῦ
ἐξησθένησαν, κόρη,
ἀφ' οὗ λόγχῃ ἐτρώθη
τὴν πλευρὰν ὁ σὸς υἱός,
τὰς τῶν ἀνθρώπων πληγάς,
θεομῆτορ
πάναγνε, ἰώμενος.

ᾠδὴ δ'. *Χριστός μου δύναμις,*

f. 227 ‖ « Ἰδοὺ ἐντέταλμαι »,
φησὶν ὁ κύριος,
« γυναικὶ πιστοτάτῃ,

52-58 troparium om. cd.
heirm. δ' ΕΕ 159, n. 224, Joannis

---

45 ss. III Regn. 17,4-7 59-60 Ps. 9,7 61-62 Joh. 19,34
66-72 III Regn. 17,7-16

ὦ Ἠλιού,
πόθῳ διατρέφειν σε »,
ἣν τῇ εἰσόδῳ σου πολλῆς
εὐλογίας ἀπεπλήρωσας.

Σαυτὸν ἐμάκρυνας
κακίας, πάνσοφε,
καὶ τῆς ἐπιμιξίας
τῶν πονηρῶν,
ἕως οὗ ᾠκείωσας
τοὺς τῷ θεῷ τῷ ἀγαθῷ
μακροτάταις φυγαδεύοντας.

⟨Τ. . . . . . .
. . . .
. . . .
. . . .
. . . .
. . . .
. . . .⟩

Ὁ μόνος κύριος,
ὁ μόνος ἅγιος,
τοῦ σεπτοῦ σου προφήτου
ταῖς προσευχαῖς
φώτισον, ἁγίασον
τὴν παναθλίαν μου ψυχὴν
ἁμαρτίαις περιπίπτουσαν.

θεοτ. Σοφία, δύναμις
θεοῦ κατῴκησε
τὴν ἁγίαν σου μήτραν,
τοῦ σοφιστοῦ
τῆς κακίας, πάναγνε,
ἐξαιρουμένη τοὺς πιστῶς
θεοτόκον σε δοξάζοντας.

---

71 πολλῇ cd. 80-86 troparium om. cd.

f. 227v || ᾠδὴ ε'. *Τῷ θείῳ φέγγει σου, ἀγαθέ,*

Πάλαι καμψάκης εὐλογηθεὶς
τῇ εὐλογημένῃ σῇ φωνῇ
καὶ δρὰξ ἀλεύρου πληθύσονται,
μάκαρ Ἠλιού, σὲ
θεοῦ δοξάζοντος,
τοῦ λόγοις μυριάδας
ἄρτοις κορέσαντος.

Ῥῦσαί με βλάβης τοῦ πονηροῦ,
τῶν ἁμαρτιῶν μου τὰς σειρὰς
τῇ σῇ πρεσβείᾳ διάρρηξον
καὶ τὰς πρὸς θεόν μου
πορείας εὔθυνον,
προφῆτα θεηγόρε,
καθικετεύω σε.

Ὁ τοὺς προφήτας προφητικῶς,
μάκαρ, τῆς αἰσχύνης καθελών,
μὴ καταισχύνῃς κρινόμενον
ὥρᾳ με τῆς δίκης,
ἀλλ' ἀκατάκριτον
συντήρησόν με τότε
τῇ μεσιτείᾳ σου.

θεοτ. Σὲ ἐπιγράφομαι βοηθόν,
f. 228 σὲ διὰ παντὸς ἐκδυ||σωπῶ,
θεοχαρίτωτε δέσποινα,
ῥῦσαί με τῆς πλάνης
τοῦ πολεμήτορος
καὶ τῆς αἰωνιζούσης
τότε κολάσεως.

---

heirm. ε' EE 159, n. 224, Joannis 102 σοι cd. 122 ἐπιγράφωμαι cd.

101-103 III Regn. 17,12-16 106-107 Matth. 14,13-21 115-116 III Regn. 18,40 127-128 Cfr. Matth. 25,46

ᾠδὴ ς'. *Τοῦ βίου τὴν θάλασσαν*

Θεοῦ παντοκράτορος
εὐωδία μυστικὴ
ταῖς ἀρεταῖς γενόμενος,
τὴν δυσωδοῦσαν πάθεσι βλαβεροῖς,
παμμάκαρ, καρδίαν μου
εὐωδίασον, ὅπως
μακαρίζω σε.

Ἐπέσχες παράνομον
βασιλεύοντος ὁρμήν,
κληρονομεῖν θελήσαντος
τὸν ἀμπελῶνα πάλαι τοῦ Ναβουθαί,
θεοῦ σε κινήσαντος
βασιλέως, προφῆτα,
αἰωνίζοντος.

Τὴν θείαν εὐσέβειαν
καὶ ἀνώλεθρον ζωήν,
τὴν αἰωνίαν εὔκλειαν,
τὴν κατ' ἐχθρῶν ἀσάρκων καὶ ὁρατῶν
κραταίωσιν δώρησαι
f. 228v βασιλεῖ, || θεηγόρε,
μεσιτείᾳ σου.

θεοτ. Ὡραῖος προέρχεται
ἐκ λαγόνων σου, ἁγνή,
ὡς ἐκ παστάδος κύριος,
καθωραΐζων πάντας καλλοποιαῖς
καλῶν ἐπιδόσεσι
τοὺς πιστῶς σε τιμῶντας,
μητροπάρθενε.

---

heirm. ς' EE 159, n. 224, Joannis 146 τὴν] τὸν cd.

129-131 Cfr. II Cor. 2,15 136-142 III Regn. 21,1 ss. 150 ss. Cfr. Ps. 18,6

Κάθισμα.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ λόγου ἐν σῇ γαστρὶ*

Τὴν πηγὴν τῶν θαυμάτων, τῶν προφητῶν
τὸ καλλώπισμα, πάντες ᾀσματικῶς
πίστει εὐφημήσωμεν
τὸν θεσβίτην Ἠλίαν·
μετὰ σαρκὸς γὰρ ἔτι
ὑπάρχων ἀθάνατος,
ὡς θνητὸς πιστοῦται
νεκρῶν τὴν ἀνάστασιν·
ὅθεν παρρησίαν
πρὸς αὐτὸν κεκτημένος,
παρέχει ἰάματα
τοῖς ἐν πίστει αἰτοῦσι
. . . .
καὶ πρεσβεύει Χριστῷ τῷ θεῷ
τῶν πταισμάτων ⟨ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην αὐτοῦ⟩.

ᾠδὴ ζ'. *Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο*

f. 229 ‖ Χεὶρ κυρίου μετὰ σοῦ ὑπῆρχε πάντοτε,
χειρὸς ἐξαιρουμένου σε
ἀδικωτάτης,
ἀλλὰ δέομαί σου, Ἠλιού,
ἀχείρωτον δεῖξόν με ἐχθροῖς

heirm. καθ. MR I, 68 13 v. deest vv. 15-17 detruncat cd.
heirm. ζ' EE 159, n. 224, Joannis 160 δαίομαι cd.

157-159 III Regn. 19,1 ss.

κακοποιῆσαί με δεινῶς
ἐπιζητοῦσιν ἀεί.

Ἀνατείνας σου τὰς χεῖρας καὶ τὰ ὄμματα,
προφῆτα, πρὸς τὸν κύριον,
πῦρ κατήγαγες,
ἀθέτας παύων τὴν πυράν,
ὁ δρόσῳ τῆς πίστεως ψυχὰς
καταταχείσας, Ἠλιού,
ἐπανακτώμενος.

Ῥαθυμίας με ἐν κλίνῃ κατακείμενον
καὶ νόσῳ δαπανώμενον
ἁμαρτίας τε
καὶ ἀπροσεξίας παντελοῦς
ἐπίσκεψαι, μάκαρ Ἠλιού,
ἐκδυσωπῶν τὸν τὰς ἡμῶν
νόσους βαστάσαντα.

⟨I. . . . .
. . . .
. . . . .
. . . .
. . . .
. . . .
. . . . . .⟩

θεοτ. Νεκρωθέντα με ἀμέτροις παραπτώμασι
f. 229v ζωῶσαι ‖ παρακλήθητι,
ἡ κυήσασα
τὴν ζωὴν τῶν ζώντων Ἰησοῦν,
ᾧ μέλπομεν, ἄχραντε, πιστῶς·
« εὐλογητὸς εἶ, ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

172 καὶ] ὁ cd. 178-184 troparium om. cd. 190-191 post εὐλογητὸς cetera om. cd.

164-167 III Regn. 18, 30-39 176-177 Cfr. Is. 53,4; Matth. 8,17

ᾠδὴ η'. *'Εκ φλογὸς τοῖς ὁσίοις*

Μακαρίως τὸν βίον
τὸν σὸν διήνυσας,
τοῦ δεσπότου φυλάττων
τὰ δικαιώματα
καὶ τῶν δυσμενῶν
καταστέλλων φρονήματα,
ἔνδοξε προφῆτα,
θεράπων τοῦ κυρίου.

'Απειλεῖ θανατῶσαι
αἰσχρόν σε γύναιον,
τὸν τῆς χήρας τὸν παῖδα
τὸ πρὶν ζωώσαντα,
ὅθεν σοι βοῶ·
« ἀπειλῆς πάσης ῥῦσαί με
θάνατον γεννώσης,
προφῆτα θεηγόρε ».

Καταισχύνεις προφήτας
αἰσχύνης, ἔνδοξε,
καὶ ἐπάγεις δικαίᾳ
καὶ θείᾳ κρίσει σου,
ὅθεν σοι βοῶ·
« κατακρίσεως ῥῦσαί με
f. 230 τότε || καὶ αἰσχύνης
καὶ χαλεπῆς ὀδύνης ».

⟨A. . . . . . .
. . . .
. . . .
. . . .

heirm. η' EE 159, n. 224, Joannis 216-223 troparium om. cd.

200-201 III Regn. 19,1-2 202-203 III Regn. 17,17-24 208-211 III Regn. 18,19-40

. . . . .
. . . .
. . . .
. . . .⟩

θεοτ. 'Ρυπωθεῖσαν ψυχήν μου
τοῖς πλημμελήμασιν
ἀποκάθαρον, μόνη
θεοχαρίτωτε,
μόνη δυσωπῶ
τοῦ ἀμέτρου ἐλέους σου,
ὅπως σε δοξάζω
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'. *Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον*

'Ισχὺν καὶ κράτος
ἡμᾶς περίζωσον
κατὰ παθῶν
ἐχθρῶν τῶν πολεμίων, θεόπνευστε,
ἐν νυκτὶ καὶ ἡμέρᾳ φαινόμενος
ἄγρυπνος ἡμῶν φύλαξ,
πρέσβυς θερμότατος,
μάκαρ 'Ηλιού, τῶν εὐσεβῶς
μακαριζόντων σε.

'Ως πῦρ ὡράθη
ὁ θεῖος λόγος σου,
ζηλωτικῶς
τὴν ὕλην δαπανῶν προδηλότατα
τῆς πικρᾶς ἀσεβείας, πανόλβιε,
ὅθεν σε δυσωποῦμεν·
f. 230ᵛ πάθη κατά||φλεξον

heirm. θ' EE 159, n. 224, Joannis

241-245 III Regn. 18,30-38

πάντα τῶν ψυχῶν ἡμῶν, σοφέ,
τῇ μεσιτείᾳ σου.

⟨Σ . . . . .
. . . . . .
. . . .
. . . .
. . . .
. . . .
. . . . . .
. . . .
. . . . . .⟩

Ἡμᾶς τοὺς φόβῳ,
σωτήρ, ὑμνοῦντάς σε
τῇ φοβερᾷ
ἡμέρᾳ τῆς δικαίας σου κρίσεως
τοῦ πυρὸς τοῦ ἀσβέστου ἀπάλλαξον
καὶ τῆς αἰωνιζούσης
ῥῦσαι κολάσεως,
ἔχων τὸν προφήτην Ἠλιοὺ
ἐκδυσωποῦντά σε.

θεοτ. Φωνῇ ἀγγέλου
μεγάλης ἄγγελον
βουλῆς, ἁγνή,
Χριστὸν σωματικῶς ἀπεκύησας
τοὺς ἀνθρώπους ἀγγέλοις συνάψαντα,
ὅθεν χρεωστικῶς σε
νῦν μακαρίζομεν
πάντες οἱ σωθέντες διὰ σοῦ,
θεοχαρίτωτε.

250-258 troparium om. cd. 268-276 θεοτ. simile videtur alii ed. in MR III, 519 274 μακαρίζωμεν cd.

262 Cfr. Matth. 12,36 263 Cfr. Matth. 3,12 264-265 Cfr. Matth. 25,46

IN SANCTUM PROPHETAM EZECHIELEM

Synaxarium 831-833(*): Μνήμη τοῦ ἁγίου προφήτου Ἰ ε ζ ε κ ι ή λ. Οὗτος ἦν υἱὸς Βουζῆ ἐκ γῆς Ἀριρᾶ, ⟨ἐκ⟩ τῶν ἱερέων· καὶ προεφήτευσεν ἔτη κʹ, προέλαβε δὲ τὴν σάρκωσιν τοῦ Χριστοῦ ἔτη τετρακόσια ἑβδομήκοντα ἑπτά. Καὶ ἐπὶ τῆς αἰχμαλωσίας ἀπελθὼν ἐν γῇ Χαλδαίων καὶ πολλὰ προφητεύσας τοῖς ἐν τῇ Ἰουδαίᾳ καὶ τῷ λαῷ ἔδωκε τέρας ὥστε προσέχειν τῷ ποταμῷ Χοβάρ· ὅτε ἐκλείπει, ἐλπίζειν τὸ δρέπανον τῆς ἐρημώσεως καὶ ὅτε πλημμυρήσει, τὴν εἰς Ἱερουσαλὴμ ἐπάνοδον· καὶ γὰρ ἐκεῖσε κατῴκει ὁ ὅσιος, καὶ πολλοὶ πρὸς αὐτὸν συνανεστρέφοντο. Καί ποτε πλήθους συνόντος αὐτῷ, ἔδεισαν οἱ Χαλδαῖοι, μὴ ἀντάρωσι, καὶ ἐπῆλθον αὐτοῖς εἰς ἀναίρεσιν· καὶ ἐποίησεν αὐτοῖς στῆναι τὸ ὕδωρ, ἵνα ἐκφύγωσιν εἰς τὸ πέραν γενόμενοι, καὶ οἱ τολμήσαντες τῶν ἐχθρῶν ἐπιδιῶξαι κατεποντίσθησαν. Οὗτος διὰ προσευχῆς αὐτομάτως αὐτοῖς δαψιλῆ τροφὴν ἐξ ἰχθύων παρέσχετο καὶ πολλοῖς ἐκλείπουσιν ζωὴν ἐλθεῖν ἐκ Θεοῦ παρεκάλεσεν. Οὗτος, ἀπολλυμένου τοῦ λαοῦ ὑπὸ τῶν ἐθνῶν, προσῆλθε τοῖς ἡγουμένοις καὶ διὰ τεραστείων φοβήσας αὐτοὺς κατέπαυσε. Τότε ἔλεγεν ὁ Ἰεζεκιὴλ ὅτι· «Διαπεφωνήκαμεν· ἀπώλετο ἡ ἐλπὶς ἡμῶν». Καὶ ἐν τέρασι τῶν ὀστέων τῶν νεκρῶν αὐτοὺς ἔπεισεν ὅτι ἔσται ἐλπὶς τῷ Ἰσραὴλ καὶ ὧδε καὶ ἐν τῷ μέλλοντι. Οὗτος ἐκεῖ ὢν ἐδείκνυε τῷ λαῷ Ἰσραὴλ τὰ ἐν Ἱερουσαλὴμ καὶ τὰ ἐν τῷ ναῷ γινόμενα. Οὗτος ἡρπάγη ἐκεῖθεν καὶ ἦλθεν εἰς Ἱερουσαλὴμ κατ' αὐτὴν τὴν ὥραν εἰς ἔλεγχον τῶν ἀπίστων. Οὗτος κατὰ τὸν Μωϋσῆν εἶδε τὸν τύπον τοῦ ναοῦ τὸ τεῖχος πλατύ, καθὼς εἶπε καὶ ὁ Δανιὴλ ὅτι κτισθήσεται. Οὗτος ἔκρινεν ἐν Βαβυλῶνι τὴν φυλὴν Δᾶν καὶ τοῦ Γάδ, ὅτι ἠσέβουν εἰς τὸν Κύριον δοκοῦντες τὸν νόμον φυλάττειν· καὶ ἐποίησεν αὐτοῖς τέρας μέγα, ὅτι οἱ ὄφεις ἀνήλισκον τὰ βρέφη αὐτῶν καὶ πάντα τὰ κτήνη αὐτῶν, καὶ προείρηκεν, ὅτι δι' αὐτοὺς οὐκ ἐπιστρέψει ὁ λαὸς εἰς τὴν γῆν αὐτοῦ ἀλλ' ἐν Μήδοις ἕως συντελείας πλάνης αὐτῶν· ὅθεν καὶ ἐξ αὐτῶν ἀνῃρέθη. Ἀντέκειντο γὰρ αὐτῷ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ· ἀπέκτεινε δὲ αὐτὸν ὁ ἡγούμενος τοῦ Ἰσραὴλ ἐλεγχόμενος ὑπ' αὐτοῦ ἐπὶ εἰδώλων σεβάσμασιν. Καὶ ἔθαψαν αὐτὸν ὁ λαὸς ἐν ἀγρῷ Μεθούρ, ἐν τάφῳ ὃς ἦν Ἀρφαξὰδ πάτρωνος Ἀβραάμ· καί ἐστιν ὁ τάφος σπήλαιον διπλοῦν, ὅτι καὶ ὁ Ἀβραὰμ ἐν Χεβρὼν πρὸς τὴν ὁμοιότητα αὐτοῦ ἐποίησε τὸν τάφον Σάρρας. Διπλοῦν δὲ λέγεται ὅτι εἱλητόν ἐστι καὶ ἀπόκρυφον ἐξ ἐπιπέδου ὑπερῷον καί ἐστιν ἐπὶ γῆς ἐν πέτρᾳ ἐκτισμένον. Ἦν δὲ κατὰ τὸν τύπον τοῦ σώματος ὁ προφήτης προμήκης τὴν κεφαλὴν καὶ ἀσύμμετρος, σκληφρὸς τὸ πρόσωπον, τὸ γένειον ψεδνὸν καὶ ἐπίμηκες ἔχων.

(*) Die XX iulii tradit canonem unus Ec; Cp eundem refert in diem IV augusti; ceteri cdd., ut Synaxarium, memoriam prophetae celebrant die XXI iulii.

Vallic. gr. E 55	= Ec, ff. 76^{v}-80
Sinait. gr. 625	= Σν, ff. 98^{v}-101
Sinait. gr. 627	= Σο, ff. 79-80^{v}
Meteor. Metamorph. 150	= Φ, ff. 158-159
Paris. gr. 1575	= Pv, ff. 166^{v}-167^{v}
Paris. gr. 13	= Q, f. 343^{rv}
Crypt. Δ.α. XII	= Cp, ff. 26-28^{v}

Ὁ κανών, ⟨Θεοφάνους⟩, φέρων ἀκροστιχίδα·
Θεῖον Ἰεζεκιὴλ ἱεροῖς ὕμνοισι γεραίρω.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἄισωμεν τῷ κυρίῳ*
τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ

Θέλοντι εὐφημῆσαι
Ἰεζεκιὴλ τὸν ὑποφήτην σου
δωρεάν μοι παράσχου,
εὐεργέτα, τὴν χάριν τοῦ πνεύματος.

Ἔχων τὰς ἀναβάσεις
Ἰεζεκιὴλ ὁ ἱερώτατος
τῶν ἀρετῶν, αὐτόπτως
τοῦ κυρίου τὴν δόξαν αὐγάζεται.

tit. Ἕτερος κανὼν φέρων ἀκροστιχίδα ... Ec, qui duos canones alternatis odis profert: priorem in S. Eliam, inc. Ἄιδειν προῃρημένοι, ed. MR VI, 178, secundum quem referimus Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε ... Σν Σο tantum ὁ κανὼν Φ, qui acrostichidem om. ὁ κανὼν οὗ ἡ ἀκροστιχὶς ... Pv εἰς τὸν ὄρθρον κανὼν γ' τῆς ἤχου β'· καὶ τοῦ προφήτου· οὗ ἡ ἀκροστιχὶς ... Q Εἰς τὸν ὄρθρον κανὼν τοῦ προφήτου φέρων ἀκροστιχίδα ... Cp sigla Θεοφάνους praebent Σν Φ Q, nomen auctoris om. ceteri cdd. ὕμνοισι] ὕμνοις Σο Pv Cp
heirm. α' EE 224, n. 321, Joannis 2 τὸν ὑποφήτην σου] ὁ ἱερώτατος Σν 4 τὴν] καὶ Ec Σν Σο Φ Q v. 7 τῶν ἀρρήτων αὐτόπτης Σο

7-8 Ez. 1,1 ss.

Ἰθυνάς σου τὸν βίον
καὶ τῷ λογισμῷ δὲ τὰ σκιρτήματα
τῆς σαρκὸς ὑποτάξας,
ὑποφήτης ἐδείχθης, θεόληπτε.

θεοτ. Ὅλος πεφωτισμένος,
κατ'ἀνατολὰς τὴν πολυύμνητον
ἐπεστραμμένην πύλην
προφητεύεις παρθένον, θεόπνευστε.

ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*

Νέκρωσιν κτησάμενος
τὴν τῶν παθῶν, ὁρᾷς, ἔνδοξε,
f. 77 || τὴν τῶν νεκρῶν
προζωγραφουμένην
ὡς προφήτης ἀνάστασιν.

Ἵλεως γενόμενος
τῷ ἑαυτοῦ θεὸς πλάσματι,
θεῖον σκοπὸν
σὲ τοῖς πλανωμένοις,
θεοφάντορ, ἀνέδειξεν.

Ἔθελξέ σε, ἔνδοξε,
ἡ τῆς θεότητος ἔλλαμψις
τοῖς χερουβὶμ
ἐπικαθημένη,
θεορρῆμον, σοὶ φάνασα.

12 θεόληπτος Φ Pv Q 14 πρὸς ἀνατολὰς Cp τὴν πολυύμνητον] σὺ τὴν πανύμνητον Ec, τὴν παναμώμητον Σο Φ 16 παρθένε Φ θεόπνευστε] θεόνυμφον Σν
heirm. γ' EE 224, n. 321, Joannis 22 Ἴλεος Cp 25 σὲ] ἐν Cp 30 ἐπικαθημένοις Ec

14-16 Ez. 44,1-3 18-21 Ez. 37,1-14 27-31 Ez. 1,1 ss.

θεοτ.

Ζῶσαν ὁ προφήτης σου
προβλεπτικοῖς ὁρᾷ ὄμμασι
παρθενικὴν
διατηρουμένην,
εὐεργέτα, σοὶ εἴσοδον.

Κάθισμα.

Ἦχος γ΄. *Τὴν ὡραιότητα τῆς παρθενίας σου*

Λόγου τὴν σάρκωσιν προδιετράνωσας
τῷ θείῳ πνεύματι καταυγαζόμενος,
μέγιστε θείων προφητῶν
Ἰεζεκιὴλ θεόπνευστε,
ὅθεν ὡς προφήτην σε
ἱερῶς μακαρίζομεν
καὶ πανηγυρίζομεν
ἐν τῇ μνήμῃ σου σήμερον,
συμφώνως ἐκβοῶντές σοι· « πρέσβευε
σωθῆναι τοὺς πίστει ἀνυμνοῦντάς σε ».

Ἄλλο.

Ἦχος πλ. α΄. *Τὸν συνάναρχον λόγον*

Ἐλλαμφθεὶς τὴν καρδίαν
τῷ θείῳ πνεύματι
τῶν μελλόντων τὴν γνῶσιν

---

32 προφήτην Σο σου] σοι Cp v. 36 εὐεργεισα τὴν εἴσοδον Cp
primum κάθ., quod post odem γ΄ tradunt Ec Φ Q, ante canonem refert Σο (f. 78v) et post odem ς΄ Pv
heirm. primi καθ. HR 243 9-10 συμφώνως ... ἀνυμνοῦντάς σε] χριστὸν ἀδιαλείπτως ἱκέτευε / σωθῆναι τοὺς πόθῳ γεραίροντας Σο: quae verba add. etiam Φ post σοι post σοι add. Q σοφέ, μάκαρ add. Pv πρέσβευε ... ἀνυμνοῦντάς σε] πρέσβευε χριστῷ / ὑπὲρ τῶν ψυχῶν ἡμῶν Pv v. 10 σωθῆναι τὰς ψυχὰς ἡμῶν Q
secundum κάθ., praeter Ec, refert Σν ante canonem (ff. 97v-98r), om. ceteri cdd.
heirm. secundi καθ. HR 230

32-36 Ez. 44,1 ss.

πᾶσιν ἐτράνωσας,
πύλην βλέπων φωτεινὴν
τὴν θεομήτορα,
δι' ἧς μόνος Ἰησοῦς,
τοῦ φωτὸς ὁ χορηγός,
εἰσῆλθεν τε καὶ ἐξῆλθεν,
ἐσφραγισμένην ἐάσας
ὡς πρὸ τοῦ τόκου,
προφῆτα ἔνδοξε.

f. 77v

ᾠδὴ δ΄. *Εἰσακήκοα, κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριον

Ἐπὶ σὲ χεὶρ ἐγένετο
ἡ τοῦ σοῦ δεσπότου καὶ παντοκράτορος,
τὰ ἀπόρρητα διδάσκουσα
καὶ φωτίζουσά σε
θεῖα δόγματα.

Κατιδεῖν ὡς ἠξίωσαι
ἐνθεαστικῶς τὰ θεῖα θεάματα,
ἐπὶ πρόσωπον προσέπεσες
καὶ φωνῆς ἀκούεις
θείου πνεύματος.

Ἰσραὴλ ἐξαπέστειλε
τῷ παραπικραίνοντι, παμμακάριστε,
ὡς προφήτην σε καὶ κήρυκα
ὁ δεσπότης πάντων,
χρίσας πνεύματι.

---

heirm. δ΄ EE 225, n. 322, Cosmae 43 ἔνθα ἐστικῶς Σο θεάματα] διδάγματα Φ 44 προσέπεσας Ec Cp, κατέπεσες Σν, προσέπεσεν Σο 45 φωνὴν Σν Σο Φ Pv 47-51 troparium om. Q

42-43 Ez. 1,1 ss. 44-46 Ez. 1,25-2,1 ss. 47-51 Ez. 2,3 ss.

Ἡ δοθεῖσά σου στόματι
ἐκ χειρὸς κυρίου κεφαλίς, ἄριστε,
τὴν καρδίαν σου ἐγλύκανε
καὶ προφήτην θεῖον
ἀπειργάσατο.

θεοτ. Λαμπομένην τεθέαται
Ἰεζεκιὴλ τὴν πύλην τὴν ἔνθεον,
ἣν διοδεύσας ὁ κύριος
κεκλεισμένην ταύτην
διετήρησεν.

f. 78

ᾠδὴ ε΄. *Ὀρθρίζοντες βοῶμέν σοι, κύριε, σῶσον ἡμᾶς*

Ἰεζεκιὴλ μάκαρ θεόληπτε, ἐπιστροφὴν
πᾶσιν ἁμαρτάνουσι
κατηγγυήσω τοῖς λόγοις σου.

Ἐν πᾶσιν ἐμιμεῖτο τὸν κύριον ὁ προφήτης·
ὑπὲρ ἀλλοτρίων γὰρ
ἁμαρτημάτων ᾐκίζετο.

Ῥητόρων σε αἱ γλῶσσαι οὐ σθένουσιν εὐφημῆσαι·
ὑπερουρανίῳ γὰρ
κατεκοσμήθης λαμπρότητι.

θεοτ. Ὁ θεῖος ἐθεώρει σε πύλην Ἰεζεκιήλ,
δι' ἧς ἡμῖν ἔλαμψεν
ὁ φωτοδότης, πανάχραντε.

52-56 troparium om. Φ 52 σου] σῶ Q Cp, σοι Σο 53 κεφαλῆς Σο Q, κεφαλῇ Pv 56 ἀπετέλεσε(ν) Pv Q v. 57 Λαμπρυνθεὶς τὴν διάνοιαν Cp Λαμπομένη Σο τεθέασαι Σο Φ 58 τὴν ἔνθεον] τεθέασαι Cp 61 διεφύλαξεν Σο Φ Pv Q

heirm. ε΄ EE 226, n. 324, Germani 62 παμμάκαρ Σν 63 ἁμαρτάνουσαν Φ 64 κατεγγυήσω Ec Cp Σο 66 γὰρ] δὲ Φ, qui supra lineam add. γὰρ etiam 69 ὑπερουρανίων Ec 70 κατεκοσμίσθης Cp λαμπρότησιν Ec 71 ἐθεώρησε Σο 73 πανάμωμε Pv Q

52-56 Ez. 2,9-3,3 57-61 Ez. 44,1 ss. 66-67 Cfr. Is. 53,4 ss. 71-73 Ez. 44,1 ss.

ᾠδὴ ϛ΄. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Ἰδεῖν κατηξιώθης τὸν θεόν,
προφῆτα θεσπέσιε,
πάσης ἐμφάσεως
ὑλικῆς ὡς καθαρθείς, παμμακάριστε.

Σωμάτων ὑπεράνω γεγονώς,
ἐπήρθης μετάρσιος
ῥώμῃ τοῦ πνεύματος
καὶ φωτὸς εἰλικρινοῦς ὤφθης ἔμπλεος.

Ὑπέρτιμον τὸν βίον ἐσχηκώς,
χορείαν οὐράνιον
ὕμνους ἐκπέμπουσαν
θεωρεῖς τῶν χερουβὶμ παντοκράτορι.

θεοτ. Μητέρα καὶ παρθένον ἀληθῶς
ἐν τύπῳ τεθέασαι
πύλην πολύφωτον,
τῷ θεῷ καὶ τοῖς βροτοῖς μεσιτεύουσαν.

---

heirm. ϛ΄ EE 224, n. 321, Joannis 74 τὸν χριστὸν Σο, τῷ θεῷ Φ 75 θεόπνευστε Σν Σο Φ Cp 77 ὡς καθαρθεὶς] προκαθαρθεὶς Cp 81 ἔμπλεως Σν Pv Q, ἄμπελος Σο Φ 83 χωρίον Σο 84 ὕμνοις Σο 85 θεωρεῖ Σο παντοκράτορα Pv Q

post odem ϛ΄ praebet Ec duo κοντάκ. et οἴκ. in Eliam prophetam: κοντάκ. Ὁ πύλας οὐρανοῦ, ed. EEBS 28 (1958) 312 et οἴκ. Ἅρμα θεοῦ καὶ ἱππεὺς αὐτοῦ, ineditum; κοντάκ. Προφῆτα καὶ προόπτα, et οἴκ. Τὴν πολλὴν τῶν ἀνθρώπων, ed. in MR VI, 182 et alibi (cfr. IHG III, 372; IV, 85) Pv post odem ϛ΄ refert κάθ. hic ed. post odem γ΄, Cp κάθ. ineditum:

Κάθισμα.

Ἦχος πλ. δ΄. *Τὴν σοφίαν τοῦ λόγου* (MR I,68)

Ὑπερθέου οὐσίας
τὸ ἰδικὸν
δι' ἐνθέου σοφίας

---

74 Ez. 1,25-28 78-81 Ez. 3,12-14 83-85 Ez. 1,1 ss. 88 Ez. 44,1 ss.

f. 79 ᾠδὴ ζʹ. *Οἱ ἐκ τῆς Ἰουδαίας*

Ναὸς ἔμψυχος ὤφθης
τοῦ θεοῦ θεοφόρος,
ὦ παμμακάριστε,
καὶ ναοῦ τὰς μετρήσεις
νοερῶς ἐδιδάχθης
ἀναμέλπων τῷ πνεύματι·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

Ὅλος ὡς ἐν ἐκστάσει
μετενήνεξαι πόλιν
πρὸς τὴν ἁγίαν ποτὲ
καὶ θείων μυστηρίων
ἐμυήθης ἐμφάσεις,
μελῳδεῖν διδασκόμενος·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

τιμητικὸν
χάριτι κεκλήρωσαι,
ἐν προφήταις ὁ μέγιστος,
καὶ τὴν βροτῶν ἁπάντων
γενήσεσθαι μέλλουσαν
ἐκ πολλῶν τῶν χρόνων
τεθέασαι ἔγερσιν (Ez. 37,1-14),
πύλην δὲ ἑώρας
κεκλεισμένην, δι' ἧσπερ
ἐξῆλθεν ὁ κύριος (Ez. 44,1-3),
θεοτόκον τὴν ἄχραντον,
μεθ' ἧς νῦν δυσωποῦμέν σε·
πρέσβευε Χριστῷ τῷ θεῷ,
Ἰεζεκιήλ, δωρήσασθαι τὴν ἄφεσιν
τῶν πταισμάτων ἡμῖν τοῖς ὑμνοῦσί σε.

heirm. ζʹ EE 224, n. 321, Joannis 93 μερήσεις Σο 94 ἀνεδείχθης Σο, ἀνεδάχθης Φ, qui postea corrigit ἀνεδίχθης vv. 96-97, 104-105, 112-113, 120-121 varie detruncant cdd. 99 μετανίνεξαι Σο 102 ἐμφάσεις ἐμυήθης Cp

---

93-100 Ez. 40-48

Ἱερεὺς δεδειγμένος
τοῦ θεοῦ τοῦ ὑψίστου,
ἀξιοθαύμαστε,
θυσίας τὰς δεήσεις
προσφέρεις τῷ δεσπότῃ
τοῦ λαοῦ προϊστάμενος·
ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ.

θεοτ. Σῶσαι τὴν τῶν ἀνθρώπων
ἐθελήσας οὐσίαν,
λόγος ὑπέρθεος
τῆς παρθένου τὴν πύλην
διοδεύει, τὴν φύσιν
ἐξ αὐτῆς ἐνδυσάμενος·
ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ.

f. 79v ᾠδὴ ηʹ. *Τὸν βασιλέα τῶν οὐρανῶν*

Ἱερωσύνῃ προφητικῇ,
προφητείᾳ
ἱερῶς κοσμουμένη, φαιδρύνει,
Χριστὸν τὸν ζωοδότην
ὑμνῶν εἰς τοὺς αἰῶνας.

Γονυπετοῦντα ὡς ἀγαθὸς
ὑπὲρ κόσμου
θεατὴν προσδέχου σου τῆς δόξης,
ὅπως σε ὑμνοῦμεν,
Χριστέ, εἰς τοὺς αἰῶνας.

---

109 τὰς] καὶ Q 111 προϊέμενος Pv 115 ἐθέλησας Σο 116 λόγον Pv ὑπέρθεος] ὁ ἄναρχος Ec, ὁ ὑπέρθεος Σν Φ 119 ἐδυσάμενος Φ
heirm. ηʹ EE 224, n. 321, Joannis 122 Ἱερωσύνης Cp 124 κοσμούμενος φαιδρύνεις Σν 126 αἰῶνας om. Σο 129 σου] σοι Σν 130 ὑμνῶμεν Σν v. 131 εἰς πάντας ⟨τοὺς αἰῶνας⟩ Σο

116-118 Ez. 44,2-3

Ἔρωτι θείῳ πυρποληθείς,
ἐμυήθης
ὑπὲρ νοῦν μυστήρια κραυγάζων·
« Χριστὸν ὑπερυψοῦτε,
πιστοί, εἰς τοὺς αἰῶνας ».

θεοτ. Ῥεῖθρον ἀφέσεως προϊὸν
τῆς παρθένου
καθορῶν τὸν κύριον, ἐβόας·
« σὲ ὑπερυψοῦμεν,
Χριστέ, εἰς τοὺς αἰῶνας ».

ᾠδὴ θ'. *Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ*

Αἴγλῃ διαλάμπων, προφῆτα, τῆς εὐσεβείας,
τὸν πυρὶ καὶ βάτῳ πάλαι
τῷ Μωϋσῇ ὀφθέντα
f. 80 καὶ αὐτὸς κα||τιδεῖν ἠξιώθης
σὲ μυσταγωγοῦντα τὰ ἀπόρρητα.

Ἱερεὺς ἐδείχθης καὶ μύστης καὶ νομοθέτης
καὶ προφήτης πάνσοφος
καὶ μιμητὴς δεσπότου
καὶ παθῶν κοινωνὸς χρηματίσας,
νῦν συγκληρονόμος ἀναδέδειξαι.

Ῥέουσαν πηγὴν θεοπνεύστου διδασκαλίας
σοῦ τὴν εὐκλεῆ ἔχοντες

134 κραυγάζεις Pv v. 135 σὲ ὑπερυψοῦμεν Q v. 136 om. Ec Pv Q πιστοὶ] αὐτὸν Φ, qui cetera om. εἰς πάντας . . . Σο Cp vv. 139-140 καθορῶν τοῦ κυρίου προφῆτα / ἔκραζες ὑμνεῖτε Cp 141 v. om. Ec Pv Χριστὲ] αὐτὸν Cp εἰς πάντας τοὺς . . . Σο Φ Q

heirm. θ' EE 226, n. 324, Germani, integrum in margine alia manus complevit in Cp 149 καὶ om. Cp τοῦ δεσπότου Σν Σο Φ Q Cp 150 καὶ] τῶν Σν 152 τὴν πηγὴν Φ πηγῆς Σο θεογεύστου Σν

137-139 Ez. 47,1-12 143-144 Ex. 3,2 145-146 Ez. 1,25-28

καὶ πανίερον δέλτον,
οἱ πιστοὶ τῶν ψυχῶν σωτηρίαν
πίστει ἀδιστάκτῳ ἀρυόμεθα.

τριαδ. Ὢ τῆς ἀπορρήτου καὶ θείας φωτοφανείας,
ἧς νῦν ἀπολαύων, μάκαρ,
τηλαυγέστερον βλέπεις
ἐν πατρὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα,
τὰς τρεῖς ὑποστάσεις τῆς θεότητος.

θεοτ. * [Σὺ εἶ, θεοτόκε, τὰ ὅπλα ἡμῶν καὶ τεῖχος·
σὺ εἶ ἡ ἀντίληψις
τῶν εἰς σὲ προστρεχόντων·
σὲ καὶ νῦν εἰς πρεσβείαν κινοῦμεν,
ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν].

155 ψυχῶν] πιστῶν Σο Φ Pv Cp 157-161 τριαδ. ut θεοτ. in margine indicant Φ Cp, qui cdd. cum Σο vv. 162-166 om. 157 τῆς] σῆς Φ 162-166 θεοτ. quod add. Ec Σν Pv Q, extra acrostichidem abundans et plurimis in locis ed. (cfr. IHG III, 561), expungendum puto

23 IUL.

CANON XXXI

IN SANCTOS TROPHIMUM, THEOPHILUM ET SOCIOS MARTYRES

Synaxarium 836: ..... ἄθλησις τῶν ἁγίων μαρτύρων Τ ρ ο φ ί μ ο υ Θ ε ο φ ί λ ο υ καὶ τῶν σὺν αὐτοῖς δεκατριῶν, οἵτινες διὰ τὸ μὴ εἶξαι τῷ τοῦ Διοκλητιανοῦ θελήματι καὶ ἀρνήσασθαι τὸν Χριστόν, τὰς σάρκας ξέονται καὶ λίθοις βάλλονται· εἶτα τὰ σκέλη θλασθέντες ἐν πυρὶ ἀπορρίπτονται· καὶ ἀπήμαντοι διαφυλαχθέντες τὰς κεφαλὰς ἀποτέμνονται.

Vallic. gr. E 55	=	Ec, ff. 89^{v}-92
Sinait. gr. 625	=	Σν, ff. 112^{v}-115^{v}
Athon. Xenoph. 6	=	Xe, ff. 93-97
Paris gr. 13	=	Q, f. 344^{rv}
Paris. gr. 245	=	Px, pp. 230-233
Paris. gr. 1575	=	Pv, f. 169^{rv}

Ὁ κανών.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἄισομαί σοι, κύριε ὁ θεός μου,*
ὅτι διήγαγες λαὸν

Ἄισομαί σοι, κύριε ὁ θεός μου,
ὅτι ἀνέτειλας ἡμῖν
ἡμέραν εὐφρόσυνον
τὴν πλάνην σκεδάζουσαν,
τὴν μνήμην τῶν μαρτύρων σου.

tit. nomen auctoris om. Ec Pv, sigla Γερμανοῦ in rubrica refert Σν, nomen Ἀνδρέου Κρήτης in margine Xe praebet, sigla Ἰγνατίου in margine Q, sigla Θεοδώρου Στουδίτου legimus in margine in Px

heirm. α' EE 103, n. 146, Germani, integer refertur in Xe Q, tantum primum v. in Σν Px Pv   heirm. 1 Ἄσωμέν σοι Xe   2 διήγαγες] ἐξήγαγες EE Xe, ὁδήγησας Q   vv. 1-5 post vv. 6-10 tradit unus Ec, ceteri cdd. sic ut referimus troparia praebent   5 τῇ μνήμῃ Σν Q Px Pv

Ἥλιος ἐξέλαμψας ἐν τῷ κόσμῳ,
ἐν τῷ τῆς πίστεως φανείς,
μάρτυς, στερεώματι,
ἐν ᾗ περιήστραψας
τοῖς ἄθλοις σου τὰ πέρατα.

f. 90 ‖ Αἱμασί σου ἤρδευται χρυσορρείθροις
ἡ θρεψαμένη σε πατρίς,
μακάριε Τρόφιμε,
τροφὴν ἀδαπάνητον
τοὺς ἄθλους σου ἐσθίουσα.

Ἅγιος ὁ πείσας τοὺς ἀθλοφόρους
ποινὰς βασάνους ἐνεγκεῖν
ὑπὲρ τῆς ἀγάπης σου·
εὐχαῖς αὐτῶν, κύριε,
περίσωζε τὴν ποίμνην σου.

τριαδ. * Τριάδα δοξάσωμεν ὀρθοδόξως
σὺν τῷ πατρὶ καὶ τὸν υἱὸν
καὶ πνεῦμα τὸ ἅγιον,
τὴν μίαν θεότητα,
μονάδα τρισυπόστατον.

θεοτ. Ἄγγελος τὰ μνῆστρά σοι οὐρανόθεν
τῆς πρὸς θεὸν συναλλαγῆς,
παρθένε, ἐκόμισεν,
καὶ κόσμος ἐκρότησε
χαρᾶς τὰ εὐαγγέλια.

6 Ὡς ἥλιος ἔλαμψας Σν   τῷ om. Px   7 φανείς] πηχθείς Q   11-15 troparium om. Px Pv   11 ἤρδευσε Q   13 Τρόφημε Ec, ubi nomen semper sic scriptum legimus   15 τοὺς ἄθλους ἑστιῶσα σου Σν Xe   ἐσθίουσα] κατέχουσα Q   16-20 troparium unus Ec refert, om. ceteri cdd.   21-25 τριαδ., ed. TR 409, om. Σν Q   22 τῷ om. Px   καὶ] τὲ Ec   καὶ om. Pv   26-30 pro hoc aliud θεοτ. substituit Σν, inc.: Ὁ θεὸς ὁ ἅγιος ἐπεφάνη, ed. MR II, 351   29 κόσμῳ Xe   κόσμον ἐκράτησε Q

26-28 Luc. 1,26 ss.

ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι θεός,
ὁ θανατῶν καὶ ζωογονῶν

Ἴδετε, ἴδετε
ὅτι ἐγώ εἰμι θεός,
ὁ τοὺς ἐμοὺς δείξας ἀθλητὰς
πνευματικῇ δυναστείᾳ
γενναίους στρατιώτας,
τὴν πολυκέφαλον πλάνην πορθοῦντας
καὶ κρατύνοντας τὰς φρένας τῶν πιστῶν.

Πρόβατον γέγονας
τοῦ ἀρχιποίμενος Χριστοῦ,
διὰ πυρός, Τρόφιμε σοφέ,
προσενεχθεὶς αὐτῷ ζῶσα
εὐπρόσδεκτος θυσία,
ὅθεν ὀσμῆς εὐωδίας πληροῦται
καὶ ὁ χῶρος ὁ τὸ σῶμά σου λαβών.

Ξένον τὸ θέαμα,
ὅτι τὸν λύκον εἰς ἀρνὸν
μεταβαλών, Τρόφιμε σοφέ,
μάρτυρα δέδειχας μέγαν
φερώνυμον τῇ κλήσει,
σὺν τοῖς τρισκαίδεκα ἄλλοις χορεύων
πρὸ προσώπου τοῦ θεοῦ ἐν οὐρανοῖς.

Αἵματα αἵμασιν
ἀναμιγνῦντες, ἀθληταί,
τὸν νοητὸν τούτοις Φαραὼ
κατεποντίσατε, πάντες

---

odem β' tantum Ec et Σν tradunt, om. ceteri cdd.
heirm. β' EE 105, n. 148, Andreae 43 ὀσμὴν Ec 44 χῶρος] τόπος Σν 46 ἄρνα Ec 48 μέγα Ec 50 τοῖς om. Ec 52-58 troparium om. Σν 55 πάντας Ec

---

41-42 Cfr. Rom. 12,1; I Petr. ep. 2,5 43 Philip. 4,18 54 ss. Ex. 14,22 ss.

εἰς γῆν ἀθανασίας
διεξελθόντες καὶ ᾆσμα κυρίῳ
ἐπινίκιον ἐξᾴδοντες ἀεί.

τριαδ. Μίαν θεότητα
τρισὶ προσώποις ἀνυμνῶ,
οὐ διαιρῶν τὸ μοναδικὸν
τῆς φυσικῆς συναφείας,
ἀλλ' οὔτε συναλείφων
τὸ ἰδιάζον ἑκάστῳ· πατὴρ γάρ,
ὁ υἱὸς καὶ πνεῦμα ταῦτα γάρ ἐστιν.

θεοτ. Ἄσπορον σύλληψιν
καὶ τοκετὸν παρθενικὸν
ὁρῶν ἐν σοί, ἄχραντε ἁγνή,
οὐχ ἑρμηνεύω τὸν τρόπον,
f. 90v οὐ φέρω || ἐκλαλῆσαι·
τὸ δὲ μυστήριον πίστει δοξάζω,
θεοτόκον προσκυνῶν σε ἀληθῆ.

ᾠδὴ γ'. ***Ἐν κυρίῳ θεῷ μου***
ἐστερεώθη ἡ καρδία μου,
διὸ οἱ ἀσθενοῦντες
περιεζώσαντο δύναμιν.

Ἐν σταδίῳ ὁ μάρτυς
σὺν τοῖς συνάθλοις αἰκιζόμενος,
ἠγάλλετο προβλέπων
τὴν ἀνεκλάλητον ἀντάμειψιν.

Ἐκρυέν σου τὸ αἷμα
τὴν ἀθεΐαν ἀπετέφρωσεν,
πυρσὸν θεογνωσίας
ἀνάψαν ἅπασιν, Τρόφιμε.

59-65 τριαδ. om. Σν 71 δοξάζων Σν 72 προσκυνῶ Σν
heirm. γ' EE 104, n. 146, Germani, integrum praebent Ec Xe Q 76 ἀντάμειψιν] ἀνάπαυσιν Ec, ἄμειψιν Q 78 ἀπετέφρωσας Σν 79 πυρὸς Px, πυρσὸς Pv 80 ἀνάψας Xe Px Pv ἀναλάμψαν πᾶσι Q

Ὡς ἀστέρες ἐν μέσῳ
ἥλιον ἔχοντες τὸν μάρτυρα,
ἠμαύρωσαν τὴν πλάνην
οἱ ἀθλοφόροι σου, κύριε.

τριαδ. Τρισυπόστατον φύσιν,
ὁμοβασίλειον θεότητα,
πατέρα προσκυνοῦμεν,
υἱὸν καὶ πνεῦμα τὸ ἅγιον.

θεοτ. Ἐν μητράσι παρθένος
καὶ ἐν παρθένοις μήτηρ πέφηνας,
ἐν ᾧ καὶ καταπλήττεις
πᾶσαν διάνοιαν, ἄχραντε.

ᾠδὴ δ'. *Εἰσακήκοα, ὁ θεός,*
τὴν ἀκοήν σου

Εἰσακήκοα, ὁ θεός,
τὴν τῶν μαρτύρων
στερρὰν ἀνδρείαν,
ἣν ἀθλοῦντες ἐπεδείξαντο
ὑπὲρ τῆς ἀγάπης σου
καὶ ἐκπλαγεὶς δοξάζω σε, μόνε σωτήρ.

Τῷ τῆς πίστεως θυρεῷ
συμπεφραγμένος
ὁ μέγας μάρτυς
καὶ τὴν μάχαιραν τοῦ πνεύματος
νοητῶς θηξάμενος,
τὰς κεφαλὰς διέκοψε τῶν ἀσεβῶν.

81-84 troparium om. Px Pv   85-88 τριαδ. om. Σν Q   88 τὸ πανάγιον Ec   92 πανάχραντε Σν
post odem γ' referunt Xe Q Px κάθ. quod hic post odem ς' refertur heirm. δ' EE 107, n. 150, Andreae, integer legitur in Xe Q   93-98 troparium om. Σν   96 ἀνθλοῦντες Xe ὑπεδέξαντο Q   98 σῶτερ Ec   99-104 troparium om. Pv   v. 101 ὁ μάρτυς ὄντως Σν   103 δραξάμενος Σν

102-104 Cfr. Ps. 151,7

Ὡραιότητι ἀρετῶν
κεκοσμημένος
ὁ μέγας μάρτυς,
καὶ τῷ γήρει στεφανούμενος,
τὸν διώκτην ᾔσχυνεν,
ὑπὲρ Χριστοῦ ἑλόμενος πῦρ καὶ σφαγήν.

Ἐκκλασθέντων σου τῶν σκελῶν
ὑπὸ δημίων,
τὸν δῆμον ἔσχες
τῶν ἀγγέλων εὐφημούντων σε,
ἀθλητὰ Θεόφιλε,
ὥσπερ ἀμνὸς τὸ πνεῦμά σου δοὺς τῷ θεῷ.

τριαδ. * Ἐν μιᾷ οὐσίᾳ ὑμνῶ
τρεῖς ὑποστάσεις
τῆς θεαρχίας
τοῦ πατρός, υἱοῦ καὶ πνεύματος,
ὅτι μία ἔλλαμψις
τῆς τρισηλίου φύσεως εἷς γὰρ θεός.

θεοτ. * Ἡ παρθένος, πῶς γαλουχεῖς;
πῶς τοῖς μητρῴοις
τοκεύεις νόμοις;
ὅτι ὅνπερ ἀπεκύησας
σαρκωθεὶς θεός ἐστιν,
καινοτομῶν τὴν φύσιν ὡς οἶδεν αὐτός.

105-110 troparium om. Px   vv. 106-107 ὁ μέγας μάρτυς κεκοσμημένος Q   108 γήρα Σν Pv   110 πῦρ καὶ σφαγὴν] θάνατον Ec Σν   111-116 troparium om. Q Px Pv   111 Συντριβέντων Σν σκελῶν] μελῶν Xe   112 δημίου Xe   114 εὐφημοῦντά σε Σν σε] σου Ec   116 ἀρνὸς Xe   117-122 τριαδ., ed. in MR V, 177, om. Σν Q   122 γὰρ] ὁ MR   123-128 θεοτ. ed. in MR V, 177   125 λοχεύεις Σν MR   126 ἀπεκύησα Xe

f. 91 || ᾠδὴ ε′. *Τὸ ζοφερὸν διάλυσον*
τῆς ἀγνωσίας μου
ἐν τῷ ἀνατεῖλαί σε
ὄρθρον φαεινὸν ἐν τῇ καρδίᾳ μου
τῶν ἐντολῶν σου, κύριε,
τὸ ἀπρόσιτον φῶς.

Τὸ ζοφερὸν διέλυσας
τῆς ἀθεότητος
τοῖς λαμπροῖς κηρύγμασι
τῆς θεολαμποῦς ὁμολογίας σου,
ἐχθροὺς αἰσχύνας, Τρόφιμε
ἀθλητὰ τοῦ Χριστοῦ.

Ὅτι θεὸν πεφίληκας,
μάρτυς Θεόφιλε,
φερωνύμως, ἔδειξας
τὴν θεοστυγῆ ὀλεθριότητα
φυγάδα, μάρτυς ἄριστος
τοῦ Χριστοῦ γεγονώς.

Ἐκ τοῦ οἰκείου αἵματος
περιβαλλόμενοι
ἁλουργὸν ἀξίωμα,
ἐν τοῖς οὐρανοῖς συμβασιλεύετε
θεῷ τῶν ὅλων, μάρτυρες,
ὡς αὐτοῦ μιμηταί.

τριαδ. Ἰσοκλεής, ἰσότιμε,
τριὰς συνάναρχε,
πάτερ ὁ ἀγέννητος,

heirm. ε′ EE 110, n. 153, Theodori Studitae, integrum tradunt Ec Σν Xe Q Pv, tantum duo vv. Px   heirm. 2 ἀγνωσίας] ἁμαρτίας EE Σν Xe Q, διανοίας Px Pv   μου om. Px   3 ἀνατέλλειν EE Xe   σε] μοι EE   129 Τὸν Xe   132 θεολαμποῦς om. Σν   135-140 troparium om. Σν   140 τοῦ θεοῦ Q   141-146 troparium om. Pv   142 περιβαλλόμενος Ec   144 συμβασιλεύεται Ec   vv. 145-146 χριστῷ τῷ γεννηθέντι μάρτυρες / ἐκ παρθένου ἁγνῆς Q   146 ὡς] καὶ Ec   147-152 τριαδ. om. Σν Q

γεννητὲ υἱὲ καὶ πνεῦμα ἅγιον,
σὺ εἶ θεός μου, κύριε,
τὸ ἀπρόσιτον φῶς.

θεοτ. Τὴν ἐν παρθένοις τίκτουσαν
καὶ ἐν μητράσιν ἁγνήν,
Μαριάμ, ὑμνοῦμέν σε
τοῦ θεοῦ ἀμίαντον κειμήλιον,
ἐξ οὗ προῆλθε κύριος
ὁ σωτὴρ τοῦ παντός.

ᾠδὴ ς′. *Τῶν πταισμάτων τῇ ζάλῃ*

Ἐν τοῖς λίθοις καὶ ξύλοις
συντριβόμενοι,
οὐχ ὑπεμείνατε θραῦσιν
ὅλως πίστεως,
ἀλλ᾽ ὀλετῆρες, μάκαρες,
γεγόνατε
τῶν εἰδωλομανούντων,
ἄραντες νίκης τὰ βραβεῖα.

Ἐπηρμένος ἐφ᾽ ὕψους
καὶ ξεόμενος,
τὴν τῶν εἰδώλων μανίαν
ἐστηλίτευσεν
ὁ θεολόγος Τρόφιμος,
θρεψάμενος
τῶν πιστῶν τὰς καρδίας
δόγμασιν ἀειζωοπαρόχοις.

150 υἱὲ om. Px   v. 152 καὶ τὸ ἀπρόσιτον φῶς Px   153-158 θεοτ. om. Q   155 μαρία Ec   157 ἐκ σοῦ Σν

heirm. ς′ EE 110, n. 153, Theodori Studitae, integer legitur in Σν Xe Q: Τῶν πταισμάτων τῇ ζάλῃ / βυθιζόμενος / ὡς ἐκ κοιλίας (ἐν κοιλίᾳ EE Q) τοῦ κήτους / συνεχόμενος / σὺν τῷ προφήτῃ κράζω σοι / ἀνάγαγε / ἐκ φθορᾶς τὴν ζωήν μου (μου om. EE), / κύριε, καὶ διάσωσόν με (σῶσόν με Σν)   163 μάκαρες] μάρτυρες Σν Q Px   167-174 troparium om. Pv   167 Ὑπηρμένος Xe   170-171 ἐστηλίτευσας / ὦ θεολόγε τρόφημε Ec   171 ὁ θεοφόρος τρόφιμος Σν   172 δρεψάμενος Px   174 ἀειζωοπαρόχος Σν, ἀξιοπαρόχοις Xe

Τοὺς ἀστέρας τοῖς ἄθλοις
ὑπερλάμποντες,
τῆς ἀπιστίας τὸν ζόφον
διελύσατε,
ἡμέραν διαυγάσαντες
σωτήριον,
ἐν ᾗ σώζεσθαι ἡμᾶς
εὔχεσθε, μάρτυρες κυρίου.

τριαδ. Ὁμοβασίλειε σύμμορφε
τριὰς ἄναρχε,
ἰσοκλεὴς τρισυπόστατε
μονὰς ἄτμητε,
θεότης ὑπερούσιε,
πάτερ, υἱὲ
καὶ τὸ ἅγιον πνεῦμα,
σὲ ὑμνεῖ ἅπασα ἡ κτίσις.

f. 91v θεοτ. * ‖ Ὑπερφυής σου ὁ τόκος,
ὅτι ἄσπορος,
μητροπρεπῶς πάλιν τίκτεις
νόμῳ φύσεως·
παναληθῆ ἀμφότερα·
φιμούσθωσαν
αἱ λυσσώδεις αἱρέσεις
ἐπὶ σοί, θεοτόκε ἁγνή.

Κάθισμα.

Ἦχος α'. *Τὸν τάφον σου, σωτήρ,*

Γενναίῳ λογισμῷ
ὑπελθὼν τὰς βασάνους
καὶ νίκην κατ' αὐτῶν

175-182 troparium om. Px   180 σωτήριοι Xe   183-190 τριαδ. om. Σν Q   191-198 θεοτ. ed. MR V, 178   192 ἀσπόρως MR   194 φυήσεως Pv   197 γλωσσώδεις MR   198 ἁγνὴ Θεομῆτορ MR

κάθ. ante canonem refert Σν (f. 112), post odem γ' Xe Q Px

heirm. καθ. PeR 59   σῶτερ Ec: pro hoc heirm. praebent Σν Xe: *Χορὸς ἀγγελικὸς* (cfr. pp. 62,255)

κομισάμενος, μάκαρ,
τὸν λύκον μετέβαλες
εἰς ἀρνὸν θείᾳ χάριτι
καὶ συνέπεισας
τοῦ συναθλῆσαί σοι πίστει,
ὅθεν ἅπαντες
χαρμονικῶς σε τιμῶμεν,
πανένδοξε Τρόφιμε.

ᾠδὴ ζ'. *Πῦρ φλέγον ἐν καμίνῳ*
ἐξετινάσσετο,
παῖδες ἐδροσίζοντο

Σαρκὸς καταφρονούντων
τῶν ἀθλοφόρων σου,
ἄγγελοι ἐθαύμαζον
καὶ βροτοὶ ἀνέκραζον·
« εὐλογητὸς εἶ, ὁ μόνος
ὑπάρχων θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ὑψηλὸς ὁ βραχίων
τῆς δυναστείας σου·
ταύτῃ συνετρίβησαν
οἱ ἐχθροί σου, κύριε,
τελειωθέντων ἐν πίστει
μαρτύρων τῶν σῶν
ἐν βασάνοις πικραῖς.

Οἱ μὲν λιθολευστοῦνται
τῶν ἀθλοφόρων σου,

5 κατέβαλες Px   6 ἀρνίον Σν   7 συνήσπισας Q

heirm. ζ' EE 105, n. 147, Andreae, integrum invenimus in Xe Q, tantum primum v. legimus in Σν Px Pv   202 ἐκραύγαζον Ec Σν   vv. 203-205 εὐλογητὸς εἶ ὁ μόνος ὑπερένδοξος Xe   205 v. om. Σν Px   ὁ om. Q Pv   vv. 210-212 minime leguntur in Q   211 σῶν bis repetit Σν   212 πικροῖς Ec Pv   213-219 troparium om. Σν Q Pv

ἄλλοι κατακαίονται,
σὺν αὐτοῖς δὲ Τρόφιμος
τελειωθείς, σὲ ἀνύμνει
ὑπάρχειν θεὸν
τῶν πατέρων ἡμῶν.

τριαδ. * Τρισήλιε θεότης
ὁμοβασίλειε,
ἄναρχε ἀΐδιε
πάτερ, υἱὲ καὶ πνεῦμα,
εὐλογητὸς εἶ, ὁ μόνος
ὑπάρχων θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

θεοτ. * Ὢ φρικτοῦ μυστηρίου,
ὢ ξένου θαύματος·
πῶς καὶ μήτηρ πέφηνας
καὶ παρθένος ἔμεινας,
εὐλογημένη ἡ μόνη
τεκοῦσα θεὸν
τῶν πατέρων ἡμῶν.

ᾠδὴ η′. *Πάντα τὰ ἔργα τοῦ θεοῦ*

Στῦλος ἐδείχθης νοητός,
ὑποστηρίζων
τοὺς συνάθλους σου, Τρόφιμε,

218 θεὸς Ec   219 τὸν τῶν πατέρων ἡμῶν Xe   220-226 τριαδ. ed. MR V, 178, om. Σν Q Px   223 καὶ τὸ πνεῦμα Xe   226 ὁ om. Pv   227-233 θεοτ., ed. MR V, 178, minime legitur in Q   231 ἡ] σὺ MR   232 θεὸν] ἡμῖν MR   233 τὸν τῶν πατέρων ἡμῶν Xe, τὸν τῶν Πατέρων Θεὸν MR
heirm. η′ EE 107, n. 150, Andreae, integrum invenimus in Xe, cuius variae lectiones melius aptantur metro tropariorum: Πάντα τὰ ἔργα τοῦ θεοῦ / καὶ πᾶσα κτίσις, / εὐλογεῖτε τὸν κύριον, / ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, / ὑμνεῖτε αὐτὸν / καὶ ὑπερυψοῦτε / εἰς πάντας τοὺς αἰῶνας (ὑμνεῖτε καὶ ὑπερυψοῦτε / αὐτὸν εἰς τοὺς αἰῶνας EE)   vv. 234-243 minime leguntur in Q   234 νοητῶς Xe Px

234 Ex. 13,21-22

ὤλεσας τῶν ἀσεβούντων τὰ θράση
τῇ πίστει Χριστοῦ,
ὃν ὑπερυψοῦμεν
ἀεὶ εἰς τοὺς αἰῶνας.

Φαιδρῷ προσώπῳ ἐπιστὰς
ἐν τῷ σταδίῳ,
τοὺς ἀνόμους ἐξέπληξας,
ἔδειξας περιχαρές σου τὸ πάθος
ὑπὲρ τοῦ Χριστοῦ,
ὃν ὑπερυψοῦμεν
ἀεὶ εἰς τοὺς αἰῶνας.

Σφαῖρα πολύαστρος ὀφθείς,
τῶν ἀθλοφόρων
ὁ θεόλεκτος σύλλογος
ηὔγασε θεοπτικῶς τοῖς ἐν κόσμῳ
τὴν πίστιν Χριστοῦ,
ὃν ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

92 τριαδ. * ‖ Τὸν ἄναρχον πατέρα καὶ υἱὸν
σὺν τῷ ἁγίῳ
ἀνυμνήσωμεν πνεύματι,
τριάδα ὁμοούσιον, μίαν
ἀρχὴν καὶ θεὸν
αἰνοῦντες, ὑμνοῦντες
αὐτὴν εἰς τοὺς αἰῶνας.

θεοτ. Πᾶσά σε γλῶσσα γηγενῶν
ὑμνεῖ, παρθένε,

238 τῇ πίστει] τῷ πόθῳ Σν   Χριστοῦ om. Px   240 v. om. Σν Pv   ἀεὶ εἰς] εἰς πάντας Xe Px   αἰῶνας om. Px   241 Φαιδρῷ τῷ προσώπῳ Σν Px Pv   244 περιχαρῶς Σν   245 ὑπὲρ τοῦ om. Q   τοῦ om. Xe   247 v. om. Σν Xe Px Pv   ἀεὶ] αὐτὸν Ec   248-254 troparium om. Q Px Pv   251-252 τοῖς usque ad Χριστοῦ] τὴν πίστιν χριστοῦ τοῦ θεοῦ Ec, τοὺς ἐν κόσμῳ τῇ πίστει χριστοῦ Σν   254 v. om. Ec Σν Xe   255-261 τριαδ., ed. TR 411, om. Σν   260-261 αἰνοῦντες αὐτὴν εὐσεβῶς εἰς τοὺς αἰῶνας Ec   262 γηγενῶν] τῶν βροτῶν Σν, γηγενοῦς Px Pv

ὅτι φῶς τὸ ἀπρόσιτον
ηὔγασας φωταγωγοῦντα τὸν κόσμον
Χριστὸν τὸν θεόν,
ὃν ὑπερυψοῦμεν,
ἁγνή, εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ′. *Σὲ τὴν ἀπειρόγαμον θεοτόκον,*
τὴν οὐράνιον παστάδα,
τὴν τεκοῦσαν τὸν ἀρχηγὸν
τῆς σωτηρίας ἡμῶν
ὕμνοις μεγαλύνομεν.

Σὲ τὸν διανύσαντα θαυμασίως
τῆς ἀθλήσεως τὸν δρόμον
καὶ στεφθέντα νικητικῶς
παρὰ Χριστοῦ, ἀθλητά,
ὕμνοις μεγαλύνομεν.

Σὲ τὸν θεοφάντορα ἀθλοφόρον,
ὡς ἡγήτορα δειχθέντα
τῶν συνάθλων μωσαϊκῶς
πρὸς τὴν ἀγήρω ζωήν,
ὕμνοις μεγαλύνομεν.

Χορὸς ἀξιόθεος τῶν μαρτύρων,
ὡς νικήσαντες τὴν πλάνην
καὶ στεφάνους παρὰ θεοῦ
ἀπειληφότες λαμπρούς,
εὔξασθε σωθῆναι ἡμᾶς.

---

265 ηὔγασεν Ec φωταγωγοῦν Σν Q: φωταγωγοῦντα potius quam φωταγωγοῦν metri causa: cfr. etiam MITSAKIS, 158-159 τὸν κόσμον om. Px 268 v. om. Σν Px ἁγνὴ] ἀεὶ Ec Q αἰῶνας om. Ec Q

heirm. θ′ EE 97, n. 137, Joannis, integrum praebent omnes cdd. heirm. 3-4 τὴν usque ad ἡμῶν] καὶ πηγὴν τῆς σωτηρίας ἡμῶν Ec 269 διανοίσαντα Ec Σν 270 τὸν om. Q vv. 271-272 καὶ στεφθέντα παρὰ χριστοῦ τοῦ θεοῦ ἀθλητὰ Ec 272 παρὰ χριστοῦ τοῦ θεοῦ (χριστοῦ supra lineam add.) Σν, qui ἀθλητὰ om. ἀθληταὶ Px 274-278 troparium om. Px 276 τῶν ἄθλων Q 279-283 troparium om. Pv 282 ἀπειληφῶτας Ec λαμπρῶς Σν 283 τοῦ σωθῆναι Σν Px

---

269-272 Cfr. II Tim. 4,7-8

τριαδ. Σὲ τὴν τρισυπόστατον μονάδα
καὶ ἀδιαίρετον οὐσίαν
τὸν πατέρα, υἱὸν
καὶ πνεῦμα ἅγιον
ὕμνοις μεγαλύνομεν.

θεοτ. Σὲ τὴν βάτον ἥνπερ Μωσῆς προεῖδε
καιομένην καὶ μὴ φλεχθεῖσαν,
τὴν τὸ πῦρ δεξαμένην
τῆς θεότητος
ὕμνοις μεγαλύνομεν.

284-288 τριαδ. om. Σν Q 286 καὶ υἱὸν Xe 287 τὸ ἅγιον Px 289 ἥνπερ] ἣν Ec Σν Q μωϋσῆς Px Pv προεώρα Σν

289-290 Ex. 3,2

IN SANCTUM MARTYREM APOLLINAREM, EPISCOPUM RAVENNAS

Synaxarium 835: ..... τῶν ἁγίων ἱερομαρτύρων Ἀ π ο λ λ ι ν α ρ ί ο υ καὶ Βιταλίου ἐπισκόπων Ῥαβέννης.

Mess. gr. 140 = O, ff. 170v-174

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Τὸν μέγαν ἱεράρχην Ἀπολινάριον τιμήσωμεν.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν*

Τὸ πνεῦμα τὸ ἅγιον ἐν ἡμῖν
ἐλθέτω, σωτήρ μου,
καὶ παράσχῃ μοι τῆς ᾠδῆς
τὸν λόγον ὑμνῆσαι ἐπαξίως
τὸν ἱεράρχην τε καὶ μάρτυρα.

Ὁ Πέτρος ἡ πέτρα τῆς ἐκλογῆς
τῇ πίστει στηρίξας,
χειροθετήσας σε ἐν Χριστῷ
ἐκπέμπει, Ῥαβέννη⟨ς⟩ ἱεράρχα
Ἀπολινάριε πανίερε.

---

tit. acrostichidem in rubrica refert cd.
heirm. α' EE 220, n. 315, Joannis   9 ῥαβέννη cd.

6-10 *Μαρτύριον τοῦ ἁγίου καὶ ἐνδόξου ἱερομάρτυρος Ἀπολιναρίου ἐπισκόπου Ῥαβέννης*, ex cd. Mess. gr. 29, f. 134, I col.: Ἐν ταῖς ἡμέραις Κλαυδίου καίσαρος, παραγενομένου ἀπὸ Ἀντιοχείας Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων ἐν τῇ παλαιᾷ Ῥώμῃ, καὶ σὺν αὐτῷ πλεῖστοι χριστιανοὶ διακονοῦντες αὐτῷ παρεγένοντο ..... ἦν

Ναὸν κατεσκεύασας σεαυτὸν
Ἰησοῦ τῷ κτίστῃ,
τῶν θαυμάτων χάριν λαβών,
προσηῦξας κυρίῳ διὰ λόγου
ζηλοτυποῦντα λαὸν ἔνθεον.

Μαρτύρων τὸ κλέος ὡς ἀληθῶς,
ποιμένων ὁ πρῶτος
καὶ διδάσκαλος ἐν Χριστῷ,
Ῥαβέννης ἐδείχθης ἱεράρχης,
Ἀπολινάριε πανένδοξε.

Εὐφραίνου, τὸ σύστημα τῶν πιστῶν,
ἐνθέως κρατοῦντα
τὰ διδάγματα τοῦ σοφοῦ
ποιμένος καὶ θείου ἱεράρχου,
ὡς ἀληθῶς τοῦ Χριστοῦ μάρτυρος.

θεοτ. * Τάξεις σε ἀγγέλων καὶ τῶν βροτῶν,
ἀνύμφευτε μήτηρ,
εὐφημοῦσιν ἀνελλιπῶς·
τὸν κτίστην γὰρ πάντων ὥσπερ βρέφος
σωματωθέντα ἡμῖν τέτοκας.

---

22 κρατοῦντα pro κρατοῦν: cfr. MITSAKIS, 158-159   26-30 θεοτ. ed. in MR I, 306 et alibi: cfr. IHG IV, 18

γὰρ ὁ μακάριος Ἀπολινάριος μαθητὴς τῷ τῶν ἀποστόλων κορυφαίῳ Πέτρῳ. ὃς ἀπόστολος μετ' οὐ πολὺν χρόνον λέγει Ἀπολιναρίῳ τῷ μαθητῇ αὐτοῦ· « ἰδού, ἀδελφέ, ἔγνωκας καὶ ἐπιστώθης περὶ πάντων ὧν ἐποίησεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ ὧν ἔπαθεν διὰ τὴν σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων. ἀνάστηθι, λάβε πνεῦμα ἅγιον ἅμα καὶ τὴν ἱερωσύνην καὶ πορεύου εἰς πόλιν καλουμένην Ῥαβέννην (ῥαβέννα cd.)· ἐκεῖ γὰρ κεῖται πλῆθος λαοῦ κἀκεῖ κήρυξον περὶ τοῦ ὀνόματος τοῦ κυρίου Ἰησοῦ ἀφόβως. σαφῶς γὰρ ἐπίστασαι ὡς ἀληθῶς θεοῦ ἐστὶν υἱός, ὁ τοῖς | (II col.) νεκροῖς τὴν ζωὴν δωρησάμενος καὶ τοῖς ἀσθενέσι πᾶσι τὴν ἴασιν λόγῳ παρεχόμενος ». ποιήσας οὖν εὐχὴν ὁ μακάριος ἀπόστολος Πέτρος ἐπιθεὶς τε τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, χειροτονήσας ἀρχιερέα, εἶπεν αὐτῷ· « ἀποστείλῃ κύριος Ἰησοῦς Χριστὸς τὸν ἄγγελον αὐτοῦ πρὸ προσώπου σου, ὃς ἑτοιμάσῃ τὴν ὁδόν σου καὶ πάντα τὰ ἑτοῖμα τὰ σοῦ παράσχῃ σοι ». καὶ ἀσπασάμενος αὐτὸν ἀπέλυσεν. [= *Passio* latina, 1-2, AA.SS. Iulii V, 344-345].

f. 171 || ᾠδὴ γ'. *Σὺ εἶ τὸ στερέωμα*

Γέγονας, πανίερε,
τῇ ἐκλογῇ Χριστοῦ στήριγμα,
ποιμὴν σοφός,
τοὺς πεπλανημένους
ἐπιστρέφων πρὸς γνῶσιν θεοῦ.

Ἄισμασιν ὡς ἄνθεσι
τὴν κορυφὴν τὴν σὴν στέφομεν
οἱ ὑπὸ σοῦ
πάλαι διδαχθέντες
τῇ τριάδι λατρεύειν πιστῶς.

Νῦν δεῦτε ἐν ᾄσμασιν
ἐπὶ τῇ μνήμῃ τοῦ μάκαρος
καὶ ἀθλητοῦ
Ἀπολιναρίου
εὐφρανθῶμεν ἐν πνεύματι.

Ἱερὰ πανήγυρις
τοὺς φιλεόρτους νῦν ἅπαντας
πρὸς τὴν σεπτὴν
μνήμην συγκαλοῦσα,
ἐπαξίως προτρέπεται.

Ἔτρεψας ἀσέβειαν
εἰδωλικήν, λαοὺς ἤγρευσας,
διὰ τῆς σῆς,
μάκαρ, διαγγέλλων
τοῦ Χριστοῦ τὴν ἐπίγνωσιν.

θεοτ. * Σὲ πάντες κεκτήμεθα
καταφυγὴν καὶ τεῖχος ἡμῶν,
χριστιανοὶ
σὲ δοξολογοῦμεν
ἀσιγήτως, ἀνύμφευτε.

---

heirm. γ' EE 224, n. 321, Joannis alibi: cfr. IHG III, 467 56-60 θεοτ. ed. MR I 306 et

Κάθισμα.

Ἦχος γ'. *Θείας πίστεως*

Πλάνην ἔσβεσας
τῆς ἀσεβείας
καὶ ἐτράνωσας Χριστοῦ τὴν πίστιν,
ἱερομάρτυς Ἀπολινάριε ἔνδοξε,
τῶν δὲ πιστῶν τὰς καρδίας ἐφώτισας
. . . .
θείας γνώσεως·
διὸ τῷ σωτῆρι πρέσβευε
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

ᾠδὴ δ'. *Εἰσακήκοα, κύριε,*
τῆς οἰκονομίας σου τὸ μυστήριον

Ῥιζωθεῖσαν εὐσέβειαν
f. 171v ἐκ τῆς συνεχοῦς σου, || μάκαρ, ἐντεύξεως,
μεταβέβληκας πρὸς ἔνθεον
ἀρετῆς εἰκόνα διὰ πίστεως.

Ἀπεκρούσω τοῦ ἄρχοντος
καὶ τῶν μιερέων πᾶσαν ἀσέβειαν
καὶ ἐκήρυξας τὸν ἕνα θεὸν
ἐκ παρθένου σάρκα προσλαβόμενον.

---

heirm. καθ. HR 148 6 v. deest
heirm. δ' EE 225, n. 322, Cosmae 62 σου] του cd.

65-68 *Ibid.*, f. 136, I col.: τοιγαροῦν ἐμηνύθη ταῦτα τῷ καίσαρι ἀπὸ τῶν ἑλλήνων, ὡς ἀνήρ τις ἀπὸ Ἀντιοχείας ἐλθών, ... εἰσήγαγε τὸ ὄνομα Ἰησοῦ τοῦ ἑβραίου ἐν τῇ πόλει Ῥαβέννης. . . . . | (II col.) . . . . . ταῦτα τοῦ καίσαρος ἀκηκοότος, γράφει Μεσσαλινίῳ τῷ βικαρίῳ αὐτοῦ, ὅπως ἀκριβῶς καταμάθῃ εἰ οὕτως ἔχει καὶ τὸν ἐγχειρητὴν τοῦ τοιούτου δράματος ἢ τοῖς θεοῖς ὑποκλίνῃ καὶ λατρεύσῃ ἢ μακρὰν ἐν ἐξορίᾳ ἀποπέμψηται. δεξάμενος οὖν τὴν ἐπιστολὴν ὁ βικάριος, μετεκαλέσατο τὸν ἅγιον καὶ λέγει αὐτῷ παρουσίᾳ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων τοῦ καπετωλίου· « τί σου τὸ ὄνομα; ». ὁ ἅγιος ἀπεκρίνατο· « Ἀπολινάριος ». ὁ βικάριος εἶπεν· « πόθεν ὧδε παραγέγονας; ». ὁ δὲ ἀπεκρίνατο· « ἀπὸ Ἀντιοχείας ». Μεσσαλίνιος ὁ βικάριος εἶπεν·

Ῥεῖθρα ἔνθεα ἔβλυσαν
ἐκ τῆς σῆς καρδίας, μάρτυς, καὶ θαύματα,
τῷ μὲν λόγῳ ἐξιστῶν τοὺς λαούς,
τῷ δὲ ἔργῳ πάντας καταρδεύοντα.

Χριστοκῆρυξ ἐφώτισας
τὸν ἀπὸ ὀμμάτων τυφλὸν ὑπάρχοντα
καὶ προσῆξας τῷ βαπτίσματι
σὺν γονεῦσι Χριστῷ οἰκειούμενον.

« ποίαν τέχνη<ν> μετέρχει; ». ὁ ἅγιος ἀπεκρίνατο· « χριστιανός εἰμι καὶ μαθητὴς τῶν ἁγίων ἀποστόλων καὶ δοῦλος Χριστοῦ ». ὁ βικάριος εἶπεν· « καὶ τίς ἐστιν ὁ Χριστός σου; ». ὁ ἅγιος εἶπεν· « Ἰησοῦς Χριστός, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς καὶ πᾶσαν ψυχὴν ζῶσαν ». ὁ βικάριος εἶπεν· « σὺ περὶ ἐκείνου τοῦ Χριστοῦ λέγεις, ὃς πρὸ ὀλίγων ἐτῶν, λέγων ἑαυτὸν καὶ ποιῶν υἱὸν θεοῦ εἶναι, ὑπὸ τῶν Ἰουδαίων ἐφονεύθη; οὗτος εἰ ἦν θεὸς ἢ υἱὸς θεοῦ, οὐκ ἂν ἀπέθνησκεν, οὔτε δὲ ἀτιμίας ὑπερευρίσκετο (ὑπερεβλίσκετο cd.), ἀλλ' ὑπερήφανος φερόμενος ἐνυβρίσθη καὶ θανάτῳ παρεδόθη, καὶ ἐν ποίῳ λόγῳ τοῦτον εἰς μέτρον θεοῦ συναριθμεῖσθαι ἀγνοοῦμεν ». ὁ ἅγιος Ἀπολινάριος εἶπεν· « οὗτος ὁ Ἰησοῦς, περὶ οὗ διαλεγόμεθα, ἦν καὶ ἔστιν καὶ ἔσται εἰς τοὺς αἰῶνας· ἀλλὰ θέλων τὸ γένος τῶν ἀνθρώπων ἐλευθερῶσαι τῆς τῶν δαιμόνων δουλείας, ἐκαίνωσεν ἑαυτὸν σαρκωθεὶς ἐκ πνεύματος ἁγίου καὶ γεννηθεὶς ἐκ παρθένου κόρης ἀνάνδρως καὶ ἀσπόρως ». ὁ βικάριος εἶπεν· ‖ (f. 136v, I col.) « ἠκούσθη τοῦτο παρ' ἡμῖν, ἀλλὰ δύσπιστον ἐστίν ». ὁ ἅγιος ἀπεκρίνατο· « ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀνδρεῖος θεὸς ἦν ἐν σώματι καθαρωτάτῳ ποιῶν θαυμάσια. ὅταν δὲ ὑπὸ τῶν Ἰουδαίων ἐκρατήθη καὶ ἐσταυρώθη, τὸ προσληφθὲν σῶμα ἐκ τῆς παρθένου ἔπαθεν· θεὸς γὰρ ἀπαθὴς διαμένει καὶ ἀθάνατος, ὃς καὶ αὐτὴν τὴν σάρκα τῇ τρίτῃ ἡμέρᾳ ἐξήγειρεν ἐκ τῶν νεκρῶν καὶ ἐφανερώθη πολλοῖς καὶ ἀνῆλθεν εἰς τοὺς οὐρανούς . . . . . ». « σύ, γέρον », ὁ βικάριος εἶπεν, « οὐ δυνήσῃ τοῖς λόγοις τούτοις πεῖσαί με ἀκολουθῆσαι τῷ κηρύγματί σου, οἵτινες ὑπὸ τοῦ συγκλήτου οὐκ ἐδέχθησαν (*Passio* 18, l.c., 347: Tu mihi persuadere non potes, ut ego deos sequar ignotos, qui a senatu recepti non sunt), ἀλλὰ μετὰ τούτων πάντων πρόσελθε τῷ καπετωλίῳ καὶ προσάγαγε λίβανον Διῒ τῷ μεγάλῳ θεῷ ταῖς ἰδίαις χερσίν, ἐπεί, μὰ τὴν σωτηρίαν τοῦ καίσαρος, βασανισθέντα σε (σοι cd.) πρότερον διαφόροις πληγαῖς, εἰς ἐξορίαν ἀποστείλω ». ὁ ἅγιος ἀπεκρίνατο· « μὴ γένοιτό μοι ταῖς χερσί μου λίβανον προσαγάγω δαίμοσιν, ἀλλὰ τῷ κυρίῳ μου Ἰησοῦ Χριστῷ θυσίαν αἰνέσεως (Ps. 49,14.23; Hebr. 13,15) καὶ ὑμνῳδίας ἀναπέμψω ». οἱ οὖν ἱερεῖς ἀκηκοότες ταῦτα, ἔφησαν· « ἀγνοεῖς, ὦ ἄρχων, ὡς οὗτος ὁ γηραλέος ὄνομα ἑαυτῷ ἱερέως ἐπέθηκεν, ἵνα τῇ περιβολῇ ἡμῶν πλανήσῃ τὸν λαόν; ἀλλὰ κόλασον αὐτὸν περὶ τῆς αὐθαδίας ταύτης ». [= *Passio* 16-19, l.c., 347]. (Quae sequuntur cfr. in notis ad vv. 96-100).

73-76 *Ibid.*, f. 134, II col.: καταλαβόντος οὖν τοῦ μακαρίου οὐ μακρὰν ἀπὸ τῆς πόλεως Ῥαβέννης ἐπί τινα κώμην Ἀσιανῶ καλουμένην, ἔμεινεν ἐκεῖ παρά τινι στρατιώτῃ τοὔνομα Εἰρηναίῳ [*Passio* 3, l.c., 345: Cumque pervenisset beatus Apollinaris non longe ab urbe Ravenna, mansit apud quemdam militem Astaticum (vel Asiaticum), nomine Herenaeum . . . . .], ἀναγγείλας καὶ εἰπὼν

θεοτ. * Τὸν θεὸν ὃν ἐκύησας,
ἄχραντε παρθένε, τοῦτον δυσώπησον
τοῖς ἱκέταις σου δωρήσασθαι
τῶν πλημμελημάτων ἀπολύτρωσιν.

ᾠδὴ ε'. *Φώτισον ἡμᾶς*

⟨Ἡ⟩ χάρις ἐπὶ σοὶ
ἡ σκηνώσασα, πανόλβιε,
τὴν κλινῆριν ἐπανώρθωσας,
Χριστῷ προσῆξας
λαὸν ἔνθεον ὑμνοῦντα αὐτόν.

77-80 θεοτ. ed. in MR IV, 298 et alibi: cfr. IHG IV, 211 79 τοῖς οἰκέταις cd. δορήσασασθαι cd. 80 ἀπολύτρωσιν] τὴν συγχώρησιν MR

heirm. ε' EE 224, n. 321, Joannis 81 Ἡ propter acrostichidem add. 83 κληνῆριν cd. pro κλινήρη: cfr. PSALTES, 152, sed fortasse κλινήρην propter metaclisim scribendum

---

πόθεν παραγέγονε καὶ τί πράττειν ἤμελλεν, εἶπε δὲ πρὸς αὐτὸν ὁ στρατιώτης· « ὦ ξένε, ὁ υἱός μου τυφλός ἐστιν, ἀλλ' εἴ τις δύναμις ἐστὶν τῷ κηρύγματί σου, τοῦτον ἴασαι, ὅπως ἀναβλέψῃ καὶ ἀκολουθῇ τῷ θεῷ σου πιστεύσας οὖν ». καὶ τὸν παῖδα προθύμως Ἀπολιναρίῳ ἀγαγεῖν ἐπέτρεψεν καὶ πάντων τῶν συμπαρόντων ὁρώντων, οὐχ ἕτερον ὁ τοῦ Χριστοῦ δοῦλος, ἀλλ' ἢ τὸν τοῦ σταυροῦ τύπον εἰς τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ ποιήσας, εἶπεν· « ὁ θεός, ὁ μὴ τοπικῶς, ἀλλὰ πανταχοῦ ὤν, σὺ εἰσάγαγε τὴν ἐπίγνωσιν τοῦ υἱοῦ σου κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ πόλει ταύτῃ . . . . . ». τῆς εὐχῆς οὖν ταύτης παρ' αὐτοῦ τελεσθείσης, εὐθὺς ὁ τυφλὸς ἀνέβλεψεν ‖ (f. 134v, I col.) καὶ προκυλινδούμενος τοῖς ποσὶ τοῦ μακαρίου ἐπισκόπου, ἅμα τοῖς γονεῦσιν αὐτοῦ ἐπίστευσαν τῷ Χριστῷ καὶ ἐβαπτίσθησαν ὑπ' αὐτοῦ ἐν τῷ ποταμῷ οὐ μακρὰν ἀπὸ τῆς πόλεως Ῥαβέννης, λέγοντες· « μέγας ὁ θεὸς ἀληθῶς τῶν χριστιανῶν, ὁ ὑπὸ σοῦ κηρυττόμενος ». [= *Passio* 3, l.c., 345].

81-85 *Ibid.*, f. 134v, I col.: γυνὴ δὲ πάλιν τινὸς στρατιώτου ἑτέρου τριβούνου, ὀνόματι Θέκλα, ἐπὶ πολλὰ ἔτη κατείχετο νόσῳ βαρυτάτῳ (sic: cfr. p. 412), ἣν οὐδεὶς τῶν ἰατρῶν ἠδυνήθη θεραπεῦσαι. συνέβη οὖν Εἰρηνέα τὸν στρατιώτην τὸν καὶ νεοφώτιστον (cfr. notas ad vv. 73-76) παραστῆναι τῷ τριβούνῳ καὶ εἶδεν αὐτὸν περίλυπον ἔσεσθαι περὶ τῆς γυνῆς αὐτοῦ καὶ ἔφη αὐτῷ ὁ νεοφώτιστος στρατιώτης· « ἔστιν παρ' ἐμοί, κύριέ μου, ξένος τις προβεβηκὼς τε γῆρας (κῆρα cd.), ὅστις μου ἐθεράπευσε τὸν υἱὸν τυφλὸν ὄντα ἐκτὸς (ἐκ τῆς cd.) οἵου δή τινος φαρμάκου· ἐπεὶ οὖν ἐπιτρέπεις τοῦτον θεάσασθαι, αὕτη ὑγιὴς αὐτίκα γενήσεται » . . . . . λέγει αὐτῷ ὁ τριβοῦνος· « κατ' ἰδίαν ἄγαγε αὐτὸν ἐν τῷ οἴκῳ μου, ὅπως γνῶμεν εἰ ἀληθῆ εἰσὶν τὰ περὶ αὐτοῦ λεγόμενα » . . . . . καὶ εἰσοικισθέντος τοῦ τριβούνου ἐντίμως τε ὑπεδέχθη παρ' αὐτοῦ Ἀπολινάριος ὁ ἐπίσκοπος . . . . . | (II col.) . . . . . ὁ τριβοῦνος ἔφη· « γινώσκεις ἰατρείας; ». ἀπεκρίνατο ὁ ἐπίσκοπος· « οὐδὲν ἄνευ τοῦ ὀνόματος τοῦ Ἰησοῦ ». « καὶ ποίαν δύναμιν ἐστὶ τῷ Ἰησοῦ; ». ὁ ἅγιος Ἀπολινάριος εἶπεν· « προσκάλεσαι ἐνταῦθα τοὺς στρατιώτας σου

Νάμασι σοφοῖς
τοῖς τοῦ πνεύματος ἐπότισας
τὸν λαὸν τὸν τοῦ ποιμνίου σου,
μάκαρ, προσάγων αὐτοὺς
εἰς ἐπίγνωσιν τῆς ὄντως ζωῆς.

Ἄλλον εὑρὼν
Βονηφάτιον ἰάσω εὐχῇ
τοῦ κυρίου τῷ ὀνόματι,
αὐτῷ πιστεῦσαι
σὺν τοῖς πλήθεσιν ἐβάπτισας.

καὶ πάντων ὁρώντων, γνώσει τὴν δύναμιν τοῦ Ἰησοῦ ». συναθροισθέντων δὲ πάντων καὶ παρισταμένων, εἶπεν ὁ τριβοῦνος · « ἰδοὺ ἡ γυνή μου κλινήρης ἐστὶ ἐπὶ πολὺν χρόνον, ἥτινι πᾶσα ἰατρεία ἐναντία καθέστηκεν · εἰ τοίνυν δύναμις ἐστὶ ἐν σοί, ἐργάζου ». πρὸς ὃν ὁ ἅγιος Ἀπολινάριος ἀπεκρίνατο · « ἀνοίξῃ ὁ θεὸς τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν, ὅπως θεωροῦντες τὰ θαυμάσια αὐτοῦ, πιστεύσητε τὸν θεὸν θεὸν εἶναι ». καὶ ἐπιλαβόμενος τῆς χειρὸς τῆς γυναικὸς ἔφη · « ἀνάστηθι ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ πίστευε εἰς αὐτὸν καὶ μηκέτι εἴπῃς ὅμοιον αὐτοῦ τινὰ εἶναι ». αὐτίκα δὲ ἀναστᾶσα ἡ γυνή, κατῆλθεν ὑγιὴς ἀπὸ τοῦ κλινιδίου αὐτῆς, κράζουσα καὶ λέγουσα ὡς οὐκ ἔστιν ἄλλος θεὸς πλὴν Ἰησοῦ τοῦ κηρυχθέντος παρὰ τοῦ μακαρίου Ἀπολιναρίου. θεωρήσας δὲ ὁ τριβοῦνος καὶ οἱ στρατιῶται τὸ γεγονὸς παράδοξον θαῦμα, ἐξεθαμβήθησαν λέγοντες · « ἀληθῶς θεός ἐστιν οὗτος ὁ τοιαῦτα ἐξαίσια καὶ παράδοξα θαύματα ποιῶν. δύναται γὰρ οὗτος ὑπεραγαπηθῆναι καὶ ἐν πολέμοις ἐπαμύνεσθαι ». εὐθέως ὁ τριβοῦνος σὺν τῇ γυναικὶ καὶ τοῖς τέκνοις καὶ πανοικὶ τῇ οἰκίᾳ αὐτοῦ πάσῃ (πᾶσα cd.) πιστεύσαντες ἐν τῷ Ἰησοῦ, ἐβαπτίσθησαν, ναὶ μὴν καὶ ἕτεροι πολλοὶ ἐκ τῶν συνευρεθέντων ἑλλήνων εἰσεδέξαντο τὴν πίστιν τοῦ Χριστοῦ καὶ ἐβαπτίσθησαν. [= *Passio* 4-6, l.c., 345]

91-95 *Ibid.*, f. 135, II col.: μετὰ οὖν ἑξαμηναῖον καιρὸν εὐγενής τις ἀνήρ, ὀνόματι Βονηφάτιος, πολίτης Κλάσσης [vero πεσὼν καὶ κλαστὴς (sic) cd. sed cfr. *Passio* 10, l.c., 346: .... Bonifatius civis Classis] ἄλαλος εὐθὺς ἐγένετο, ὅντινα πλεῖστοι τῶν ἰατρῶν οὐδαμῶς θεραπεῦσαι ἠδυνήθησαν. ἐμηνύθη δὲ αὐτῷ ὡς ὁ δοῦλος τοῦ θεοῦ Ἀπολινάριος ζῇ, ὃς παρά τινι χήρᾳ γυναικὶ κρύπτεται. πέμψας οὖν ἡ σύζυγος αὐτοῦ πρὸς αὐτὸν ἱκέτευεν (*Passio* 10, ibid.: Tunc mittens ad eum uxor eius obsecrabat, . . .] ὅπως τὸν ἄνδρα αὐτῆς ἐπισκέψηται ..... ἀνελθὼν δὲ ὁ μάρτυς εἰς τὴν οἰκίαν Βονηφατίου, εἶδεν αὐτὸν κατακείμενον ἄλαλον καὶ εἶπεν · « κύριε Ἰησοῦ Χριστέ, ὁ μονογενὴς υἱὸς τοῦ ζῶντος θεοῦ, ὁ κλείσας τὸ στόμα τοῦ ἀνθρώπου τούτου, ἵνα μὴ ἐπὶ πλείω τοῖς ἀλάλοις καὶ κωφοῖς δαίμοσι λατρεύσῃ, ἄνοιξον αὐτὸ καὶ δὸς αὐτῷ ὀρθῶς λαλεῖν καὶ διηγεῖσθαι τὰ θαυμάσιά σου καὶ ἐπικαλέσει τε τὸ ὄν<ο>μά σου τὸ εὐλογημένον, ὅτι σὺ εἶ ὁ ὢν καὶ διαμένων εἰς τοὺς αἰῶνας ‖ (f. 135ᵛ, I col.) τῶν αἰώνων ». τῶν δὲ χριστιανῶν τῶν ἐκεῖσε τυχόντων ἐπειπόντων τὸ ἀμήν, εὐθέως διελύθη ἡ γλῶσσα αὐτοῦ καὶ ἐλάλει εὐλογῶν καὶ ὑμνῶν τὸν θεὸν καὶ λέγων · « οὐκ ἔστιν ἄλλος θεός, ὁ ὑπὸ τοῦ ἁγίου Ἀπολιναρίου κηρυττόμενος ». τῇ οὖν αὐτῇ ἡμέρᾳ πλεῖον ἢ πεντακόσιοι ἄνδρες ἐπίστευσαν τῷ Χριστῷ καὶ ἐβαπτίσθησαν εὐχαριστοῦντες τῷ θεῷ καὶ τῷ ἁγίῳ. [= *Passio* 10-11, l.c., 346].

Πλήττουσιν, μάρτυς,
f. 172 ‖ οἱ παράφρονες τὸ σῶμά σου
στερρῶς τοῖς ῥοπάλοις καὶ τοῖς ἄνθραξι
καὶ διώκοντες
ἀπ' αὐτῶν σὺν πολλῷ τῷ θυμῷ.

θεοτ. * Δυσώπησον ἀεὶ
τὸν υἱόν σου καὶ θεὸν ἡμῶν,
ἀπειρόγαμε παρθένε ἁγνή,
τοῦ καταπέμψαι ἡμῖν,
θεοτόκε, τὰ ἐλέη σου.

---

99 διώκοντες cd. pro διώκονταί σε: cfr. etiam vv. 132-133 101-105 θεοτ. ed. in MR I, 15 et alibi: cfr. IHG I, 335 103 παρθένε] Μαρία MR vv. 104-105 τοῦ καταπέμψαι / ἡμῖν τοῖς πιστοῖς τὸ ἔλεος MR

96-100 *Ibid.*, f. 136ᵛ, I col.: τότε Μεσσαλίνιος ὁ βικάριος ὀργισθεὶς καὶ θυμοῦ πλησθείς, ἐκέλευσε τὸν ἅγιον ἀποδύσασθαι καὶ ἰσχυρῶς μετὰ ῥάβδων ὀξέων τύπτεσθαι καὶ λέγειν αὐτῷ · « ἀνάστειλον ἑαυτὸν καὶ θῦσον τοῖς θεοῖς ». ὁ δὲ τυπτόμενος ἔλεγεν · « χριστιανός εἰμι · ποίει ὃ βούλῃ ». ἐν τῷ οὖν ταῦτα περὶ τὸν δοῦλον τοῦ θεοῦ γίνεσθαι, εἷς τῶν ἀρχιερέων ἔφη τῷ βικαρίῳ · « κρεμασθήτω ὁ βάσκανος οὗτος ἐν τῷ τυπτῆναι (sic cd.) | (II col.) ὅπως ἐπιμόνως βασανιζόμενος δώσει δόξαν τοῖς ἀθανάτοις θεοῖς ». ὁ δὲ ἅγιος Ἀπολινάριος ἐπὶ πολὺ τυπτόμενος, κρεμάμενος καὶ βασανιζόμενος, ἐβόα μεγάλῃ φωνῇ · « κύριον καὶ θεὸν εἶναι ὁμολογῶ καὶ ἕτερον οὐ λέγω ». τότε Μεσσαλίνιος ὁ βικάριος ἠρεμαίᾳ φωνῇ λέγει τῷ ἁγίῳ · « εἰπέ μοι, ὀλέθριε καὶ βάσκανε, ποία σοι ἀμοιβὴ ἔσται ὑπὲρ τῶν βασάνων τούτων; ». ὁ ἅγιος Ἀπολινάριος ἀπεκρίνατο · « γέγραπται ἐν τοῖς θείοις καὶ ἱεροῖς εὐαγγελίοις · ὁ ὑπομείνας εἰς τέλος ἐν Χριστῷ, οὗτος σωθήσεται, (Matth. 10,22), καὶ κἂν ἀποθάνῃ, ζήσεται (Joh. 11,25). αὕτη ἐστὶν ἡ ἀντιμισθία τῶν χριστιανῶν ». ἀκούσαντες οὖν πάντες οἱ συμπαρόντες χριστιανοὶ ταῦτα, ἐδόξαζον τὸν οὐράνιον θεόν, ὅτι γενναιότερος αἰκιζόμενος ὁ μάρτυς ἐγίνετο πλέον τῶν ἐπιφερόντων αὐτῷ τὰς βασάνους. ὁ βικάριος εἶπεν · « αὖθις αἰκιζέσθω σφοδρῶς καὶ ἐπὶ τῶν πλευρῶν αὐτοῦ πίσσῃ σὺν ἐλαίῳ κοχλάζοντι (κοχλάζων cd.) ἐπιχεέσθω. ἔνθεν δὲ ὑπὸ πομπὴν ἐν πλοίῳ ἐναυλισθήτω καὶ βαρυτάτοις σιδήροις τραχήλῳ χερσί τε καὶ ποσὶ δεσμευθείς, ἐν τοῖς μέρεσι τοῦ Ἰλλυριοῦ περιορισθείη ». [= *Passio* 19-20, l.c., 347].

ᾠδὴ ϛʹ. *Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον*

Ὁ μέγας ὡς ἀληθῶς διδάσκαλος
τὴν νεκρὰν διὰ φωνῆς ἐξεγείρας
καὶ τῷ Χριστῷ
σὺν μητρὶ προσενέγκας,
ὡς δὲ θεράπων λαοὺς ἐσαγήνευσε
καὶ γέγονε τῶν εὐσεβῶν
πρὸς τὴν πίστιν θεμέλιος ἄσειστος.

---

heirm. ϛʹ EE 219. n. 314, Joannis 110 ἐσαγίνευσας cd.

106-112 *Ibid.*, f. 135ᵛ, II col.: πατρίκιος δὲ ὁ τὴν ἀρχὴν τῆς Ῥαβεννησίων πόλεως ἐμπιστευθείς, ἦν αὐτῷ θυγάτηρ μονογενής, ἣ νόσῳ δεινῷ (sic: cfr. p. 409) κατείχετο. ἐμνήσθη δὲ αὐτῷ περὶ τοῦ μακαρίου ἐπισκόπου Ἀπολιναρίου, ὃν παρευθὺς ἐπέτρεψεν ἐν τῷ οἴκῳ αὐτοῦ ἐνεχθῆναι τοῦ ἐπισκέψαι τὴν μονογενῆ αὐτοῦ θυγατέρα. καὶ δὴ εἰσελθόντος αὐτοῦ εἰς τὴν οἰκίαν σὺν τῷ κλήρῳ αὐτοῦ, εὗρον τὸ κοράσιον τεθνηκὸς κείμενον, καὶ τὸν (τὴν cd.) ἐπ᾽ αὐτῇ θρῆνον γοερῶς ἐπετέλουν. μαθὼν οὖν ὁ πατρίκιος ἥκειν τὸν ἐπίσκοπον, ὑπήντησεν αὐτῷ σύνδακρυς καὶ εἶπεν· « ἰατρέ, οἱ μεγάλοι θεοὶ ἡμῶν ἠγανάκτησαν καὶ οὐκ ἠθέλησαν τὴν θυγατέρα μου σῶσαι καὶ ζῆσαι· σὺ δὲ πῶς ἠδύνου ἰάσασθαι αὐτήν; ». καὶ πάντες οἱ συνόντες αὐτῷ ἐθρήνουν ἅμα αὐτῷ· πρὸς ὃν ὁ ἅγιος ἔφη· « θάρσει, πατρίκιε. ἐὰν συγχωρεῖς τῇ κόρῃ ἀκολουθῆσαι τῷ πλάστῃ καὶ σωτῆρι αὐτῆς, γνώσει τὴν δύναμιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ». καὶ ὁ πατρίκιος ἀπεκρίνατο· « ἄνθρωπε, οἶδα ὅτι τὸ κοράσιον ἀπέθανεν καὶ οὐ ζῇ· πλὴν ἐὰν ἴδω τοῦτο ἑστῶσαν (sic cd.) εἰς τοὺς ἰδίους πόδας καὶ λαλοῦν (λαλῶν cd.) οἰκείῳ στόματι, αἰνέσω τὸν θεόν σου καὶ τὴν δύναμιν αὐτοῦ, καὶ οὐ κωλύσω ἀκολουθῆσαι τῷ θεῷ σου καὶ τῷ κηρύγματί σου ». τοῦ οὖν ὄχλου καὶ τῆς πληθύος τοῦ λαοῦ κλαιόντων ὀδυνηρῶς, θαρρῶν ὁ ἅγιος τῷ σωτῆρι Χριστῷ προσῆλθεν, καὶ ἁψάμενος τῆς χειρὸς τῆς κόρης, τὰ ὄμματα δὲ εἰς οὐρανοὺς ἄρας, ἔφη· « κύριε Ἰησοῦ Χριστέ, ... ‖ (f. 136, I col.) ..... ἐπάκουσον τῆς αἰτήσεως κἀμοῦ τοῦ ἀναξίου δούλου σου καὶ ἀνάστησον τὴν κόρην ταύτην, ὅτι σὸν πλάσμα ἐστὶν καὶ ἄλλος θεὸς πλήν σου οὐκ ἔστιν, ὅπως ὁ περιεστὼς λαός, θεωρῶν τὰ θαυμάσιά σου, πιστεύσωσι σὲ μόνον εἶναι θεὸν ἀληθινὸν καὶ οὐχ ἕτερον ..... ». τῆς εὐχῆς οὖν τελεσθείσης, ἐπιστραφεὶς πρὸς τὴν κόρην, ἔφη· « τί κατάκεισαι, κοράσιον; ἀνάστηθι καὶ ἐξομολογοῦ τῷ θεῷ καὶ δημιουργῷ σου ». ἡ δὲ παρευθὺς ἀνέστη καὶ ἔκραξε λέγουσα· « μέγας ἐστὶν ὁ θεὸς τῶν χριστιανῶν, ὁ ὑπὸ τοῦ μακαρίου κηρυττόμενος Ἀπολιναρίου καὶ οὐκ ἔστιν ἕτερος πλὴν αὐτοῦ ποιῶν τοιαῦτα θαυμάσια ». ἐγένετο δὲ χαρὰ μεγάλη τῇ ἡμέρᾳ ἐκείνῃ ἐν τῇ οἰκίᾳ πατρικίου κατὰ τὸν προφήτην τὸν λέγοντα· « τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις (Ps. 29,6) ». ἐμεγαλύνθη δὲ καὶ ἐδοξάσθη τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ παρὰ πάντων τῶν συμπαρόντων τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἐβαπτίσθη ἡ κόρη αὐτίκα σὺν τῇ μητρὶ καὶ τῇ οἰκίᾳ αὐτῆς πάσῃ (πᾶσα cd.) καὶ ἕτεροι σὺν αὐτοῖς τριακόσιοι εἴκοσι τέσσαρες καὶ ἐπίστευσαν τῷ Χριστῷ. [= *Passio* 14-15, l.c., 346-347].

Λαμπρότερος ὡς χρυσὸς ἀνεδείχθης
ἐν πληγαῖς ὑπερβαλλούσαις, παμμάκαρ,
ἐν πειρασμοῖς
ἀνηκέστοις ἐφάνης,
τὸν δὲ σωτῆρα Χριστὸν ἀνεκήρυττες,
συνάναρχον δὲ τῷ πατρὶ
καὶ τῷ πνεύματι πᾶσι κατήγγειλας.

Ἱκέτευε ἐκτενῶς ὑπὲρ ἡμῶν
τῷ Χριστῷ, Ἀπολινάριε μάρτυς,
καὶ ὡς ποτὲ
ἀπεκάθηρας λέπραν
τοῦ ἀσθενοῦς καὶ πιστῶς σε αἰτήσαντος,
ὡσαύτως, μάκαρ, καὶ ἡμᾶς
ἐκ παθῶν καὶ πταισμάτων δίδου τὴν λύτρωσιν.

Νενίκηκας τῶν εἰδώλων τοὺς λάτρας,
ὑπερόριος ἐστάλης, θεόφρον,
f. 172ᵛ καὶ τὸν ‖ χρησμὸν
τῶν βωμῶν ἀρνουμένου,
ὡς μαθητοῦ τοῦ πρωτάρχου ὑπάρχοντος,
καὶ τύψαντες ἀνιλεῶς
ὑπερόριον, μάκαρ, δικάσαντες.

θεοτ. * Μὴ παύσῃ ὑπὲρ ἡμῶν πρεσβεύουσα,
παναγία θεοτόκε παρθένε,

---

129 χρισμὸν cd. 130 ἀρνουμένων cd. 131 μαθητὴς ..... ὑπάρχοντος cd. 134-140 θεοτ. ed. in MR I, 242 et alibi: cfr. IHG II, 422

114-116 Cfr. notas ad vv. 96-100.

122-124 *Ibid.*, f. 137, I col.: ἀνὴρ δέ τις τῶν μεγιστάνων, λεπρὸς ὤν, ἐθεάθη ὑπὸ τοῦ ἁγίου, ᾧτινι καὶ εἶπεν· « θέλεις ὑγιὴς γενέσθαι; ». ὁ λεπρὸς ἀπεκρίνατο· « θέλω ». ὁ ἅγιος εἶπεν αὐτῷ· « πίστευσον ἐπὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ ἰαθήσῃ ». ὁ λεπρός· « ἐάν με ἰάσεις, πιστεύσω ». ἐπικαλεσάμενος οὖν ὁ μακάριος Ἀπολινάριος τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ, καὶ ἁψάμενος τῆς χειρὸς αὐτοῦ, εὐθέως ὑγιὴς γέγονεν, ὃς καὶ ἀποταξάμενος τοῖς εἰδώλοις, ἐπίστευσεν ἐν τῷ Χριστῷ καὶ ἐβαπτίσθη. [= *Passio* 23, l.c., 348].

127-133 Cfr. notas ad vv. 65-68, 96-100 et *ibid.*, f. 137, I col.: τῇ οὖν τετάρτῃ ἡμέρᾳ, κελεύσαντος τοῦ ἀσεβοῦς τυράννου, ἐν πλοίῳ καθεικὼς λάθρα, ἐν ἐξορίᾳ τὸν ἅγιον ἀπέστειλεν. [= *Passio* 21, l.c., 348].

ὅτι πιστῶν
καύχημα σὺ ὑπάρχεις
καὶ τῇ ἐλπίδι τῇ σῇ κραταιούμεθα
καὶ πόθῳ σὲ καὶ τὸν ἐκ σοῦ
σαρκωθέντα ἀπαύστως δοξάζομεν.

Κοντάκιον.

Ἦχος β'. *Ἡλιοὺ ἐμιμήσω*

Ὡς ἀστὴρ ἑωσφόρος ἐδείχθης, μάκαρ,
ὡς φυτὸν καρποφόρον ἄνθη βαστάζον,
καὶ καταυγάζεις πιστῶν τὰ συστήματα
τῶν ἰαμάτων τὴν χάριν δεξάμενος·
χαίροις, μαρτύρων ἀγλάϊσμα,
διὸ ὑπὲρ ἡμῶν δυσώπει τὸν κύριον.

Ὁ οἶκος. *Τράνωσόν μου τὴν γλῶτταν, σωτήρ μου,*

* Χάριν μοι δώρησαι οὐρανόθεν,
Ἰησοῦ ὁ θεός μου,
ὁ ἀρρήτῳ βουλῇ
τὰ πάντα λόγῳ πηξάμενος·
σὺ γὰρ εἶ πάντων ἡ προμηθία,
σὺ καὶ λόγου τὸ πέρας σαφῶς προσνέμεις,
ὅπως τὸν σὸν
ἀνυμνήσω πιστῶς
νῦν Ἀπολινάριον·
μέγας γὰρ τῇ ἐκκλησίᾳ
ἱεράρχης ἐξέλαμψεν ἔνθεος·
διὸ αὐτοῦ ταῖς λιταῖς

137 καύχημα] στήριγμα MR 140 ἀπαύστως] ἀφράστως MR
heirm. κοντακ. HC 316 2 βαστάζων cd.
οἶκ. ed. invenitur in PAS I, 587 in S. Blasium dicatus
heirm. οἴκ. MR V, 396 5 προμηθεία PAS 6 λόγω cd. 9 νυνὶ Βλάσιον PAS 12 διὸ λιταῖς αὐτοῦ, εὔσπλαχγνε, PAS

τῆς ψυχῆς μου τὸ σκότος ἀπέλασον,
πρεσβεύων ἀπαύστως
ὑπὲρ πάντ<ων ἡμῶν>.

ᾠδὴ ζ'. *Οἱ ἐκ τῆς Ἰουδαίας καταντήσαντες παῖδες*

f. 173 || Ἀγαλλόμενοι πίστει
οἱ τῶν σῶν διδαγμάτων,
μάκαρ, νευρούμενοι,
ὑμνοῦμεν τοὺς ἀγῶνας,
ὁρῶντες τῶν θαυμάτων
τὴν πληθύν, ἀναμέλπομεν·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

Ῥῆμα θεῖον προχέας,
τῶν εἰδώλων τὸ σέβας
εἰς γῆν κατέρραξας,
ἱεράρχα παμμάκαρ,
τὸ ἄθροισμα ἐμφρόνως
τῶν πιστῶν ἀνεβόουν Χριστῷ·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

vv. 14-15 διόπερ καὶ στέφος ἐκομίσατο PAS
heirm. ζ' EE 224, n. 321, Joannis 147-148 post πατέρων cetera om. cd. 154 ἀνεβόουν cd. pro ἀνεβόων: cfr. PSALTES, 233 v. 156 om. cd.

149-156 *Ibid.*, f. 137, II col.: συνέβη οὖν μετὰ πολὺν χρόνον ἐν τῷ λειτουργεῖν τοὺς χριστιανούς, αἴφνης ἀνατροπὴν γενέσθαι ἐν τῇ πόλει || (f. 137v, I col.) ὑπὸ τῶν ἑλλήνων ὑπὲρ αὐτοῦ. οἳ καὶ ἐπιβάντες, δεδεμένον τὸν ἅγιον τύπτοντες καὶ μαστιγοῦντες σφοδρῶς, ἐν τῷ φόρῳ ἤγαγον. ὅντινα θεωρήσαντες οἱ ἀρχιερεῖς τοῦ καπετωλίου, ἠγανάκτησαν λέγοντες· « οὗτος ἀνάξιος ἐστὶν παρρησιασθῆναι Διΐ τῷ μεγάλῳ θεῷ· διαφόρως (-ους cd.) γὰρ αὐτὸς διέπαιξεν, ἀλλ' ἀπενεχθήτῳ ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος, κἀκεῖ γνώσει τὴν δύναμιν τῶν ἀθανάτων θεῶν ». ἀπιόντος δὲ αὐτοῦ ἐν τῷ τῶν εἰδώλω<ν> ναῷ, ἄνδρες εὐγενεῖς, ἕλληνές τε καὶ χριστιανοί, πλῆθος πολύ, ἠκολούθησαν αὐτῷ. ἔλεγον οὖν οἱ ἕλληνες ἐν ἑαυτοῖς· « ἴδωμεν εἰ ὁ ἄνθρωπος οὗτος ἐνέδωκεν ἑαυτὸν θῦσαι τοῖς θεοῖς ». ἐλθόντος δὲ τοῦ ἁγίου εἰς τὸν ναὸν καὶ θεασαμένου τὸ εἴδωλον τοῦ Ἀπόλλωνος, ἔφη τοῖς παρεστῶσιν ἕλλησιν· « οὗτος ἐστὶν ὁ θεὸς εἰς ὃν ἐπερείδεσθε; » ἀπεκρί-

Ἰησοῦ ζωοδότα,
εὐχαῖς Ἀπολιναρίου
σῶζε τὰς πόλεις σου·
ὡς ἕνα τῆς τριάδος
κηρύττοντες καὶ πίστει
προσκυνοῦντες κραυγάζομεν·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

Ὀρθοφρόνως ὑμνοῦμεν
σοῦ τὴν πάνσεπτον μνήμην
ψαλμοῖς καὶ ᾄσμασιν,
σοφὲ ἱερομύστα,
ὡς πάντας ἐκπαιδεύσας
τὴν τριάδα δοξάζειν ἀεί·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

θεοτ. Τὴν ἁγνὴν θεοτόκον
καὶ παρθένον Μαρίαν
ὕμνοις τιμήσωμεν·
πρεσβεύει γὰρ ἀπαύστως
ὑπὲρ τῶν μελῳδούντων
καὶ βοώντων πρὸς κύριον·
« ὁ τῶν πατέρων ἡμῶν
θεός, εὐλογητὸς εἶ ».

---

v. 164 om. cd. 171-172 post πατέρων cetera om. cd.

ναντο οἱ ἕλληνες· « ναί, πρῶτος ἐν τοῖς θεοῖς καὶ φύλαξ τῆς πόλεως αὐτός ἐστιν ». ὁ ἅγιος Ἀπολινάριος ἀπεκρίνατο· « μηδαμῶς εἴη καλῶς αὐτῷ ποτέ, ἀλλὰ τούτου καταλυθέντος, ἔσεται φύλαξ τῶν ἐν τῷδε τῷ τόπῳ κατοικούντων χριστιανῶν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ ἀληθινὸς θεός ». ἄρας οὖν τὰ ὄμματα εἰς τὸν οὐρανὸν καὶ ποιήσας εὐχήν, αὐτίκα διελύθη τὸ εἴδωλον καὶ ὁ τῶν δαιμόνων ναὸς διεστράφη. οἱ δὲ ἕλληνες θεασάμενοι τὰ γινόμενα, θυμοῦ καὶ ὀργῆς πλησθέντες, ἀνέστησαν λέγοντες· « ὁ ἀσεβέστατος γέρων οὗτος ἀναιρεθήτω, δι' οὗ ὁ μέγας θεὸς ἡμῶν καὶ ὁ πολυποίκιλος ἡμῶν ναὸς συνετρίβη ». οἱ χριστιανοὶ δὲ ηὐχαρίστουν τὸν θεὸν λέγοντες· « ἀληθῶς εἷς ἐστὶν θεὸς ὁ τὰ θαυμάσια ταῦτα διὰ τοῦ [δὲ τοῦ] ἡμῶν πατρὸς ἐργαζόμενος ». [= *Passio* 26-27, l.c., 349].

ᾠδὴ η΄. *Τὸν ἐν ὄρει
ἁγίῳ δοξασθέντα*

Νῦν ἐδείχθης
ἱεράρχης καὶ μάρτυς,
ἐκτελέσας
τῆς νίκης τὸ βραβεῖον·
τελειωθείς, δι' αἵματος ἐσκήνωσας

---

heirm. η΄ EE 226, n. 323, Germani

181-185 *Ibid.*, f. 138, I col.: μετ'οὐ πολὺ δέ, ἐν ταῖς ἡμέραις Οὐεσπασιανοῦ καίσαρος, φθόνος πάλιν διαδραμὼν τοῖς ἱερεῦσι καὶ <ἀρ>χιερεῦσι τῶν ἑλλήνων, τὸν ἀριθμὸν ὡσεὶ τριάκοντα, πρὸς καίσαρα τὸν εἰρημένον παρεγένοντο, λέγοντες αὐτῷ· « ἐὰν μὴ τὸν γηραλέον καὶ πλάνον Ἀπολινάριον, τὸν ἐνοικοῦντα ἐν τῇ πόλει Ῥαβέννῃ, ποιήσηται θανατῶσαι, τὸν τὰ ἐναντία τῆς ὑμῶν βασιλείας καὶ σωτηρίας τοῦ ὑμετέρου λαοῦ κηρύττοντα, ἡ τῶν Ῥωμαίων θρησκεία καταλυθήσεται..... ». ἐφ' οἷς ἀπέστειλεν ὁ βασιλεὺς δόγμα τοιόνδε, ὡς εἴ τις αὐθάδης τῷ στόματι ὕβρεις καὶ ἀτιμίας τοῖς ἀηττήτοις καὶ ἀθανάτοις θεοῖς προσαγάγῃ, ἢ θῦσαι <ἢ> μετὰ πολλῶν βασάνων καὶ τιμωριῶν αὐτῷ πρότερον ἐπενεχθέντων, τῆς πόλεως ἐξοριζέσθω..... τούτου οὖν τοῦ κελεύσματος καταλαβόντος πρὸς Δημοσθένην τὸν πατρίκιον, ἄνδρα περίφημον καὶ περιφανέστατον, μεταπεμψάμενος τὸν ἅγιον Ἀπολινάριον ἑαυτῷ παραστῆναι κελεύει..... | (II col.) Δημοσθένης ὁ πατρίκιος ἔφη· « εἰπέ, ἀρχαῖε πλάνε, ποίας θρησκείας ὑπάρχεις; ». ὁ ἅγιος ἀπεκρίνατο· « οὐκ ἀρνοῦμαι τῇ ἐνδοξότητι ὑμῶν, ἀλλὰ τὴν ἀληθῆ (sic) ἐρῶ· χριστιανός εἰμι καὶ μαθητὴς τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου..... ». ὁ πατρίκιος ἔφη· « οὐκ ἔστι χρεία πολλὰ λέγειν· καιρός ἐστιν ἵνα τῆς οἰκείας ἀφροσύνης καὶ θρησκείας ἀποστάς, θύσῃς τοῖς ἀθανάτοις θεοῖς ». ὁ μακάριος Ἀπολινάριος ἀπεκρίνατο· « θυσίαν ἐγὼ θεοῖς τοῖς ἐκ χρυσοῦ καὶ ἀργυροῦ κατασκευασμένοις ὑπὸ χειρῶν ἀνθρώπων, μὴ γένοιτο ἀπονέμειν με ..... ». τότε ὁ πατρίκιος θυμωθείς, κελεύει τοῦτον ἐκ τεσσάρων τανυσθῆναι καὶ ῥάβδοις μαστιχθῆναι καὶ τοὺς ὀδόντας || (f. 138ᵛ, I col.) ἐκριζωθῆναι καὶ τελευταῖον ἐν φυλακῇ βληθῆναι· ὁ δὲ δεσμοφύλαξ παραλαβὼν αὐτόν, χριστιανὸς γὰρ ἦν καὶ ἐπίστευεν κρυφίως τῷ Χριστῷ, ἀνήγαγεν ἐν Κλάσσῃ ἐν τῷ οἴκῳ αὐτοῦ. ἄγγελος δὲ παρὰ κυρίου ἐλθών, θαρροποιήσας αὐτόν, ὑγιῆ κατέστησεν. μετὰ δὲ τινὰς ἡμέρας λέγει ὁ δεσμοφύλαξ τῷ ἁγίῳ· « πάτερ, καλόν ἐστιν ἐξελθεῖν σε τῇ νυκτὶ καὶ ἀπελθεῖν σε εἰς τὸ νοσοκομεῖον, ἐν ᾧ οἱ ἄρρωστοι οἰκοῦσιν, ὅπως θεραπεύσῃς αὐτοὺς καὶ ὁ θυμὸς τοῦ λαοῦ καταπαύσῃ ». ἀπολύσας δὲ αὐτὸν φυγεῖν, ἐγνώσθη τισὶν ἕλλησιν, οἳ καὶ ἀκολουθήσαντες αὐτὸν καὶ πιάσαντες, ἀνηλεῶς αὐτὸν ἐτιμώρησαν καὶ ἔτυψαν, ὥστε ἡμιθανῆ τοῦτον εἰς γῆν κατέλιπον. ἕωθεν οἱ μαθηταὶ αὐτοῦ ἀναζητήσαντες αὐτὸν [οἱ μαθηταὶ αὐτοῦ] καὶ εὑρόντες, ἤγαγον αὐτὸν καὶ ἔκρυψαν εἰς οἶκον τινὸς (τινῆς cd.) γυναικὸς χήρας, χριστιανῆς οὔσης, ἐν ᾗ ἐπέζησεν ἡμέρας ἑπτά. ἐν αἷς ἡμέραις, τῶν χριστιανῶν πρὸς αὐτὸν προσερχομένων, οὐκ ἐπαύετο νουθετῶν αὐτοὺς καὶ παρακαλῶν μὴ ἀποστῆναι τῆς τοῦ Χριστοῦ πίστεως ..... τούτων τε καὶ πλείστων ἑτέρων ῥημάτων ὑπ' αὐτοῦ λεχθέντων πρὸς αὐτοὺς πνευματικῶν, ἐτελειώθη ὁ ἅγιος Ἀπολινάριος μάρτυς καὶ ἐπίσκοπος. [= *Passio* 30-35, l.c., 349-350].

ἔνθα ἀποστόλων
πνεύματα μαρτύρων
f. 173v καὶ τά || ξεις ἀσωμάτων.

Τίς ἀξίως
ὑμνήσει σου τὰ ἆθλα,
ἱεράρχα
᾿Απολινάριε μάρτυς;
τῶν γὰρ ἐχθρῶν κατέβαλες τὸ φρύαγμα,
νῦν δὲ μετὰ τέλος
πάντας σαγηνεύεις
Χριστὸν ὁμολογοῦντας.

᾿Ιαμάτων
τὴν χάριν ἐκομίσω,
ἀθλοφόρε
Χριστοῦ ἱερομάρτυς
᾿Απολινάριε, φωτίζων τοὺς κραυγάζοντας·
« κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

Μέγα ὄντως
κειμήλιον ἐδείχθης
τῇ πολίχνῃ
πόλει ῾Ραβεννησίων,
᾿Απολινάριε, στηρίζων τοὺς κραυγάζοντας·
« κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας ».

τριαδ. ῾Η σοφία,
οἶκόν σε κατασχοῦσα,
τὸν πατέρα

193 κατέβαλας cd. vv. 203-204 om. cd. vv. 211-212 om. cd.

213-214 Cfr. Prov. 9,1

καὶ υἱὸν σὺν τῷ πνεύματι
ἐν σοὶ σκηνῶσαι, μάκαρ, κατεσκεύασεν·
ὅθεν τὰς ἰάσεις
πᾶσιν ἀναβλύζεις
τοῖς πίστει σε τιμῶσιν.

θεοτ. * Τὸν ἐν μήτρᾳ
οἰκήσαντα παρθένου
καὶ ἐν ταύτῃ
φρικτῶς καὶ ὑπὲρ λόγον
τὸν παλαιὸν ᾿Αδὰμ ἀνακαινίσαντα,
κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ΄. *Σὲ τὴν ἀπειρόγαμον*

Σέ, σῶτερ, δοξάζομεν
τὸν ἀρχηγὸν τῆς σωτηρίας,
τὸν τῷ ἱεράρχῃ δώσαντα
τῶν θαυμάτων τὴν θείαν πληθὺν
καὶ ἐκ παθῶν ἡμᾶς λυτροῦ τε καὶ θλίψεων,
ζωοδότα,
ὅθεν σε πάντες μεγαλύνομεν.

῏Ω τῆς παναγίας σου,
θεράπον τοῦ Χριστοῦ δοῦλε,
f. 174 || μνήμης, ἱεράρχα ἔνδοξε·
τοὺς ἐκτελοῦντας ταύτην πιστῶς
σῶζε ἐκ κινδύνων καὶ τῶν θλίψεων, ἅγιε,
καὶ παράσχου
τῶν σὲ τιμώντων τὴν συγχώρησιν.

Μάρτυς ἀξιάγαστε,
ἐν οὐρανοῖς σὺν ἀσωμάτοις

216 πνεῦμα cd. 221-228 θεοτ. ed. MR I, 34 228 v. om. cd. heirm. θ΄ EE 220, n. 315, Joannis 231 δώσαντι cd. 232 τῶν] τῷ cd. 233 λυτροῦ τε] λυτροῦται cd.

225 Cfr. I Cor. 15,45

θρόνῳ παρεστὼς τῷ πρυτάνει,
ὑπὲρ πάντων προσάγαγε
τὰς ἱκετηρίας καὶ δεήσεις τοῦ σώζεσθαι
ἐκ κινδύνων
καὶ πειρασμῶν τοὺς εὐφημοῦντάς σε.

Ἔλαβες χαρίσματα
ἐκ τοῦ σωτῆρος, ὦ τρισμάκαρ,
πᾶσι τοῖς πιστοῖς δωρήσασθαι
ἀμπλακημάτων ἄφεσιν
καὶ τῷ θεοστέπτῳ βασιλεῖ νίκης τρόπαια
κατὰ βαρβάρων
ταῖς προσευχαῖς σου χαριζόμενος.

Νόσῳ μὲν κατέχομαι
ψυχῆς, ὁ ταύτην σοι προσφέρων
⟨πίστει⟩ τὴν ᾠδήν, πανάγιε·
σὺν ἐμοὶ πάντας ἴασαι
τοὺς ἐπιτελοῦντας νῦν ἐκ πόθου τὴν μνήμην σου,
ἱεράρχα
Ἀπολινάριε πανένδοξε.

θεοτ. * Ἄχραντε πανάμωμε,
τὸ σκεῦος τὸ τῆς εὐωδίας,
αἴτησαι Χριστὸν ὃν ἔτεκες
βασιλεῦσι μὲν τρόπαια,
τοῦ ἐκ τῆς δουλείας τοῦ ζυγοῦ δοῦναι ἄφεσιν
τῷ λαῷ σου·
σὲ γὰρ ἀπαύστως μεγαλύνομεν.

---

245 πρίτανι cd.: πρύτανει scripsi secundum MITSAKIS, 26 258 προσφέρω cd. 259 πίστει metri causa add.: duo syllabae in v. desunt 264-270 θεοτ. ed. in MR I, 313 et alibi: cfr. IHG I, 215 vv. 267-269 βασιλεῖ μὲν τὰ τρόπαια / τοῦ τῆς δουλείας δὲ / ζυγοῦ δοῦναι τὴν ἄνεσιν τῷ λαῷ σου MR

IN SANCTUM PHANTINUM SENIOREM ASCETAM TAURIANAE IN CALABRIA

Vallic. gr. E 55 = Ec, ff. 94^{v}-95^{v} (*)
Vallic. gr. R 32 = Ed, ff. 2^{rv}, 11^{rv}, 4^{rv}, 5^{rv} (*)
Mess. gr. 140 = O, ff. 176^{v}-180

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Φαντίνου τὰ θαύματα τοῖς ὕμνοις μέλπω· Εὐθύμιος μόνος.
Ἐν δὲ τοῖς θεοτοκίοις· Εὐθυμίου.

Ec f. 95 ‖ Ἦχος β′.

ᾠδὴ α′. *Δεῦτε, λαοί,*
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ θεῷ

Φῶς σε Χριστὸς
τοῖς ἑσπερίοις, Φαντῖνε σοφέ,
ἀνέδειξεν, τοῖς θαύμασι
καταπυρσεύοντα
τὰς ψυχὰς τῶν ἐν πίστει
καὶ πόθῳ γεραιρόντων
τὴν θείαν μνήμην σου.

(*) Cdd. Ec et Ed continent folia disiecta eiusdem menaci: cfr. commentarium p. 619.

tit. in Ec Ὁ κανὼν τοῦ ἁγίου φαντίνου· φέρων ἀκροστιχίδα· φανεύνου (sic) τὰ θαύματα τοῖς ὕμνοις μέλπω· εὐθυμίου (sic) μόνος: ἐν δὲ τοῖς θεοτοκίοις εὐθ<υμίου> lectionem φανεύνου pro φαντίνου deducit Ec ex litteris initialibus vv. 22 et 29: emendanda tamen tantum littera grandis in v. 22, ita ut pateat ex acrostichide lectio Φαντύνου, quam ex consuetudine accipere recte possumus (cfr. app. crit. et commentarium p. 620) duo canones alternatis odis referuntur in Ec Ed: prior, quem hic edimus, alter in S. Christinam ed. MR VI, 207 tantum ὁ κανὼν praebet rubrica in cd. O

heirm. α′ EE 37, n. 51, Cosmae 3 ἀνέδειξεν τοῖς πέρασιν O

Ἄϋλον πῦρ
ἐν τῇ καρδίᾳ ὑφάψας τῇ σῇ,
ἀσκητικῶς διέπρεψας
τοῖς κατορθώμασιν
εἰς τελείωσιν φθάσας,
σοφέ, ἁγιαστίας
φιλοπονίας σπουδῇ.

Νόμον εὐθὲς
δικαιοσύνης γραπτὸν ἐν τῇ σῇ
καρδίᾳ, θεοφώτιστε,
πτωχοῖς ἐπήρκεσας,
τῶν πενήτων φροντίζων,
ἐλαίῳ συμπαθείας
κατακοσμούμενος.

---

14 φιλοπονία O   15 εὐθὲς Ec, εὐθὺς O   20 ἐλέω Ec, sed recte accipere possumus ἐλαίω O: cfr. Matth. 25,7-8

8-21 *Πέτρου ἐπισκόπου δυτικοῦ εἰς τὸν βίον καὶ εἰς τὰ θαύματα τοῦ ἁγίου καὶ ἐνδόξου θεράποντος τοῦ Χριστοῦ Φαντίνου*, ex cd. Vat. gr. 1989, f. 195v, I col.: Οὗτός τε οὗτος ὁ θεόκλητος ἀνὴρ οἰκέτης μὲν ὑπῆρχε πολιτευομένου τινὸς Βαλσαμίου | (II col.) τοὔνομα .....καὶ ἦν λοιπὸν ὁ μακάριος ἐν τῷ κρυπτῷ χριστιανὸς ἀληθινός, τὰς ἐντολὰς τοῦ κυρίου φυλάσσων ἀπαρατρώτους, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος, νηστείαις καὶ δεήσεσιν ἐγκαρτερῶν ἀδιαλείπτως καὶ ἄσπιλον ἑαυτὸν τηρῶν ἀπὸ τοῦ κόσμου καὶ τῶν τοῦ κόσμου ἡδέων, νύκτωρ τε καὶ μεθ' ἡμέραν διὰ τῆς προσευχῆς τῷ θεῷ προσομιλῶν, ἀσκητικόν τινα μετερχόμενος βίον..... || (f. 196, II col.) ..... ἐν τούτοις ὁ μακάριος οὕτως ὑπάρχων καὶ τῇ ἁγνείᾳ καὶ σωφροσύνῃ κεκοσμημένος καὶ τῇ προσευχῇ μετ' ἐγκρατείας πολλῆς προσκαρτερῶν, ἠξιώθη λοιπὸν καὶ θείου χαρίσματος, διὰ τὸ πρὸς τοῖς τοσούτοις αὐτοῦ θείοις πλεονεκτήμασιν ἔτι καὶ φιλόπτωχον ἄγαν εἶναι τοῦτον καὶ οἰκτίρμονα, κατὰ τὴν κυριόλεκτον φωνὴν τὴν λέγουσαν· « γίνεσθε ἀγαθοὶ καὶ οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστίν (Luc. 6,36) ». τῷ ὄντι γὰρ πάνυ ἦν ὁ μακάριος συμπαθέστατος ἐπὶ τοὺς πενομένους, οὓς καὶ || (f. 196v, I col.) ἐλεεῖν προαιρούμενος, καὶ μὴ εὐπορῶν, ἅτε οἰκέτης πέλων, ὑπὸ τῆς συμπαθείας νικώμενος, μὴ ἔχων ἄλλο τι παρέχειν αὐτοῖς, ἐν καιρῷ τοῦ θερισμοῦ τὰ τῶν πενομένων καὶ πτωχῶν δράγματα μεθ' ὧν ἐποίμαινεν ἵππων ἠλόει (ἠλώει cd. pro ἠλόα), καὶ τοῦτο ἐν ταῖς νυξίν, ἵνα μὴ τὸν ἴδιον δεσπότην ἔν τινι δόξῃ παραλυπεῖν καὶ ταραχὴν ἐμποιῆσαι· οὐ γὰρ ἀπησχολεῖτο ἐν ταῖς νυξὶν ἐλπίσι τισὶ ματαίοις εἰς ἔργα ἀθεμίτων πράξεων, καθὼς ἐν τῷ Ἡσαΐᾳ γέγραπται· φησὶ γάρ· « ἐν νυκτὶ ἐλπὶς πονηρὰ (Is. 28,19) ». τοὐναντίον δὲ μᾶλλον ὁ μακάριος οὗτος ἐλπίδι τῆς εἰς θεὸν ἀγαθοεργίας τὰς νύκτας ἀναλίσκων διετέλει, εἰς ἐπικουρίαν τῶν δεομένων ποθῶν.

Τῇ ἱππικῇ
μάστιγι πλήξας τὴν ἅλωνα,
χλοάζειν ταύτην ἔδρασας,
Φαντῖνε κράτιστε,
πεποιθὼς ἐν κυρίῳ,
δι' ἧς τοὺς κακοτρόπους
ψεύστας ἀπέδειξας.

Ὕλην ὡς παῖς
ἐγχειρισθεὶς ὁ θεράπων Χριστοῦ,
τερατουργεῖς ἐξαίσια
δεικνύων, πάνσοφε,
τοῦ κλεινοῦ Ὀνησίμου
ἐν σοὶ τὸν χαρακτῆρα
καὶ τὴν εὐγένειαν.

---

22 Τῇ] Ἐν Ec, sed acrostichis T in initio tropari repetit   23 πλήξας] τύψας O   24 ἤδρασας O   29-35 troparium om. O   29 acrostichis vero litteram initialem I repetit, sed propter consonantiam etiam Y servari potest (cfr. commentarium p. 620)

22-28 *Ibid.*, f. 196v, I col.: ἐν δὲ τῷ οὕτως τὸν μακάριον περὶ τοὺς πτωχοὺς διακεῖσθαι, θέλων ὁ μισόκαλος δαίμων τάχα καὶ τοὺς πτωχοὺς ὑστερῆσαι τῆς ἀναπαύσεως καὶ τὸν μακάριον ἐγκόψαι τῆς προθέσεως καὶ τῆς | (II col.) τοιαύτης ἀγαθοεργίας, ὑποβάλλει τοῦτον ἐθελοκάκοις ἀνδράσι συκοφαντῆσαι τοῦτον, καὶ ἀπελθόντες λέγουσι τῷ κυρίῳ αὐτοῦ ὅτι περ « Φαντῖνος ὁ σὸς οἰκέτης ἐκλύει τὰς ἵππους ἀλοῶν ἐν ταῖς νυξὶ μετ' αὐτῶν τοῖς αὐτῷ προσφιλέσι καὶ φίλοις ». ὁ δὲ ταῦτα ἀκούσας καὶ ἐμμανὴς γενόμενος, ἀναστὰς ἀπήει ὀψόμενος εἰ ταῦτα οὕτως ἔχῃ. αἰσθόμενος δὲ τῷ πνεύματι ὁ μακάριος Φαντῖνος τὸν ἑαυτοῦ κύριον ἐγγίζοντα τῷ τόπῳ, τύψας τῇ ἐν τῇ χειρὶ αὐτοῦ μάστιγι τῶν ἵππων κατὰ τῶν δραγμάτων, τὰ μὲν δράγματα ὡρῶντο ὥσπερ χλόη ἐν ἀγρῷ, αἱ δὲ ἵπποι ἀνέκειντο ὡς ἀναπαυόμεναι ἐπὶ τῇ χλόῃ, αὐτὸς δὲ ἀνακλιθεὶς ἐπὶ τοῦ ἐδάφους ἐκάθευδεν. φθάσας τοιγαροῦν ὁ κύριος αὐτοῦ καὶ τοῦτον καθεύδοντα ἑωρακὼς καὶ τὰς ἵππους ἀνακειμένας τῇ χλόῃ ἐν τῇ ἅλῳ, πληροσελήνου ὄντος, προσφωνεῖ τὸν μακάριον καί φησιν· « τί ἐργάζονται αἱ ἵπποι σου, Φαντῖνε; ». ὁ δὲ ὡς διυπνισθεὶς ὑπ' αὐ||τοῦ (f. 197r, I col.), ἀναστάς φησι πρὸς αὐτόν· « ἰδού, κύριέ μου, ὡς ὁρᾷς ἐν τῇ χλόῃ ἀναπαύονται ». ταῦτα ἀκούσας καὶ ἰδὼν τοῖς ὀφθαλμοῖς αὐτοῦ, καταλιπὼν αὐτὸν ᾤχετο. ὁ δὲ ἅγιος τοῦ θεοῦ οὐκ ἀπέστη τῆς ἀγαθοεργίας ταύτης, ἀλλ' ἐπέμενεν ἀεὶ ἐπιμελῶς ταύτην ἐκτελῶν.

32-35 *Ibid.*, f. 198v, I col.: ..... ἢ καὶ ὡς Ὀνήσιμος ἐκεῖνος — εἰδόσι λέγω —, ὃς καὶ ὑπ' αὐτοῦ τοῦ ἁγίου ἀποστόλου ἠξιώθη μαρτυρηθῆναι εὔχρηστον εὐσεβείας σκεῦος, εἰς ὑπακοὴν μᾶλλον δὲ καὶ ἐλεύθερον καὶ κατὰ σάρκα εὐγενῶν. οἱ τοιοῦτοι

---

33 Col. 4,9; Philem. 10-18

θεοτ. Ἕνα θεὸν
τρισὶ προσώποις δοξάζων ὑμνῶ,
εἰ καὶ ὁ λόγος γέγονεν
ἐκ σοῦ, πανάμωμε,
σὰρξ ἀτρέπτως ὡς οἶδεν·
προσθήκην ἡ τριὰς γὰρ
οὐ προσεδέξατο.

Ec f. 95v || ᾠδὴ β'. *Ἴδετε, ἴδετε*
ὅτι ἐγώ εἰμι
ὁ ἐν θαλάσσῃ σώσας

Νέμων τὰ ἄλογα
ζῷα, πανθαύμαστε,
τοὺς λογικοὺς ἐνῆγες
πρὸς ἔνθεον πολιτείαν
καὶ βίον ἄριστον,
ἐν τῷ δούλῳ δεικνύων
ἐλεύθερον ψυχήν·
καὶ γὰρ Βαλσάμιον τὸν σὸν
κατὰ σάρκα δεσπότην
προσήγαγες τῷ Χριστῷ
ἐν τῷ ὑποδείγματι.

Ὄντως οὐκ ἔσβεσε
τῆς πολιτείας σου

---

v. 40 σαρκοφόρος ὡς εἶδεν O
oden β' om. O
heirm. β' EE 41, n. 55, Joannis

προτιμηθήσονται ἐν δόξῃ παρὰ τοῦ τὰ μωρὰ τοῦ κόσμου ἐκλεξαμένου θεοῦ καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα καὶ τὰ μὴ ὄντα (I Cor. 1,27-28), καὶ ἐξευγενίζοντος ἐν τῇ βασιλείᾳ αὐτοῦ τῇ ἐπουρανίῳ.

43-46 *Ibid.*, f. 199, I col.: ..... καὶ πρώην μὲν ποιμάνας (Phantinus) τὰ ἄλογα ζῷα, νῦν δὲ ποιμαίνοντος τὸν λαὸν κυρίου περιούσιον, ζηλωτὴν καλῶν ἔργων (Tit. 2,14).

50-53 Cfr. notas ad vv. 145-152.

54-64 Cfr. notas ad vv. 22-28.

ὁ τοῖς καλοῖς βασκαίνων
Βελίαρ, ἔνδοξε ἄνερ,
τὸ πρόθυμον καὶ στερρόν,
ἀλλ' ἐπήγου φροντίζων
ὡς ἔθος τῶν πτωχῶν,
νύχιος, μάκαρ, ἀλοῶν
καὶ νικῶν ἐν τῇ πράξει
τὸν φθόνον τὸν πονηρόν,
Χριστοῦ ὡς διάκονος.

Ὕπνον καὶ ἄνεσιν
οὐδ' ὅλως ἔσχηκας·
ἔξω σαρκὸς καὶ κόσμου
ἀγγελοτρόπως βιώσας,
προσανετέθης θεῷ,
ὁσιόφρον Φαντῖνε,
ἐκ δούλων πεφηνὼς
τέκνον θεοῦ καὶ μαρτυρεῖ
τῶν θαυμάτων τὰ πλήθη,
ἐν οἷς σε ὡς ἐκλεκτὸν
Χριστὸς κατεκόσμησεν.

Τίς οὐκ ἐξίσταται
βλέπων τὸν ἄγροικον
καὶ ἰδιώτην πρώην
καὶ ἐν ἐρήμοις τραφέντα
ἄνθρωπον ὄντα θεοῦ
καὶ σοφὸν ἐν τῷ λόγῳ
καὶ πράξει εὐσεβῆ;
καὶ ἀνυμνήσας τὸν θεόν,
ἑαυτὸν μεταβάλλει,
ζηλώσας τὸ πρακτικὸν
Φαντίνου τοῦ μάκαρος.

Αἴγλῃ τοῦ πνεύματος
περιλαμπόμενος

---

82 εὐσεβεῖ Ec 84 μεταβάλει Ec

87-97 Cfr. notas ad vv. 8-21.

τοῖς ἐν στενώσει ἄκρᾳ
ἐταζομένοις ἀνθρώποις,
καὶ δυσπραγίαις πικραῖς
καὶ κινδύνοις καὶ λύπαις
ἀεὶ ἐπικουρῶν,
ποιμὴν ἐδείχθης ἐν Χριστῷ,
μάκαρ θεῖε Φαντῖνε,
διέπων καὶ συντηρῶν
καὶ σκέπων πρεσβείαις σου.

θεοτ. Ὑψίστου πέφηνας
θρόνος καὶ ὄχημα,
ἁγνὴ θεοκυῆτωρ·
ἐν σοὶ θεὸς γὰρ οἰκήσας
τὰς φύσεις ἥνωσεν
ἀσυγχύτως ἀτρέπτως,
εἰς ἓν περιφανῶς
θεὸς καὶ ἄνθρωπος ὁμοῦ
χρηματίσας, παρθένε,
καὶ σώσας ἐκ τῆς φθορᾶς,
ἁγνή, τὸ ἀνθρώπινον.

ᾠδὴ γʹ. *Στερέωσον ἡμᾶς*

Θυσίαν τῷ θεῷ
σαυτὸν προσήγαγες,
ζηλώσας
καὶ πράξει καὶ θεωρίᾳ
τὸν ἀπόστολον Ὀνήσιμον
καὶ κερδήσας, Φαντῖνε, τὰ οὐράνια.

---

heirm. γʹ EE 39, n. 53, Cosmae

111-113 Cfr. notas ad vv. 32-35.

---

99 Cfr. Ez. 1,15-26 109-110 Cfr. Rom. 12,1 113 Col. 4,9; Philem. 10-18

Ed f. 2 ‖ Ἀμείψας τὴν ζωήν,
Φαντῖνε ἔνδοξε,
οὐδ' ὅλως
ἀπέστης τῶν ἀρετῶν σου,
ἀλλ' ὡς μύστης χριστομίμητος
διεξάγεις ἰθύνων τὰ ἑκάστοτε.

Ὑπάρχων τῇ σαρκὶ
καὶ παῖς καὶ μέτριος,
τῇ γνώμῃ
λαμπρότερος ἀνεδείχθης,
τοὺς ἀσάρκους τροπωσάμενος
καὶ νικήσας, Φαντῖνε, τῶν ἐνδόξων τῆς γῆς.

Μετάρσιος ἐκ γῆς
πρὸς τὰ οὐράνια
ἐπήρθης
διφρεύσας ταῖς ἀρεταῖς σου,
καὶ ὁμόσκηνος γενόμενος
τῶν ἀγγέλων, τρυφᾶς τῆς ἀκηράτου ζωῆς.

O f. 177 ‖ Ἀνδρείως τῶν παθῶν
τὴν ἐπανάστασιν
νεκρώσας,
Φαντῖνε, νοσοῦσιν ὤφθης
ἰατρὸς περιφανέστατος,
θεραπεύων ψυχὰς ὁμοῦ καὶ σώματα.

f. 2 θεοτ. ‖ Θεὸν ὑπερφυῶς
ἐν τῇ νηδύι σου
ἀτρέπτως
σαρκώσασα, θεοτόκε,
καὶ τὸν ἄνθρωπον θεώσασα,
τὴν εἰρήνην ἐβράβευσας τοῖς πέρασιν.

---

120 διεξάγει ἰθύνων τὴν καθέξειαν O ἰθύνοντα ἑκάστοτε Ed 126 τοὺς ἐνδόξους O 127-132 troparium om. O 133-138 unum troparium in Ed om., servat O: cfr. commentarium p. 619

Κάθισμα.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως*

Ed f. 2v || Τῇ καθαρᾷ σου πρὸς θεὸν παρρησίᾳ
καὶ ἐπιμόνῳ πρὸς αὐτὸν ἱκεσίᾳ
πάσης ἡμᾶς στενώσεως, Φαντῖνε σοφέ,
λύτρωσαι, δεόμεθα,
ὁδηγῶν ἡμᾶς πάντας
τρίβον πρὸς οὐράνιον
διὰ πράξεων θείων
τοὺς τὴν σεπτήν σου ταύτην καὶ φαιδρὰν
καὶ φωτοφόρον
τελοῦντας πανήγυριν.

Ἄλλο.

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ λόγου ἐν σῇ γαστρὶ*

Ἀρετῶν λαμπροτάτῳ θείῳ φωτὶ
αὐγασθεὶς τὴν καρδίαν καὶ τὴν ψυχήν,
τὸ σκότος διέφυγες
τῶν παθῶν, ἀξιάγαστε,
καὶ θαυμάτων χάριν
πλουτήσας ἀέναον,
ἰατρεύεις πάθη,
Φαντῖνε, ἀνίατα,
ὅθεν τὴν ἁγίαν
ἐκτελοῦντές σου μνήμην,
τὴν θήκην σου, ἔνδοξε,

post duo καθθ. in S. Christinam (Τὸ αἷμά σου, σεμνή, MR VI, 208, et Φωτοειδὴς περιστερά, MR VI, 210) refert Ed hoc ordine καθθ. in S. Phantinum, cd. O autem tantum καθθ. in S. Phantinum praebet, secundum κάθ. primo anteponens

heirm. primi καθ. HR 29   1 Τῇ] Ἡ O   2 ἐπιμόνῳ] ἐπονύμω O ἱκεσίᾳ] παρρησία Ed

heirm. secundi καθ. MR I, 68   6 πλουτίσας cdd.

ἀσπαζόμεθα πάντοτε
καὶ συμφώνως βοῶμέν σοι·
« πρέσβευε Χριστῷ τῷ θεῷ
τῶν ⟨πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου⟩ ».

ᾠδὴ δ'. *Τὴν ἐκ παρθένου σου γέννησιν*

Τῷ παραδόξῳ περάματι
ἐκπλαγεὶς τοῦ Μεταύρου
ὁ Βαλσάμιος θερμῶς
ἐκλιπαρεῖ συμμεθέξαι σοι τῆς ἐργασίας,
τάχος μεταβληθεὶς
ἐκ διώκτου εἰς ἄρνα,
ἐκατέστη
τῶν πρακτέων μαθητής.

14-17 post πρέσβευε Ed, post τῶν (v. 15) O cetera om.

heirm. δ' EE 43, n. 57, Andreae   148 ἐκλυπαρει σὺν μεθέξεσι τῆς ἐργασίας O   151 ἐκατέστης O, ἐκατέστη Ed pro κατέστη: cfr. PSALTES, 205-206

145-152 *Ibid.*, f. 197r, I col.: πάλιν οὖν οἱ μισόκαλοι καὶ βάσκανοι ἐκεῖνοι ἀπέρχονται πρὸς Βαλσάμιον τὸν κύριον αὐτοῦ καὶ λέγουσιν αὐτῷ· « ἵνα τί οὕτως ἔασας τὸν οἰκέτην σου ἐκλύειν τὰς ἵππους εἰς ἀλλοτρίους καμάτους; καὶ ἰδοὺ ἀπειργάσατο αὐτὰς αἰσχρὰς τῷ εἴδει καὶ λεπτὰς ταῖς σαρξίν, ὡς ἐντεῦθεν μὴ χρησίμους εἶναι τοῦ λοιποῦ πρὸς τὴν σὴν ὑπηρεσίαν ». τοῦ δὲ δυσανασχετοῦντος ἐπὶ τούτῳ, λέγουσιν αὐτῷ οἱ δεινοί· « εἰ θέλεις ἐν πληροφορίᾳ γενέσθαι, ἔρχου καὶ ἴδε ». ἀναστὰς τοίνυν εὐθύς, ἀπήει ἔφιππος πρὸς τὸ θεάσασθαι τὰ ὑπ' αὐτῶν λεχθέντα, εἰ οὕτως ἔχει ὡς αὐτοὶ ἔφησαν. ὁ δὲ ἅγιος εἰς πλήρης ἔχων τὸ ἔργον, καὶ αἰσθόμενος | (II col.) τὸν ἑαυτοῦ δεσπότην ἐγγίζοντα, ἐπέβη καὶ αὐτὸς τῷ συνήθει αὐτοῦ ἵππῳ καὶ ἀπήει ἐλαύνων τὰς ἵππους πρὸς τὸ διαβιβάσαι αὐτὰς πρὸς τὸν παρακείμενον ποταμόν· ὄνομα δὲ τῷ ποταμῷ Μέταυρος, ὅστις ποταμὸς ὡς ἅτε ἐξ ὄρους ὑψηλοῦ ἐπὶ τὸ πρανὲς κατερχόμενος, ὀξύρρειτός τε ἐστὶν καὶ δεινός..... || (f. 197v, II col.) .....τοῦτον τὸν ποταμὸν θέλων διαπερᾶσαι ὁ ἅγιος μετὰ τῶν ἵππων, ὡς εἴρηται, διὰ τὸ ἀποκαταστῆσαι αὐτὰς ἐν τῇ συνήθει αὐτῶν στάσει, καὶ ἰδὼν αὐτὸν πλημμυροῦντα πάνυ καθ' ὅλην τὴν κρηπῖδα αὐτοῦ καὶ κατανοήσας ὡς οὐχ οἷόν τε ἐστὶν αὐτὸν ῥαδίως διελθεῖν καὶ τὸν ἑαυτοῦ κύριον κατόπισθεν διώκοντα ὁρῶν, προσευχῇ καθοπλισθεὶς καὶ καθάπερ ὁ μέγας Μωϋσῆς, ὡς οἶμαι, τοῖς νοεροῖς ὠσὶν ἀκούσας παρὰ τοῦ θεοῦ « τί βοᾷς πρός με; » καὶ τὰ ἑξῆς (Ex. 14,15 ss.), ἠρέμα τὸν ἵππον ἤλαυνε καὶ τὴν ῥάβδον τῇ χειρὶ ἀνατείνας καὶ τὸ

'Αλαλαγμὸν χαριστήριον
ἐποφείλει σοι ᾄδειν
Ταυριάνης ὁ λαός·
σὺ γὰρ βαρβάρων τὴν ἔφοδον νηοπορούντων
ἔτρεψας νοητῶς,
ταύτας φλέξας καὶ πείσας
τοὺς φονέας
βαπτισθῆναι ἐν Χριστῷ.

---

156 νηοπορούντων] ποντωπορούντων O

ὕδωρ τοῦ ποταμοῦ ἐν αὐτῇ τύψας, ὡς ἐμψύχῳ τούτῳ « στῆθι », ἔφη, « Μέταυρε, Φαντῖνος γὰρ ὁ τοῦ θεοῦ δοῦλος περᾷ ». καὶ διέστη τὸ ὕδωρ ἔνθα καὶ ἔνθα καὶ διέβη ὁ ἅγιος μετὰ τῶν ἵππων ὡς διὰ ξηρᾶς. ὁ δὲ τούτου κύριος || (f. 198r, I col.) καθάπερ ὁ Φαραὼ κατόπισθεν διώκων (Ex. 14,5 ss.) καὶ τὸ φοβερὸν τοῦτο θεασάμενος θαῦμα, ἐβόησεν ὀπίσω αὐτοῦ, φωνῇ μεγάλῃ λέγων· « ἐλέησόν με, δοῦλε τοῦ θεοῦ τοῦ ὑψίστου, καὶ κέλευσόν με ἐλθεῖν πρὸς σέ ». οὐ γὰρ διέμεινεν ἡ καρδία αὐτοῦ καθάπερ ἡ τοῦ Φαραὼ σκληρυνομένη (Ex. 14,4.17), κἂν ἐδίωκεν, ἀλλὰ τῷ φόβῳ τοῦ θαύματος μετῆλθεν εὐθὺς εἰς ἐπίγνωσιν θεοῦ. ὁ δὲ ἅγιος εὐξάμενος καὶ ὑπὲρ αὐτοῦ, παρεσκεύασε καὶ αὐτὸν διεξελθεῖν εἰς τὸ πέρας ὡς διὰ ξηρᾶς· καὶ εὐθέως ἀπεκατέστη τὸ ὕδωρ εἰς τὸν ἴδιον τόπον. τότε ὁ Βαλσάμιος τὸ θαῦμα τοῦτο θεασάμενος καὶ ἐκπλαγεὶς φόβῳ τῷ μεγάλῳ καὶ φρίκῃ ληφθείς, πίπτει εἰς τοὺς πόδας τοῦ ἁγίου, αἰτῶν συγγνώμην παρ'αὐτοῦ καὶ λέγων σὺν δάκρυσιν· « νῦν οἶδα ὅτι ἀληθῶς δοῦλος τοῦ θεοῦ σὺ ὑπάρχεις, καὶ ἀπὸ τοῦ νῦν σύ μου εἶ κύριος καὶ δεσπότης ».

156-160 *Ibid.*, f. 207r, I col. (*Εἰς τὰ θαύματα τοῦ ὁσίου πατρὸς ἡμῶν Φαντίνου,* θαῦμα ιη'· *περὶ τῶν συλληφθέντων 'Αγαρηνῶν*): ποτὲ τῶν ἀθέων 'Αγαρηνῶν ἀπ' 'Αφρικῆς ἐλθόντων μετὰ πλοίων μετὰ δυνάμεως πολλῆς πρὸς τὸ ἐκπορθῆσαι καὶ λεηλατῆσαι πόλεις τε καὶ χώρας τῶν χριστιανῶν, ἐν αὐτῇ τῇ ἱερᾷ μνήμῃ τοῦ ὁσίου, ἐν ᾗ πᾶς ὁ τοῦ τόπου λαὸς συναθροισθεὶς κατὰ τὸ σύνηθες πανδημὶ πανηγυρίζειν καὶ μεγάλως ἑορτάζειν ἐπὶ τῇ μνήμῃ τοῦ ὁσίου, ἥτις τελεῖται τετάρτῃ καὶ εἰκάδι τοῦ ἰουλίου μηνός, συνέβη οὖν σκάφη τινῶν τῶν ἀθέων ἐκείνων κατὰ τῆς χώρας ταύτης ὁρμῆσαι καὶ δὴ ἀντικρὺς τοῦ ναοῦ τοῦ ἁγίου μιᾶς ἐκείνων φανείσης, ἄφνω λαῖλαψ ἀνέμου τὴν θάλασσαν διετάραξεν· τότε ἡ ναῦς ὑπὸ τῆς βίας τοῦ πνεύματος καὶ τῶν κυμάτων ἐλαυνομένη, ταῖς πέτραις προσραγεῖσα συνετρίβη. οἱ δὲ ἐν αὐτῇ ὄντες πολέμιοι, οἱ μὲν ἐν τῷ βυθῷ ἀπώλοντο, οἱ δὲ ὑπὸ τῶν ἐκεῖσε δραμόντων χριστιανῶν συνελήφθησαν ζῶντες, οἳ καὶ διηγοῦντο τοῖς συλλαβοῦσιν αὐτούς, λέγοντες ὅτι· « ἐγγίσαντες τῷ τόπῳ τούτῳ, εἴδομεν ἐπὶ τοῦ σκοπέλου ἄνδρα τινὰ νεώτερον τὴν ἡλικίαν, δαλὸν τυφόμενον ἐν τῇ χειρὶ κατέχοντα· οὗτινος νεωτέρου πλησίον ἵστατο γυνή τις πορφυροφόρος, ἧς τῷ νεύματι ῥίψας αὐτὸς ὅνπερ ἐν τῇ χειρὶ κατεῖχε δαλὸν κατὰ τῆς νηὸς μετὰ ἀπειλῆς εὐθέως σπάσας αὐτὴν βυθισθῆναι ». ταῦτα ἀκούσαντες | (II col.) παρὰ τῶν 'Αγαρηνῶν, οἱ ὄντες ἐν τῇ μνήμῃ τοῦ ἁγίου ἐδόξαζον τὸν θεόν. οἱ δὲ συλληφθέντες 'Αγαρηνοί, ἐκ τοῦ γεγονότος εἰς αὐτοὺς θαύματος καὶ πιστεύσαντες ἐβαπτίσθησαν καὶ ἐγένοντο χριστιανοί, καὶ εἰς τὰ ἴδια μηκέτι ὑποστρέψαι θελήσαντες.

Τὰ κατορθώματα, ὅσιε,
τῶν ἐνθέων σου ἔργων
καὶ ὁ βίος σου λαμπρὸς
Ταυριανῶν καταυγάζουσι τὴν ἐκκλησίαν·
ὅθεν σου τὴν ταφὴν
μακαρίζει καὶ σέβει
σὺν ⟨τῇ εἰ⟩κόνι
καὶ τὰ λείψανα πιστῶς.

Οἱ ἐν ποικίλοις νοσήμασιν
ἐταζόμενοι πάντες,
δεῦτε νῦν ἐκ τῆς σοροῦ
τοῦ μακαρίου ἀντλήσωμεν ὑγείας νᾶμα
θεῖον ψυχωφελές·
ἀρδευόμενοι ῥῶσιν,
τὰς ἰάσεις
ἐξαντλοῦμεν δαψιλῶς.

'Ιππονωμῶν, θεοφώτιστε,
ὡς Μωσῆς ἐδοξάσθης,
λαμπρυνθεὶς ὡς 'Ηλιοὺ

---

163 σου λαμπρὸς] ὁ λαμπρῶς O 165 ταφὴν] μνήμην O 167 ⟨τῇ εἰ⟩ non legitur in Ed σὺν τημβόνη O (cfr. commentarium p. 619 s. notam. 9) vv. 175-176 ἐξαντλοῦντες / τὰς ἰάσις δαψιλῶς O 177-184 troparium om. O

165-176 *Ibid.* (*Vita*), f. 199v, I col.: ..... ἡ δὲ ταφὴ φανερὰ καὶ δήλη καθέστηκεν, βρύουσα ἄχρι τῆς δεῦρο ἐν τῷ αὐτοῦ σηκῷ, ὥσπερ ἀέναος πηγή, ἰαμάτων ῥεῖθρα τοῖς πόθῳ καὶ πίστει προστρέχουσιν.....

177-178 *Ibid.*, f. 195v, II col.: ὅπερ δὲ ἐπὶ τοῦ Μωϋσέως τῆς θείας ἠκούσαμεν γραφῆς λεγούσης ὅτι νέμων τὰ πρόβατα 'Ιοθὸρ τοῦ πενθεροῦ αὐτοῦ ἱερέως Μαδιὰμ ἐν τῇ ἐρήμῳ τῆς θείας ἐκείνης θεοπτίας κατηξιώθη διὰ τῆς ἐν τῇ βάτῳ || (f. 196r, I col.) φωτοφανείας (Ex. 3,1-3), καὶ οὕτως συνόμιλος θεοῦ γεγονώς, τὰ φοβερὰ ἐκεῖνα ἐτερατούργησε θαύματα.

177-182 Cfr. *ibid.*, f. 199v, II col.: ..... οἷον τῷ μὲν Μωϋσῇ τὸ πρᾶον, ὡς καὶ τῷ Δαυΐδ, 'Ελισσαίῳ τὸ ἄπλαστον, ὡς τῷ 'Ιακώβ, 'Ηλίᾳ δὲ ὁ ζῆλος.....

177-178 Cfr. Ex. 3,1-3 179 Cfr. III Regn. 19,9 ss.

καὶ ὡς Δαυῒδ ἐχρημάτισας ποιμήν, Φαντῖνε,
φέρων τὸ καθαρὸν
τῆς ψυχῆς Ἐλισσαίου,
Ἰωάννου
καὶ τὴν ἔρημον ζηλῶν.

Ed f. 11 θεοτ. ‖ Ὑποχωρεῖ μοι τῷ τόκῳ σου
ἡ φλογίνη ῥομφαία,
μητροπάρθενε ἁγνή·
ὁ γὰρ ἐν μήτρᾳ οἰκήσας σου θεὸς καὶ λόγος
ἔλυσε τοῦ φραγμοῦ
τὸ μεσότοιχον, δείξας
κληρονόμους
παραδείσου τοὺς βροτούς.

ᾠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός

Σὺ ὡς φωστὴρ νοητὸς
τῶν Σικελῶν καὶ Καλαβρῶν ἤστραψας
τὸν φαεινὸν
σοῦ βίον, ἐκτρέπων,
Φαντῖνε, σὺν θεῷ
τὴν τῶν πολεμίων
ἀχλὺν ταῖς πρεσβείαις σου.

---

190 μεσώτειχον O
heirm ε' EE 38, n. 51, Cosmae 193 νοητῶς O 194 τῶν καλαβρῶν καὶ σικελῶν O 195 τὸν] τὸ Ed 195-196 τῶ φαϊνῶ / ἐκτρέπων τοῦ βίου O 199 ταῖς πρεσβείαις σου] ἀποδίωξον O

---

180 Cfr. *ibid.*, f. 200r, II col.: ..... ἑκὼν παρελεύσομαι, ὡς καὶ Δαυῒδ τὸν προφήτην ὁμοῦ καὶ βασιλέα — περὶ οὗ νῦν λέγειν κατὰ μέρος οὐκ ἔξεστιν· ἴσασι γὰρ τὰ περὶ αὐτοῦ οἱ τῆς ἁγίας γραφῆς μύσται — πῶς ἐκ τῶν ποιμνίων τῶν προβάτων (I Regn. 16,11-13) ἔλαβεν αὐτὸν κύριος ὁ θεὸς ποιμαίνειν Ἰακὼβ τὸν δοῦλον αὐτοῦ καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ (II Regn. 5,1-5).

---

180 Cfr. I Regn. 16,11 ss. 181-182 Cfr. III Regn. 19,19-21 183-184 Luc. 1,80 186 Gen. 3,24 189-190 Eph. 2,14

Ὑπερασπίζων ἀεὶ
τῶν δεομένων καὶ πτωχῶν ἔσπευσας
καὶ τὴν αὐτῶν
ἐποίεις φροντίδα,
ἑκάστοτε σοφῶς
τὰ πρόσφορα νέμων,
Φαντῖνε θεόληπτε.

Μετὰ μαρτύρων τὴν σὴν
ὁσιωτάτην τελετὴν μέλπομεν,
ὡς τῆς αὐτῶν
ἐμφύτου ἀνδρείας
κροτοῦντες ψαλμικῶς·
καὶ γάρ ἐστιν ὄντως
κλητὴ ἑορτὴ τῷ θεῷ.

Νῦν ἐν τῇ σοῦ ἀτρεκῶς
ἡ ῥάβδος ἡ μωσαϊκὴ δέδεικται·
τὸν ποταμὸν
πατάξας γὰρ ταύτῃ,
διήγαγες πρὸς σὲ
πιστῶς ἐξαιτοῦντα
Βαλσάμιον, δοῦλε θεοῦ.

---

203 ποιεῖσθαι φροντίδα O 204 σαφῶς O 219 ἐξαιτοῦνται Ed 220 δοῦλον O

207-213 Cfr. commentarium p. 618.
214-220 Cfr. notas ad vv. 145-152 et *Vitam*, *ibid.*, f. 198r, I col.: κατανοῆσαι δέ ἐστιν καὶ ὅπερ συνέβη ἐν τῷ γεγονότι θαύματι· καὶ γὰρ τῇ ῥάβδῳ, τῇ ὑπὸ τοῦ | (II col.) ἁγίου φερομένῃ καὶ δερματίνη τις μάστιξ προσδεδεμένη — τοιαύτας γὰρ μάστιγας εἴθισται τοῖς ἵππους νέμουσιν ἐπιφέρεσθαι, ἅστινας δὲ καὶ ταυρέας ὀνομάζουσιν —, καὶ ἦν ἰδεῖν θαῦμα ἐπὶ θαύματι ὄντως ἐξαίσιον· διὰ μὲν γὰρ τῆς ῥάβδου τὸ τοῦ Μωϋσέως θαῦμα (θαύματι cd.), διὰ δὲ τῆς δερματίνης μάστιγος τὸ τοῦ Ἠλιοὺ καὶ Ἐλισσαίου ἐφάμιλλον γέγονε θαῦμα, τὸ ὑπὸ τοῦ ἁγίου τούτου ἀποτελεσθὲν τέρας· ὥσπερ γὰρ αὐτὸς ὁ μὲν τῇ ῥάβδῳ τὴν Ἐρυθρὰν θάλασσαν (Ex. 14, 16 ss.), οἱ (ὁ cd.) δὲ τῇ μηλωτῇ τὸν Ἰορδάνην ποταμὸν πλήξαντες, διέβησαν ἀβρόχοις ποσὶν (IV Regn. 2,8-14), οὕτως καὶ ὁ θαυμαστὸς οὗτος ....

---

215 Cfr. Ex. 4,2-5; 14,16 ss.

Οἶκον σαυτὸν ἱερὸν
δι' ἐργασίας τῶν καλῶν ἥδρασας,
ἐν ᾧ Χριστὸς
οἰκήσας, παμμάκαρ,
ἐπλήρωσε πολλῶν
Ed f. 11v ‖ χαρισμάτων· ὅθεν
ἐκλάμπεις τοῖς πέρασιν.

θεοτ. Μορφοῦται ὅλον ἐμὲ
ἀπεριγράπτως ὁ θεός, δέσποινα,
ἐκ τῶν ἁγνῶν
καὶ θείων αἱμάτων
παρθενίας τῆς σῆς
καὶ κόσμον καινίζει
φθαρέντα, ὡς εὔσπλαγχνος.

ᾠδὴ ς'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ἰωάννου ζηλώσας τὴν ἔρημον
καὶ τὴν Ἠλιοὺ ἀτροφίαν, θαυμάσιε,
ἴσοις αὐτῶν χαρίσμασι
πρὸς θεοῦ ἐπλουτίσθης, φωτώνυμε.

Σοβαρῶς κατὰ σοῦ ἐπαιρόμενον
τὸν ἐχθρὸν καὶ βάσκανον τῶν εὐσεβῶν καὶ πιστῶν
διὰ νηστείας, ὅσιε,
καὶ εὐχῶν καὶ δακρύων κατέρραξας.

221-227 troparium om. O 229 ὁ ἀπερίγραπτος θεὸς O heirm. ς' EE 34, n. 46, Joannis 238 πρὸς θεὸν ἐφωτίσθεις φωτόνυμε O 239 Σοβαρὸς ... ἐπαιρώμενος O 240 τῶν] καὶ O

---

238 Cf. commentarium p. 618.

---

235 Cfr. Luc. 1,80 236 Cfr. III Regn. 17,6; 19,8

Μονοτρόπως τοῦ βίου τὴν θάλασσαν
ζήσας, πανσοφώτατε, ἀβρόχοις ἔπλευσας,
τῷ πηδαλίῳ ἄριστα
κυβερνώμενος, μάκαρ, τοῦ πνεύματος.

Ἐν νυκτὶ καὶ ἡμέρᾳ τὸν ἔλεον
βλύζων τοῖς πτωχεύουσι καὶ πενομένοις, σοφέ,
τὰς ἐντολὰς ἐπλήρωσας,
ἀγαπῶν σὺν θεῷ τοὺς πλησίον σου.

Λογισμοὺς ἐκκαθαίρων καὶ ὕψωμα
ἅπαν ἐπαιρόμενον κατὰ θεοῦ ἀπρεπῶς,
Φαντῖνε θεοφώτιστε,
τὰ πρακτέα ἡμῖν εἰσηγήσω λαμπρῶς.

θεοτ. Ἰησοῦν τὸν σωτῆρα ὡς τέξασα,
πᾶσαν τῆς προμήτορος τὴν λύπην ἔλυσας·
τοὺς πίστει ἀνυμνοῦντάς σε,
θεοτόκε παρθένε, διάσωσον.

---

244 ἀβρόχως O forte melius quam ἀβρόχοις (ποσὶ) 248 βρύων τοῖς πτωχεύσασιν O 251-254 troparium om. O
post odem ς' praebet Ed tantum κοντάκ. et οἶκ. in S. Christinam (κοντάκ. Παρθενίας ἄνθεσιν, TRM σοθ', et οἶκ. ineditum Τὸν θεῖον ἔρωτα Χριστοῦ), refert autem O κοντάκ. et οἶκ. in S. Phantinum:

Κοντάκιον.
Ἦχος β'. *Τὴν ἐν πρεσβείαις* (MR VI, 416)

Ὁ ἐν ἐρήμοις
καὶ ὄρεσι καὶ σπηλαίοις
περιπολεύων
καὶ πένητας διατρέφων,
μάκαρ θεσπέσιε καὶ ἰσάγγελε,
ἵππους νέμων ἐβόας, ⟨Φαντῖνε⟩, πρὸς κύριον·
« οὐδείς με χωρίσει τῆς ἀγάπης Χριστοῦ ».

Ὁ οἶκος. ⟨*Τείχισόν μου*
τὰς φρένας, σωτήρ μου,⟩ (MR VI, 416)

Φῶς καὶ ζωὴ
φαιδρῶς ἀπαστράπτει
ἐν καρδίᾳ σου, μάκαρ,

243-244 Cfr. Ex. 14,15 ss. 250 Matth. 5,43; 19,19 etc. 251-252 II Cor. 10,4-5

Ed f. 4 || ᾠδὴ ζ′. *Εἰκόνος χρυσῆς*

Προσέλθωμεν δὴ
οἱ νοσοῦντες τῇ σορῷ τοῦ θεομάκαρος
καὶ φωτισθέντες τὴν διάνοιαν,
ἁγιασθῶμεν τὰ σώματα·
βλύζει γὰρ ἡ χάρις πλουσίως
τὰ σωτήρια νάματα
ἐκ τοῦ νυχίως ἐκ θεοῦ
ὑφαπτομένου φωτός.

῞Ωσπερ ἐκ φωτὸς
ἀνατείλας θεϊκοῦ φῶς ἀνελάμπρυνας
Ed f. 4v || τὴν ἑσπερίαν ταῖς ἀκτίσεσι
τῆς πολιτείας, ἀοίδιμε,
ἀγαθοεργῶς ἐπὶ πράξεις
προτρεπόμενος ἅπαντας
θεοφιλεῖς τοὺς εὐσεβῶς
ζηλοτυποῦντας τὰ σά.

᾿Εξέστη ὁρῶν
ὁ Βαλσάμιος τὰς σὰς ἀνδραγαθίας,

δᾳδουχεῖς ὡς λαμπτήρ,
θεόφρον ἀξιοθαύμαστε·
ὑπάρχων γὰρ πρᾶος καὶ ταπεινόφρων
καὶ ἀσκήσει τὸ σῶμά <σου> νενεκρωμένος,
καθηγητὴς
Βαλσαμίου αὐτὸς ἐχρημάτισας,
ἑλκύσας εἰς σωτηρίαν
πρὸς λιμένα τοῦ θείου θελήματος·
νυκτὸς ὁμίχλην ἀπήλασας
ἐκβοῶν παρρησίᾳ πρὸς κύριον·
« οὐδείς με χωρίσει τῆς ἀγάπης Χριστοῦ ».

heirm. ζ′ EE 39, n. 53, Cosmae v. 267 ῾Ως φῶς ἐκ φωτὸς O 268 φῶς ἀνελάμπρυνας] πᾶσαν ἐλάμπρυνας O 269 ταῖς ἀκτίσειν σου O 271 ἐπὶ πράξεις] ἐν τῇ πράξει O 274 τὰς σὰς O

275-282 Cfr. notas ad vv. 145-152.

πνευματοφόρε, πῶς τὸν Μέταυρον
διὰ ξηρᾶς ἐπαρίππευσας·
ὅθεν θρηνῳδῶν ἐλιπάρει
συναφθῆναί σοι, ἔνδοξε,
καὶ κοινωνεῖν τῆς βιοτῆς
καὶ τῶν χρηστῶν δωρεῶν.

῾Υπέρμαχος ὢν
καὶ προστάτης σὺν θεῷ καὶ ἀντιλήπτωρ
τῶν πτωχονοίων, παναοίδιμε,
καὶ ἐπηλύδων πρεσβείαις σου
πάντας ὁδηγῶν κατευθύνῃς
τῇ προσούσῃ σοι χάριτι,
περιφρουρῶν καὶ συντηρῶν
ἀπὸ παντὸς πειρασμοῦ.

Θορύβους λιπὼν
εὐσεβῶς τοὺς κοσμικούς, ἐφυγαδεύθης πιστῶς
ἐν τῇ ἐρήμῳ αὐλιζόμενος,
Φαντῖνε μάκαρ, καὶ ὄρεσιν,
ἔνθα τὰς αἰσθήσεις καθαίρων
τοῦ νοός, προσωμίλησας
μόνῳ τελείως τῷ θεῷ,
πρεσβεύων ὑπὲρ ἡμῶν.

θεοτ. ῾Ο λόγος ἐν σοὶ
σὰρξ ἀτρέπτως γεγονώς, παρθενομήτωρ ἁγνή,
ἀνακαινίζει ἐν τῇ μήτρᾳ σου

---

278 ἐπαρίππευσας: cfr. PSALTES, 205 ἐπαρίπτευσας O 282 χρηστῶν] χριστοῦ O 284 post ἀντιλήπτωρ add. O πιστῶς 285 πτωχονίων Ed in lexicis deest] ἑσπερίων O παναοίδιμε] πάτερ τίμιε O 286 ἐπηλύδων (ἐπιλίδων O)] πενιδῶν ταῖς Ed 288 τῇ] τῆς Ed τῇ προσιοῦσί σοι χάριτι O 291-298 troparium om. O 291 λειπὼν Ed 299 Θεοῦ λόγος ἐν σοὶ O

291-298 Cfr. *ibid.*, f. 196r, I col.: ..... πιστευθεὶς γὰρ παρὰ τοῦ κυρίου αὐτοῦ ἀγέλην ἵππων πρὸς τὸ νέμειν αὐτάς, ἣν λοιπὸν διάγων σὺν αὐταῖς ἐν τοῖς ὄρεσι καὶ ἐρήμοις τόποις, διὰ δὲ τῆς τούτων ἀφορμῆς φεύγων μὲν τοὺς ἀνθρώπους, τὴν ἐρημίαν τε καὶ τὴν ἡσυχίαν μᾶλλον ἑλόμενος διὰ τὸ ἐντεῦθεν ἀπερισπάστως τῷ θεῷ προσεύχεσθαι καὶ τὸν νοῦν ἐπισυνάγειν.

καταφθαρέντα τὸν ἄνθρωπον,
δείξας θεϊκῆς μετουσίας
κοινωνὸν ὡς φιλάνθρωπος·
διὸ ὡς πρόξενον ζωῆς
σὲ μακαρίζομεν.

Ed f. 5 ‖ ᾠδὴ η΄. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Ὕλης παθῶν ἐκκαθαρθεὶς
καὶ πτερώσας σου τὸν νοῦν δι' ἐγκρατείας,
ἠξιώθης, Φαντῖνε,
τῶν ὀρεκτῶν μετασχεῖν
τὴν γνῶσιν·
ὅθεν καὶ γεγένησαι
τοῖς ἀπορουμένοις
ἐπίκουρος προστάτης.

Μωσῆς ὁ μέγας καὶ Δαυὶδ
ἐκ προβάτων εἰς λαοῦ ἐπιστασίαν
μετηνέχθησαν· σὺ δέ,
Φαντῖνε, μύστης ἡμῶν
ἐδείχθης,
ὡς πρᾶγμα καὶ ὄνομα
φέρων εὐσεβείας
τῶν δυτικῶν εἰς κλέος.

Ἰδού, μακάριε, τῷ σῷ
νῦν προστρέχοντες ναῷ μετ' εὐφροσύνης,
ἀρυόμεθα πίστει

---

304 κοινωνῶν O
heirm. η΄ EE 35, n. 47, Joannis 307 ἐγκαθαρθεὶς O 308 καὶ πτερώσσα σου O 312 γεγέννησε O 316 ἐκ] καὶ O 317 μετενέχθησαν O 324 προστρέχωμεν O

307-314 Cfr. notas ad vv. 8-21.
315-317 Cfr. notas ad vv. 177-180.

315-317 Cfr. Ex. 3,1 ss.; I Regn. 16,1 ss.

ὑγείας ὕδωρ, ἐξ οὗ
πηγάζεις
πᾶσι τὰ ἰάματα,
ψυχὰς θεραπεύεις
καὶ σώματα ῥωννύεις.

Ὁ οὐρανός τε καὶ ἡ γῆ
ἑορτάζοντες ὁμοῦ συνευωχοῦνται·
ὁ μὲν ὅτι φωστῆρας
κεκόσμηται φαεινούς,
ἡ δὲ νῦν
ὅτι μύρου ἐμπέπλησται
θείας εὐωδίας
Φαντίνου ἐν τῇ μνήμῃ.

Σὺ τὸν Ὀνήσιμον καλῶς
τὸν τοῦ Παύλου φοιτητὴν παραζηλώσας,
ᾑρετίσω, Φαντῖνε,
δουλεύειν ζῶντι θεῷ,
ἀμείψας
ἐνθέως, πανάριστε,
τὴν ἰσοθεΐαν
εἰς πάντας τοὺς αἰῶνας.

θεοτ. Ὑπερμαχοῦσα κραταιῶς
τοῦ λαοῦ σου τοῦ πιστοῦ, εὐλογημένη,
συστρατήγησον τούτῳ
κατὰ βαρβάρων ἐχθρῶν
εὐχαῖς σου
καὶ λῦσον τὰ σκάνδαλα,
τὴν εἰρήνην τάχος
ἡμῖν παρεχομένη.

---

326 ἐκ σοῦ cdd. 334 καὶ κοσμίται O 335 ὁ δὲ νῦν O νῦν om. Ed 336 ἐμπέπλησται] ἔμπλεος O 339-346 troparium om. O 346 αἰῶνας om. Ed 347 Ὑπερμαχοῦσαν O 349 σὺν στρατίγησον O τοῦτο cdd.

339-340 Cfr. notas ad vv. 32-35.

---

339 Col. 4,9; Philem. 10-18 342 I Thess. 1,10

Ed f. 5v

‖ ᾠδὴ θ'. *Τὸν ἐκ θεοῦ θεὸν λόγον*

Μυσταγωγὸν τῶν καλῶν σε
ἡ ἐνάρετος πρᾶξις
ἀνέδειξε καὶ βίος ὁ λαμπρός·
ὅθεν Βαλσάμιον εἵλκυσας
μετασχεῖν σοι, τρισμάκαρ,
τῶν πόνων καὶ ἀγώνων τῶν σεπτῶν
καὶ τυχεῖν τῆς ἐκεῖθεν
σὺν σοὶ μακαριότητος.

Ὄλβος θεόσδοτος ὤφθης
τῶν πτωχῶν, θεομύστα,
ἀπόρων ὁ ἐπίκουρος θερμός,
τῶν θλιβομένων παράκλησις,
δαιμονώντων ταχεῖα
ἐπίσκεψις, Φαντῖνε, ἐκ θεοῦ
τὴν ἐν σοὶ μετὰ τέλους
ἐμφαίνων ἁγιότητα.

Νέος Μωσῆς ἀνεδείχθης
μετὰ πότμον βυθίσας,
Φαντῖνε, τοὺς χαράβους ἐν βυθῷ
τῶν ἐκ τῆς Ἄγαρ, θεόληπτε,
διασώσας θανάτου
τὸν νέον Ἰσραήλ, ὃν εὐσεβῶς
καθορᾷς προσκυνοῦντα
τὸν ἕνα ἐν τριάδι θεόν.

heirm. θ' EE 34, n. 46, Joannis 355 Μυσταγωγῶν σε τῶν καλῶν O 365 ὁ] δὲ O 367 δαιμωνούντων O 373 ἐν βυθῷ] ἐν φλογὶ O 376 ὃν] τῶν O v. 377 καθαρόντα τῇ πίστει O

358-362 Cfr. notas ad vv. 145-152.
371-378 Cfr. notas ad vv. 156-160.

371-376 Cfr. Ex. 14,15-31

Ὃν ἐμορφώθης ἐκ τρόπων,
ὃν ἐδόξασας πάνυ
νεκρώσας σου τὰ μέλη ἐπὶ γῆς,
ὃν ᾑρετίσω, πανθαύμαστε,
ὃν ἐν καρδίᾳ φέρων,
ᾧ παραστήκεις νῦν ἐν οὐρανῷ,
θεὸν λόγον, Φαντῖνε,
ἱκέτευε σωθῆναι ἡμᾶς.

Σὺν ἀσωμάτων χορείαις
οὐρανοὺς ἐμβατεύεις
ὡς δίκαιος καὶ ὅσιος Χριστοῦ·
τοὺς ὑμνοπόλους σου φύλαττε
ἐξ ἐχθρῶν πολεμίων
ἀτρώτους ταῖς πρεσβείαις σου, σοφέ,
καὶ υἱοὺς βασιλείας
ἀνάδειξον, Φαντῖνε, σὺν σοί.

θεοτ. Χαῖρε, παστὰς καὶ νεφέλη·
χαῖρε, ἅγιον ὄρος
καὶ στάμνε καὶ λυχνία φωτεινή·
χαῖρε, παράδεισε ἔμψυχε,
ἡ βλαστήσασα φύσει
τὸ ξύλον τῆς ζωῆς ἡμῶν Χριστόν,
τὸν σωτῆρα τοῦ κόσμου
καὶ μόνον πολυέλεον.

379-386 troparium om. O 387 ἀσωμάτοις O 392 σοφὲ] ἀεὶ O 394 σὺν σοὶ] σοφὲ O 397 φωτεινὴ] φωταυγὴς O 402 πολυέον O

395 Ps. 18,6; Is. 19,1 396 Ex. 19,18 vel Dan. 2,34.45 397 Ex. 16,33-34; Ex. 25,31 398-400 Gen. 2,15-17; 3,23-24

IN SANCTAM OLYMPIADEM

Synaxarium 841-842 (*): ..... μνήμη τῆς ὁσίας καὶ μακαρίας Ὀλυμπιάδος. Αὕτη ἦν ἐπὶ τῆς βασιλείας Θεοδοσίου καὶ Ἀρκαδίου καὶ Ὁνωρίου τῶν υἱῶν αὐτοῦ, θυγάτηρ ὑπάρχουσα Σεκούνδου ἀπὸ κομήτων, ἐκγόνη δὲ Ἀβλαβίου τοῦ ἐπάρχου, νύμφη δὲ πρὸς ὀλίγον Νεβριδίου τοῦ ἀπὸ ἐπάρχων, γυνὴ δὲ οὐδενός· ἔτι γὰρ παρθένος οὖσα, τοῦ λαχόντος αὐτὴν πρὸς κοινωνίαν γάμου ἐξ ἀνθρώπων γενομένου, αὕτη παρθένος ἅμα καὶ χήρα διέμεινε· διατελέσασα δὲ τὸν ἅπαντα βίον ἐν νηστείαις καὶ προσευχῇ καὶ ταῖς τῶν δεομένων εὐποιΐαις, καὶ πᾶσαν τὴν περιουσίαν αὐτῆς κενώσασα εἰς θεραπείαν τῶν τοῦ Χριστοῦ ἀρχιερέων καὶ τὸν μακάριον Ἰωάννην τὸν Χρυσόστομον διαφερόντως τιμήσασα, ἐπὶ τέλει τῷ τῆς ὁμολογίας κατεκοσμήθη στεφάνῳ, ὑπὲρ τῆς ἀληθείας ἐξορίαν ἄδικον ὑποστᾶσα· ἔνθα καὶ τὸ τοῦ βίου πέρας ἐδέξατο.

Crypt. Δ.α. XI = Co, ff. 97-99v

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
f. 97v || Χρυσοῦν τὸν ἐν λόγοισι νῦν λέγειν ἔδει.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Τῷ ἐκτινάξαντι ἐν θαλάσσῃ*

Χάριτι θείᾳ λελαμπρυσμένη,
Ὀλυμπιὰς ἡ θαυμαστὴ
πάντας καταυγάζει τοὺς πιστῶς εὐφημοῦντας αὐτὴν
ᾄσμασι καὶ Χριστὸν
δοξολογοῦντας τὸν ταύτην στεφανοῦντα.

(*) Breve compendium vitae die XXIV iulii tradit Synaxarium, sed etiam in dies XXV et XXVI memoriam Olympiadis constituunt Synax. (*Selecta*), 841[53 ss.], 844[48]

tit. Ἑσπέρα κανὼν τῆς ἁγίας ὀλυμπιάδος· φέρων ἀκροστιχίδα· ..... cd.
heirm. α' EE 229, n. 328, Germani

Ῥήσεσιν ὄντως κεχρυσωμέναις
τὴν χρυσαυγῆ σου καὶ λαμπράν,
μῆτερ, πολιτείαν τηλαυγῶς προενέφηνεν
ὁ μόνος βίον εἰδὼς
ἐξισοῦν λόγῳ καὶ λόγον κοσμῶν βίῳ.

Ὑψηλοτάτῃ σου διανοίᾳ
ὡς φερωνύμως, ἀληθῶς,
ἔνδοξε, κληθεῖσα οὐρανία, κατέλιπες
προθύμως τὸ χθαμαλὸν
κόσμον καὶ θεῖον πρὸς ὕψος ἐπτερώθης.

θεοτ. Σοῦ τετρωμέναι τῷ θείῳ ζήλῳ
αἱ καλλιπάρθενοι, σεμνή,
ἔδραμον ὀπίσω σου θερμῶς, ἀπαγόμεναι
Χριστῷ τῷ παμβασιλεῖ
καὶ σῷ υἱῷ διὰ σοῦ, θεογεννῆτορ.

ᾠδὴ γ'. *Οὐκ ἔστιν ἅγιος ὡς ὁ κύριος*

Οὐκ ἔστι βρότειον
σοὶ ἐπάξιον,
θεοφόρε, ἐγκώμιον·
σὲ γὰρ ἐδόξασεν,
ὃν ἐνθέῳ σου βίῳ
ἐδόξασας κύριον
μόνον τὸν φιλάνθρωπον.

Ὑπάρξασαν ἄσπιλον
καταγώγιον
τοῦ ἁγίου πνεύματος,
ὁ ὑπερούσιος
τῷ ἰδίῳ νυμφεύει
υἱῷ, ἀπαλλάξας σε
συζυγίας ἄφθορον.

6 κεχρυσωμένοις cd.
heirm. γ' EE 226, n. 323, Germani

16 Cfr. Cant. 2,5; 5,8   18 Cfr. Cant. 1,4   24-26 Cfr. I Regn. 2,30

Νοὸς καθαρότητι
κατεφρόνησας
τοῦ ἀπείρου πλούτου σου
καὶ διεσκόρπισας
ἀφειδῶς δεομένοις,
διὸ μεμακάρισαι
παρὰ τοῦ σωτῆρος ἡμῶν.

θεοτ. Τοῖς μέλεσι κέχρηται
ὥσπερ βέλεσι
f. 98 τοῖς ‖ ἡμῶν καθ' ἡμῶν ἀεὶ
ὁ δολιώτατος,
ἀλλὰ σύ, θεοτόκε,
πρεσβείαις σου βράβευσον
νίκην τοῖς ὑμνοῦσί σε.

ᾠδὴ δ'. *Μυστικῶς ὁ προφήτης προορῶν*
ἐκ παρθένου σε, λόγε, σαρκούμενον,
μελῳδικῶς ἀνεβόα·
« δόξα τῇ δυνάμει σου, κύριε ».

Ὁ τὰ πάντα ὡς κτίστης προορῶν
εὐκληρίας καὶ γένους καὶ φύσεως,
λόγῳ καὶ βίῳ κοσμήσας,
νύμφην ἑαυτῷ προσηγάγετο.

---

heirm. δ' EE 226, n. 323, Germani

35-39 A.-M. MALINGREY, *Jean Chrysostome, Lettres à Olympias*[2], *Vie anonyme d'Olympias*, «Sources Chrétiennes» 13 bis, Paris 1968, 414 (*Vita*, 5): Αὐτὴ δὲ πάντα τὸν ἄπειρον ἐκεῖνον καὶ ἀμέτρητον πλοῦτον διασκορπίσασα πᾶσιν ἁπλῶς καὶ ἀδιακρίτως ἐπήρκεσε. [= « Anal. Boll. » 15 (1896), 413 = *Hist. Laus.*, PG 34, 1249 A].

42-45 Cfr. Rom. 6,13

Νευρωθεῖσα δυνάμεσι ψυχῆς
ἐν νηστείαις καὶ κόποις, ἀοίδιμε,
καὶ ἀγρυπνίαις παννύχοις,
ἵππον τὸν θρασὺν συνεπόδισας.

Ἐπιβᾶσα ὡς ἅρματι πυρὸς
γενικαῖς ἀρεταῖς ὡς Ἠλίας ποτέ,
τῆς ἀπαθείας ὑψώθης
πρὸς τὸν οὐρανὸν ἀνδρικώτατα.

θεοτ. Νυμφοτόκε ἀπείρανδρε σεμνή,
ὡς θεὸν ἐν ἀγκάλαις βαστάζουσαν
τὸ πρόσωπόν σου παρθένοι
λαμπαδηφοροῦσαι λιτάζουσιν.

ᾠδὴ ε'. *Ὁ ἐκ νυκτὸς ἀγνοίας*
θεογνωσίᾳ φαιδρύνας τὰ πέρατα

Λόγῳ κεχρυσωμένῳ
σῆς πολιτείας τὸ ὕψος ἐκόσμησεν
ὁ σοφὸς Χρυσορρήμων,
ᾧ συγκοινωνεῖς τοῖς παθήμασιν.

Οὐκ ἐπαρκέσει λόγος
τοὺς πειρασμοὺς ἐξειπεῖν, οὓς ὑπέμεινας,

---

heirm. ε' EE 226, n. 323, Germani heirm. 2 θεογνωσίας cd.

53-56 *Ibid.*, 174-176 (*ep. VIII*, 5a): Τὴν δὲ ἐπὶ τῆς τραπέζης καρτερίαν τε καὶ ἐγκράτειαν καὶ τὴν ἐν ταῖς νυξὶν εἴ τις βουληθείη διεξελθεῖν, πόσων δεήσεται λόγων; Μᾶλλον δὲ οὐδὲ εἴασας αὐτὴν ἐγκράτειαν καλεῖσθαι λοιπὸν οὐδὲ καρτερίαν ἐπὶ σοῦ, ἀλλ' ἕτερον ὄνομα ταύταις ἡμῖν ζητητέον ταῖς ἀρεταῖς πολλῷ μεῖζον. Καὶ γὰρ ἐγκρατεύεσθαι ἐκεῖνόν φαμεν καὶ καρτερεῖν τὸν ὑπό τινος ἐπιθυμίας ἐνοχλούμενον καὶ κρατοῦντα ταύτης. Σὺ δὲ οὐκ ἔχεις ὅτου κρατήσεις· πολλῇ γὰρ τῇ ῥύμῃ παρὰ τὴν ἀρχὴν πνεύσασα κατὰ τῆς σαρκὸς ἔσβεσας αὐτῆς τὰς ἐπιθυμίας ταύτας, οὐ χαλινώσασα τὸν ἵππον, ἀλλὰ συμποδίσασα καὶ χαμαὶ ῥίψασα καὶ ποιήσασα μένειν ἀκίνητον. [= *ep. II*, in PG 52,560 s.].
69-72 Cfr. notas ad vv. 97-112.

57-58 Cfr. IV Regn. 2,11 63-64 Cfr. Matth. 25,1-13

θλιβομένη ἀδίκως,
ἔνδοξε, πρὸς οὓς εὐηργέτησας.

Γράφει Δαυὶδ ὁ μέγας
φρυαττομένους λαοὺς μελετῶντας κενά,
ἱερεῖς βασιλεῖς τε
κατὰ τοῦ σωτῆρος καὶ σοῦ τῆς ἁγνῆς.

θεοτ. Ὀχυρὸν ὥσπερ τεῖχος
f. 98ᵛ Ὀλυμπιὰς κεκτημένη, ‖ μητρόθεε,
τὴν ἐλπίδα σου ὅλως,
τοὺς ὑπεναντίους οὐκ ἔπτηξεν.

ᾠδὴ ϛ'. *Χιτῶνά μοι παράσχου φωτεινὸν*

Ἱέρευσας σαυτήν, Ὀλυμπιάς,
τὸ σῶμα ὡς ἄμωμον
θῦμα τῷ κτίσαντι
κατασφάξασα μαχαίρᾳ τοῦ πνεύματος.

Συνέσει διαλάμπουσαν εὑρὼν
ὡς Παῦλος τὴν Φοίβην σε,
αὐτοῦ τοῖς παθήμασι
κοινωνὸν ὁ Χρυσολόγος εἰργάσατο.

Ἰάματα ὡς νάματα, σοφή,
τὰ λόγια πέφυκαν
ψυχῇ σου, τοῦ πνεύματος
ἐκ πηγῆς χρυσοειδοῦς ἀναβλύζοντα.

θεοτ. Νοός μου τὰς ἀπείρους ἐκτροπὰς
ἀνόρθωσον, δέσποινα,
ἡ μόνη κυήσασα
τὸν δοτῆρα τῶν καλῶν, Ἰησοῦν τὸν Χριστόν.

---

heirm. ϛ' EE 224, n. 321, Joannis   81 αὐτὴν cd.

73-76 Ps. 2,1-12   82-83 Cfr. Rom. 12,1   84 Cfr. Ephes. 6,17
86 Rom. 16,1-2

Κάθισμα.

Ἦχος δ'. *Κατεπλάγη Ἰωσήφ*

Τὴν οὐράνιον σαφῶς
ἐπιποθήσασα ζωήν,
φερωνύμως καὶ σοφῶς
ὁ προεκλήθης ἀψευδῶς,
Ὀλυμπιὰς παναοίδιμε,
πράξει γέγονας
καὶ νῦν ἐν οὐρανοῖς
σὺν τοῖς ἀΰλοις χοροῖς
χορεύεις ἐν χαρᾷ
περὶ τὸν θρόνον Χριστοῦ,
μεθ' ὧν ἡμῶν μνημόνευε τῶν πίστει
σοῦ μεμνημένων, θεόληπτε,
τρυφῆς ἀφθάρτου
καὶ βασιλείας
ὅπως ἀξιωθῶμεν.

ᾠδὴ ζ'. *Ὁ ἐν ἀρχῇ*
τὴν γῆν θεμελιώσας

Ὑπέφερες
γενναίως θλιβομένη,

---

heirm. καθ. MR I, 233
heirm. ζ' EE 226, n. 323, Germani

97-112 *Ibid.*, 278 (*ep. X*, 10a): Ταῦτα οὖν ἐννοοῦσα καὶ λογιζομένη ὅσον ὀδυνηροῦ καὶ ἐπιμόχθου βίου τὸ κέρδος, χαῖρε καὶ εὐφραίνου τὴν ἐπικερδῆ καὶ μυρίων γέμουσαν στεφάνων ἐκ πρώτης ἡλικίας ὁδεύσασα ὁδὸν καὶ διὰ συνεχῶν καὶ πυκνῶν παθημάτων. Καὶ γὰρ ἡ τοῦ σώματος ἀρρωστία, καὶ ποικίλη καὶ παντοδαπὴ καὶ μυρίων θανάτων χαλεπωτέρα, οὐκ ἐπαύσατό σε συνεχῶς πολιορκοῦσα· καὶ λοιδοριῶν δὲ καὶ ὕβρεων νιφάδες, καὶ συκοφαντίαι οὐδέποτε διέλιπον κατὰ σοῦ φερόμεναι· ἀθυμίαι δέ σοι πυκναὶ καὶ συνεχεῖς καὶ πηγαὶ δακρύων διὰ παντὸς ἠνώχλησαν τοῦ χρόνου. Τούτων δὲ ἕκαστον καὶ καθ' ἑαυτὸ ἤρκεσε τοῖς ὑπομεμενηκόσιν εἰς ὠφέλειαν πολλήν. [= *ep. III* in PG 52,582].

Ὀλυμπιάς,
παρὰ τῶν ἀχαρίστων
πειραζομένη,
λοιδορουμένη,
οὓς τοῖς σοῖς ἀγαθοῖς
εὐηργέτησας.

Νόσοις δειναῖς
ἐπύκτευσας ἀνδρείως,
λόγοις πικροῖς
ἀντείσηξας σωφρόνως
μακροθυμίαν,
f. 99 ‖ χριστομιμήτως
ἑκατέρωθεν σοφῶς
ἀριστεύουσα.

Λόγος, σεμνή,
ἐκφράσαι οὐκ ἰσχύει
τὸ ὑψηλὸν
τῆς ταπεινοφροσύνης,
ἧσπερ ἐκτήσω
ῥακοδυτοῦσα,
μιμουμένη τὸν σοφὸν
βαπτιστὴν τοῦ Χριστοῦ.

θεοτ. Ἐν γυναιξὶ
σὺ μόνη ἐκληρώσω
θαῦμα φρικτόν,
πανύμνητε Μαρία·
θεὸν γὰρ τίκτεις
καὶ παρθενεύεις,
ᾧ πρέσβευε ἐκτενῶς
τοῦ σωθῆναι ἡμᾶς.

113-120 *Ibid.*, 440 (*Vita*, 15): ..... οὔτε γὰρ εὐτελέστερόν τι τῶν ἐνδυμάτων ταύτης εὑρηθῆναι ἠδύνατο· τῶν γὰρ πάνυ ῥακοδυτούντων ἀνάξια ἦν τὰ τῆς ἀνδρείας ταύτης σκεπάσματα. [= « Anal. Boll. » 15 (1896), 421 = *Hist. Laus.*, PG 34,1249 C].

ᾠδὴ η'. *Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα*

Γηθομένη
ὀπίσω τοῦ ἀφθάρτου
ἐραστοῦ σου
ἐβόας ἑπομένη,
Ὀλυμπιάς· « δραμοῦμαι πρὸς τοῦ μύρου σου
τὴν ὀσμήν, νυμφίε,
μή με οὖν βδελύξῃ
τὴν σὲ ποθοῦσαν μόνον ».

Ἐν παστάδι
τῆς ἄνω βασιλείας
συνεισῆλθες
ταῖς φρονίμοις παρθένοις,
ἐν δεξιᾷ χειρὶ τὴν τῆς ἁγνείας σου
ἔχουσα λαμπάδα,
ἐν δὲ τῇ ἑτέρᾳ
τὴν ἐλεημοσύνην.

Ἱκεσίαις
τὸ πνεῦμα φωτισθεῖσα,
κακουχίαις
τὸ σῶμα λεπτυνθεῖσα,
τῇ παντουργῷ τριάδι νῦν παρίστασαι,
ἥνπερ ἐκδυσώπει
ὑπὲρ τῶν ἐν πίστει
τιμώντων σου τὴν μνήμην.

---

heirm. η' EE 226, n. 323, Germani

137-144 *Ibid.* 170 (*ep. VIII*, 3d): Μεταταξώμεθα τοίνυν καὶ δεῦρο καὶ αὐτὴ μετάστηθι μετὰ τοῦ λόγου καὶ ἀναλογίζου τῶν κατορθωμάτων σου τὰς ἀντιδόσεις, τὰ βραβεῖα τὰ λαμπρά, τοὺς φαιδροὺς στεφάνους, τὴν μετὰ τῶν παρθένων χορείαν, τὰς παστάδας τὰς ἱεράς, τὸν νυμφῶνα τῶν οὐρανῶν, τὴν μετὰ τῶν ἀγγέλων λῆξιν, τὴν πρὸς τὸν νυμφίον παρρησίαν καὶ ὁμιλίαν, τὴν θαυμαστὴν δᾳδουχίαν ἐκείνην τὰ ἀγαθὰ τὰ καὶ λόγον καὶ νοῦν ὑπερβαίνοντα. [= *ep. II* in PG 52, 559].

133-134 Cant. 1,4 137-144 Matth. 25,1-13

θεοτ. Ναὸς ὤφθης
τοῦ πλάσαντος τὴν φύσιν
καὶ θηλάζεις
τὸν τρέφοντα τὴν κτίσιν,
ὢ ξένου θαύματος καὶ πράγματος,
μήτηρ καὶ παρθένε,
ἄφθορε καὶ νύμφη
θεοῦ τοῦ φιλανθρώπου.

ᾠδὴ θ'. *Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς*

Ἐπέβης οὐρανίων, Ὀλυμπιάς,
ἀρετῶν ἐν τῇ κλίμακι, ἔχουσα
τὸ ἀκλινὲς
ὄμμα πρὸς τὸν ἄνω τῶν οὐρανῶν
λαμπρῶς ὑπερκαθήμενον,
ὅθεν καὶ τῷ θρόνῳ τῷ φοβερῷ
αὐτοῦ παρισταμένη
f. 99v || σὺν πᾶσι τοῖς ἁγίοις
ὑπὲρ τοῦ κόσμου τούτῳ πρέσβευε.

Διήνυσας τὸν δρόμον καρτερικῶς,
τὸν ἀγῶνα προθύμως ἠγώνισαι,
τὴν ἀσφαλῆ
πίστιν καὶ βεβαίαν ὡς ἀληθῶς
μαθητευθεῖσα πνεύματι
θεοειδεστάτως καὶ καθαρῶς
τετήρηκας, διό σε
στεφάνῳ ὁ δεσπότης
δικαιοσύνης κατεκόσμησεν.

Ἐνώτισαι, τρισάγιε ὁ θεός,
ἱκεσίαις ἁπάντων ἁγίων σου

---

157 duae syllabae desiderantur heirm. θ' ΕΕ 220, n. 314, Joannis 170 Διήνοισας cd.

161-162 Cfr. Gen. 28,12 163-169 Cfr. Apoc. 4,9 170-178 II Tim. 4,6-8

πατριαρχῶν,
θείων ἀποστόλων καὶ προφητῶν,
μαρτύρων καὶ ὁσίων τε,
πάντων καὶ ἐνδόξων ἱεραρχῶν
καὶ τῆς εὐκλεεστάτης
σεπτῆς Ὀλυμπιάδος
τὰς προσευχὰς τῶν δοξαζόντων σε.

θεοτ. Ἰάθη τὸ τῆς Εὔας θεοπρεπῶς
διὰ σοῦ, θεοχώρητε, σύντριμμα
καὶ τῷ ἐκ σοῦ
πόθῳ τετρωμέναι αἱ ἐξ αὐτῆς
τῷ γλυκυτάτῳ ψάλλουσιν,
ᾆσμα μελῳδοῦσαι ἐρωτικόν·
« ἁγνεύομέν σοι, λόγε,
λαμπάδας τε κρατοῦσαι
τὰς φαεσφόρους ὑπαντῶμέν σοι ».

194-196 Methodii Olympii, *Symposium virginum*, PG 18,208 C.

190-191 Cfr. Cant. 2,5; 5,8 194-196 Cfr. Matth. 25,1-13

IN SANCTAM EUPRAXIAM

Synaxarium 840-841 (*): ..... μνήμη τῆς ὁσίας καὶ ἀοιδίμου Εὐπραξίας. Αὕτη θυγάτηρ γέγονεν Ἀντιγόνου τινὸς συγκλητικοῦ καὶ Εὐπραξίας μητρὸς ἐπὶ Θεοδοσίου τοῦ βασιλέως, οὗ καὶ συγγενὴς ἐτύγχανεν. Ἀντιγόνου δὲ τελευτήσαντος, ἡ μήτηρ Εὐπραξίαν τῷ βασιλεῖ Θεοδοσίῳ παρέθετο φροντίζειν αὐτῆς ὡς ὀρφανῆς· ὁ δὲ συγκλητικῷ τινι ταύτην ἐμνηστεύσατο. Ἀπάρασα δὲ μετὰ τῆς μητρὸς καὶ γενομένη ἐν Θήβαις ταῖς κατ' Αἴγυπτον καὶ εἰσελθοῦσα εἰς παρθενεῖον, ἐν ᾧ ὑπῆρχον γυναῖκες τὸν ἀριθμὸν ἑκατὸν τέσσαρες ἰσάγγελον βίον πολιτευόμεναι, ἐζήλωσε τὴν αὐτῶν ἀρετὴν καὶ οὐκέτι τῆς μονῆς ἀποστῆναι ἠνείχετο· ἦν δὲ τότε ἐτῶν δώδεκα. Ἡ δὲ μήτηρ αὐτῆς ἐκεῖθεν ἀπάρασα περιῆλθε τὰ κατ' ἀνατολὴν αὐτῆς κτήματα, πολλὰς εὐποιΐας καὶ ἐπιδόσεις εἰς τοὺς δεομένους ποιήσασα. Μετὰ ταῦτα νοσήσασα ἐπέστρεψεν εἰς τὴν μονήν, καὶ πᾶσαν τὴν κτίσιν αὐτῆς καὶ περιουσίαν τῇ θυγατρὶ ἐπιτρέψασα, ἀνεπαύσατο. Ἡ δὲ θυγάτηρ αὐτῆς Εὐπραξία πάντα τοῖς πένησι διανείμασα καὶ ταῖς τοῦ Θεοῦ ἐκκλησίαις καὶ τὸν ἀσκητικὸν ἐπίπονον βίον διαφερόντως στέρξασα, ἐπὶ τοσοῦτον ἀρετῆς προῆλθε καὶ τὰς ἀνάγκας τοῦ σώματος ὑπέταξεν, ὡς ἐπὶ τεσσαράκοντα πέντε ἡμέρας ἀκλόνητος ἵστασθαι τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατείνουσα. Διὰ γοῦν τὴν ὑπερβάλλουσαν ἀρετὴν χάριν θαυματουργιῶν δεξαμένη καὶ πολλοὺς ποικίλων νόσων καὶ χαλεπῶν ἀπαλλάξασα, πρὸς Κύριον ἐξεδήμησεν.

Crypt. Δ.α. XI = Co, ff. 102v-105v

(*) Breve compendium vitae tradit Synaxarium die XXIV iulii (cfr. commentarium p. 627 notam 2).

Ὁ κανών.

Ἐν τοῖς θεοτοκίοις· Κλήμεντος.

Ἦχος α'.

ᾠδὴ α'. *Ὠιδὴν ἐπινίκιον ᾄσωμεν πάντες*

Ὡς θεῖον καλλώπισμα τὴν Εὐπραξίαν
καὶ τύπον ἀσκήσεως
καὶ κανόνα πίστεως
μοναζουσῶν γυναικῶν
καὶ ἀρετῆς ὑπογραμμὸν
δεῦτε τιμήσωμεν.

f. 103 || Σαφῶς ἀνεβλάστησε ῥίζης ἐκ θείας
καρπὸς εὐκλεέστατος,
Ἀντιγόνου γόνος γὰρ
καὶ Εὐπραξίας σεμνός,
ἡ Εὐπραξία τηλαυγῶς
πᾶσι γνωρίζεται.

Καυθεῖσα τῷ ἔρωτι τοῦ θείου πόθου
σαρκὸς τὸν μνηστῆρά σου

tit. Τῇ αὐτῇ ἡμέρα κανὼν τῆς ὁσίας εὐπραξίας· ἐν τοῖς θεοτοκίοις κλήμεντος cd., qui εἰς τὸν ὄρθρον (cfr. f. 99v), post canonem in S. Annam, inc. Πταισμάτων συγχώρησιν, ed. MR VI, 217, hunc canonem praebet praeter acrostichidem in theotociis, etiam ex tropariis odarum δ', ε', ς' exstant vestigia acrostichidis: cfr. commentarium p. 627 s.
heirm. α' EE 11, n. 15, Andreae

13-18 AA.SS. Martii II (1668), 729B-F (*Vita*, 8-10): Ἐν μιᾷ οὖν τῶν ἡμερῶν λέγει ἡ διάκονος Θεοδούλη τῷ κορασίῳ χαριέντως· « Κυρία Εὐπραξία, ἀγαπᾷς τὸ μοναστήριον τοῦτο, καὶ τὰς Ἀδελφάς; ». Ἡ δὲ εἶπεν· « Ναί, Κυρία μου, καὶ πάνυ ἀγαπῶ ὑμᾶς ». Λέγει αὐτῇ πάλιν ἡ διάκονος χαριέντως· « Ἐὰν ἀγαπᾷς ἡμᾶς, μεῖνον μεθ' ἡμῶν ἐν τῷ σχήματι ». Λέγει αὐτῇ τὸ κοράσιον· « Ἀληθῶς ἐὰν μὴ λυπεῖται ἡ κυρία ἡ μήτηρ μου, οὐκ ἔτι ἐξέρχομαι ἀπὸ τοῦ τόπου τούτου ». Λέγει αὐτῇ ἡ διάκονος· « Εἰπέ, Κυρία μου Εὐπραξία, ἡμᾶς καὶ τὸν ὁρμαστῆρά σου, τίνα πλέον φιλεῖς; ». Λέγει αὐτῇ τὸ κοράσιον· « Οὔτε ἐκεῖνον οἶδα, οὔτε αὐτὸς ἐμέ· ὑμᾶς δὲ οἶδα καὶ ὑμᾶς ἀγαπῶ

ἀπεσείσω, πάνσεμνε,
καὶ ἐνυμφεύθης Χριστῷ,
περιπλακεῖσα εὐσεβῶς
αὐτοῦ τῇ θείᾳ μορφῇ.

θεοτ. Κραταίωμα ἄσειστον καὶ τεῖχος μέγα
ἡ ποίμνη σου ἔχει σε,
θεοτόκε ἄχραντε,
τῇ γὰρ πρεσβείᾳ σου
παντὸς λυτροῦται πειρασμοῦ
καὶ βλάβης πάσης ἐχθρῶν.

..... Ἡδέως δὲ ἤκουεν τῶν ῥημάτων τοῦ κορασίου ἡ διάκονος, ὅτι παιδίον ὂν τοῖς ἔτεσιν, οὕτως καλῶς ἐλάλει· οὔπω γὰρ ἦν ἐτῶν ζ′ ὅτε ταῦτα διελέγετο μετὰ τῆς διακόνου..... Λέγει ἡ διάκονος τῷ κορασίῳ· « Ὕπαγε, Κυρία, οὐ δύνασαι ὧδε παραμένειν, οὐδὲ γὰρ δύναταί τις ὧδε μεῖναι, μή τις συντάξαι τῷ Χριστῷ ». Λέγει αὐτῇ τὸ κοράσιον· « Καὶ ποῦ ἐστιν ὁ Χριστός; ». Ἡ δὲ διάκονος χαριέντως ὑπέδειξεν αὐτῇ τὸν δεσποτικὸν χαρακτῆρα. Ἀπελθοῦσα δὲ ἡ παῖς κατεφίλει τὸν χαρακτῆρα, καὶ στραφεῖσα λέγει τῇ διακόνῳ· « Ἀληθῶς κἀγὼ συντάσσομαι τῷ Χριστῷ καὶ οὐκ ἔτι ἀπέρχομαι μετὰ τῆς κυρίας μου » ..... (§ 10) Τῇ οὖν ἐπαύριον λαβοῦσα ἡ διάκονος τὴν Εὐπραξίαν, εἰσφέρει αὐτὴν ἐν τῷ εὐκτηρίῳ, καὶ εὐξαμένη αὐτή, περιέβαλεν αὐτῇ τὸ μοναχικὸν σχῆμα. Εἰσελθοῦσα δὲ οὖν ἡ μήτηρ αὐτῆς, καὶ ἰδοῦσα αὐτὴν περιβεβλημένην τὸ ἀγγελικὸν ἐκεῖνο σχῆμα, ... λέγει αὐτῇ· « Εὐπραξία, ποθεῖς περιβεβλῆσθαι τὸ σχῆμα τοῦτο, τέκνον; ». Λέγει αὐτῇ ἡ Εὐπραξία· « Ναί, Κυρία μου μῆτερ, ἐπειδὴ ὡς ἔμαθα παρὰ τῆς Μεγάλης καὶ τῶν Κυρίων τῶν ἀσκητριῶν, ὅτι τὸ σχῆμα τοῦτο ἀρραβῶνα δίδωσιν ὁ Χριστὸς τοῖς ποθοῦσιν αὐτόν ». Λέγει ἡ μήτηρ αὐτῆς· « Ὁ Χριστός, ᾧ ἐμνηστεύθης, αὐτὸς ἀξιώσει σε καὶ τοῦ νυμφῶνος αὐτοῦ ».

Cfr. etiam *ibid.*, 268^E-F, latinam interpretationem, quia in graeco textu nonnulla capita desunt: (§ 13) Audiens Imperator, quia mortua fuisset Eupraxia uxor Antigoni, reuocans Senatorem, cui desponsata fuerat filia eius, indicauit ei, dicens: Quia puella conuersa est in monasterio. Ille vero rogauit Imperatorem ut per veredarios scriberet puellae, eique praeciperet, ut ad ciuitatem veniret, et nuptias celebraret. Suscipiens autem Eupraxia Imperatoris epistolam, cum legisset eam, derisit: et sedens scripsit manu propria epistolam aliam, sic habentem: Domine Imperator, suadesne ancillae tuae, ut respuam Christum, et homini corruptibili et vermibus consumendo coniungar, qui hodie est, et cras non erit? Absit ab ancilla tua, ut hanc iniquitatem faciam. Quapropter, Domine Imperator, non ulterius vos vir ille fatiget: ego enim Christi consensi, et impossibile est eum me negare: sed supplico potestati vestrae, ut memoriam parentum meorum habeatis.

ᾠδὴ β′. *Ἴδετε, ἴδετε*
ὅτι θεὸς ἐγώ εἰμι,
ὁ δουλωθέντα τὸν λαὸν τοῦ Ἰσραὴλ

Σώματος πόνοις σου
τοὺς ἀσωμάτους ᾔσχυνας
ἐξαγορεύσασα αὐτῶν νυκτερινὰς
φαντασιώδεις ταραχάς·
τὸ γὰρ πνεῦμα τοῦ σκότους
ἐκδιδάσκει κραταιῶς
θριαμβευόμενον.

---

heirm. β′ EE 13, n. 17, Andreae heirm. 2: θεὸς] αὐτὸς EE

25-31 *Vita*, 14-15, l.c., 729^F-730^C: Μετελάμβανε γὰρ λοιπὸν δώδεκα ἐνιαυτῶν, ὅτε πρὸς τοὺς ἀγῶνας ἐγύμναζεν ἑαυτήν· καὶ πρῶτον μὲν ἀπὸ ἑσπέρας εἰς ἑσπέραν ἐγεύετο, ἔπειτα διὰ δύο, ἔπειτα διὰ τριῶν. Οὐκ ἦν τινα αὐτῶν κομίσαι τὸν τρίκλινον, ἢ τὰς κοίτας τῶν Ἀδελφῶν εὐτρεπίσαι, ἢ ὕδωρ ἀντλῆσαι καὶ παρακομίσαι ἐν τῷ μαγειρείῳ· ἔθος γὰρ ἦν ἐν τῷ ἀσκητηρίῳ τοιοῦτον, ἐάν τινα συνέβη τῶν ἀδελφῶν πειρασθῆναι ὑπὸ τοῦ διαβόλου κατ' ὄναρ, εὐθέως ἐγνώριζεν τῇ διακονίσσῃ· ἡ δὲ μετὰ δακρύων ἱκέτευεν τὸν Θεὸν ἀποστῆναι τὸν διάβολον ἀπ' αὐτῆς..... Ἐν μιᾷ οὖν τῶν ἡμερῶν πειρασθεῖσα καὶ ἡ αὐτὴ ἡ Εὐπραξία ὑπὸ τοῦ διαβόλου, συλλέξασα λίθους ὑπέθηκεν ὑπὸ τὴν κοίτην αὐτῆς ὑπὸ κάτω τοῦ σάκκου, καὶ ἐνέγκασα τέφραν διέρραινεν ἐπάνω τοῦ σάκκου. Ἰδοῦσα δὲ ἡ διάκονος τὴν τέφραν ἐπὶ τῆς κοίτης Εὐπραξίας, ἐγέλασεν, καὶ λέγει μιᾷ τῶν ἀδελφῶν τῶν πρεσβυτερίδων· « ἀληθῶς τὸ κοράσιον ἤρξατο τῶν πειρασμῶν ». Καὶ εὐξαμένη ἡ διάκονος εἶπεν· « Ὁ Θεός, ... στερέωσον αὐτὴν εἰς τὸν φόβον σου ». Καὶ καλέσασα τὴν Εὐπραξίαν λέγει αὐτῇ· « Διατί οὐκ ἀπήγγειλάς μοι, τέκνον, τὸν πειρασμὸν τοῦ διαβόλου, ἀλλ' ἀπέκρυψάς μοι; ». ἡ δὲ πεσοῦσα εἰς τοὺς πόδας τῆς διακόνου λέγει αὐτῇ· « Συγχώρησόν μοι, δέσποινά μου, ὅτι ᾐσχύνθην ἀπαγγεῖλαί σοι ». Λέγει αὐτῇ ἡ διάκονος· « Τέκνον μου, ἀνδρίζου, ἵνα νικήσῃς καὶ στεφανωθῇς ». (§ 15) Πάλιν μετ' ὀλίγον πειρασθεῖσα ἀνήγγειλέν τινι ἀδελφῇ ὀνόματι Ἰουλίᾳ... Λέγει οὖν αὐτῇ ἡ Ἰουλία· « Κυρία μου Εὐπραξία, μὴ κρύψῃς τὴν Μεγάλην, ἀλλ' ἀνένεγκον αὐτήν, ἵνα εὔξηται ὑπὲρ σοῦ » ..... Ἡ δὲ ἐξελθοῦσα ἀνήγγειλεν τῇ διακόνῳ τὸ πρᾶγμα. Καὶ λέγει αὐτῇ ἡ διάκονος· « Μὴ ξενίσῃ σε, τέκνον, τὸ πρᾶγμα τοῦτο· ὅλος ὁ πόλεμος τοῦ διαβόλου, ὃν καθ' ἡμῶν συνάπτει, οὗτός ἐστιν. Στῆκε οὖν ἀνδρεία, καὶ ἀμετακίνητος τῇ ψυχῇ, καὶ οὐ μὴ κατισχύσῃ σου ..... Καθὼς οὖν δύνασαι, πρόσθες εἰς τὴν ἄσκησίν σου· ὁ γὰρ μεγάλα ἀγωνιζόμενος, μεγάλων ἐπιτεύξεται ἀγαθῶν ».

27-28 Cfr. Sap. 18,17

Ἄφθιτον ἤγειρας
ὑπακοῆς εἰκόνισμα,
τῇ μετελεύσει μὴ ὀκλάσασα
τῶν λίθων, ἀλλὰ σπεύσασα πιστῶς
πρὸς τὸ πέρας τοῦ ἔργου,
Εὐπραξία θαυμαστὴ
καὶ περιώνυμε.

Φίλτρον πρὸς κύριον
ὡς κεκτημένη ὅσιον,
σὺ ὡς καθ' ὕπαρ καὶ καθεύδουσα
μνηστῆρα προσιόντα σαρκικὸν
ὀνειροπολουμένη,
ἀπεδίωκες, σεμνή,
ὡς ὁρμασθεῖσα θεῷ.

θεοτ. Λόγῳ, πανύμνητε,
τὸν θεῖον λόγον εἴληφας
ἐν τῇ γαστρί σου καὶ ἐκύησας αὐτὸν

32-36 *Vita*, 16-17, l.c., 730^{D-E}: Γεναμένης δὲ αὐτῆς εἰκοσαετοῦς, ἠνδριοῦτο τῇ ἡλικίᾳ, καὶ ὑπερίσχυε τῇ δυνάμει ..... πάλιν δὲ πειρασθεῖσα, ἀπήγγειλε τῇ διακόνῳ τὸ πρᾶγμα. Ἡ δὲ λέγει αὐτῇ· « Μὴ φοβοῦ, τέκνον, ὁ Θεός ἐστι μετὰ σοῦ ». Ἦν δὲ ἐν τῇ αὐλῇ τοῦ ἀσκητηρίου σωρὸς λίθων· βουλομένη δὲ ἡ διάκονος πειρᾶσαι αὐτήν, λέγει αὐτῇ· « Δεῦρο, τέκνον μου, τοὺς λίθους τούτους μετακόμισον ἔνθεν, καὶ θὲς αὐτοὺς πλησίον τοῦ φούρνου ». Ἡ οὖν Εὐπραξία εὐθέως ἐπιβάλλεται, καὶ μετακομίζει τοὺς λίθους. Ἦσαν δὲ καὶ μεγάλοι οἱ λίθοι, οὓς δύο ὀνομάτων ἀδελφῶν μόλις μετεκίνουν· αὐτὴ δὲ ἐπὶ τοὺς ὤμους αὐτῆς ἥρπαζεν τοὺς λίθους, μηδενὸς βοηθοῦ χρῄζουσα· ἦν γὰρ νεᾶνις καὶ ἰσχύουσα σφόδρα, καὶ οὐκ εἶπεν τῇ διακόνῳ, ὅτι μεγάλοι εἰσὶν οἱ λίθοι, καὶ οὐκ ἰσχύω· οὐκ ἀντεῖπεν ὅτι νήστης εἰμί, καὶ ἀτονῶ, καὶ βαρεῖ με τὸ ἔργον· ἀλλὰ προθύμως τῇ κελεύσει τὴν ὑπακοὴν ἐποιεῖτο. (§ 17) Πάλιν ἐπὶ τὴν αὔριον λέγει ἡ διάκονος τῇ Εὐπραξίᾳ· « Οὐ δίκαιόν ἐστιν τοὺς λίθους πλησίον κεῖσθαι τοῦ φούρνου· λάβε, τέκνον, ἀποκόμισον τοὺς λίθους εἰς τὸν τόπον αὐτῶν ». Ἡ δὲ πάλιν τὴν κέλευσιν τῆς Ἀρχιμανδριτίσσης ἐπλήρου. Καὶ τοῦτο τὸ ἔργον ἐπὶ λ' ἡμέρας ⟨ἐκέλευσεν⟩ ἐκτελεῖν αὐτήν, ἵνα ἴδῃ τὴν ὑπομονὴν αὐτῆς.

39-45 *Vita*, 18, l.c., 730^{E-F}: Πάλιν οὖν ὁ διάβολος εὑρὼν αὐτὴν ἀνεκτοτέραν, πειράζει αὐτὴν πειρασμὸν τοιοῦτον, ὡς ὅτι ὁ Συγκλητικὸς ἐκεῖνος ὁ ὁρμασάμενος αὐτήν, ἐπιρρίψας μετὰ στρατιωτικῆς βοηθείας ἀπέσπασεν αὐτὴν ἐκ τοῦ μοναστηρίου, καὶ λαβὼν αὐτὴν ἐπορεύετο. Κειμένη οὖν εἰς τὸν σάκκον ἐπὶ τῆς κοίτης αὐτῆς βίαν ἔκραζεν. Ἡ οὖν διάκονος καί τινες ἀδελφαὶ διυπνησθεῖσαι ἤκουον τῆς βίας αὐτῆς, καὶ ἐξυπνήσασαι αὐτήν, λέγουσιν αὐτῇ· « Τίς ἐστιν ὁ ἀγών σου οὗτος, τέκνον; ». ἡ δὲ εὐθέως τὰ τοῦ ὁρμαστοῦ ἐξηγήσατο. Ἡ οὖν διάκονος ἐξυπνήσασα τὰς ἀδελφάς, ἔστησεν εἰς προσευχὴν μέχρις οὗ ἡμέρα ἐγένετο.....

μετὰ σαρκὸς ἄνευ τροπῆς·
κἂν γὰρ ἄνθρωπος ὤφθη,
οὐκ ἐτράπη σαρκωθείς,
ἀλλ' ἔμεινεν ὅπερ ἦν.

ᾠδὴ γ'. *Λίθον*
ὃν ἀπεδοκίμασαν
οἱ οἰκοδομοῦντες,
οὗτος ἐγεννήθη
εἰς κεφαλὴν γωνίας·
αὐτός ἐστιν ἡ πέτρα
ἐν ᾗ ἐστερέωσε
τὴν ἐκκλησίαν ὁ Χριστός,
ἣν ἐξ ἐθνῶν
ἐξηγοράσατο.

Τύπος
ἱερᾶς ἀσκήσεως
ὤφθης, Εὐπραξία,
πάσαις κατ' ἀξίαν
ταῖς συνασκουμέναις,
f. 103v ‖ νηστείαν, ἀγρυπνίαν,
θερμὴν ἐξαγόρευσιν,
ὑπακοὴν καὶ προσευχὴν
πόθῳ Χριστοῦ
ἐνθέως κτησαμένη.

---

heirm. γ' EE 11, n. 15, Andreae   vv. 4-10 heirm. in margine add.

53-72 *Vita*, 19, l.c., 731^{A-B}: Πάλιν δὲ ὁ διάβολος καρτερῶς ἐν τοῖς ὕπνοις πειράσας αὐτήν, μέγαν ἀγῶνα παρέσχεν αὐτῇ, καὶ εὐθέως τὰ τοῦ ἀγῶνος ἀπήγγειλεν τῇ διακόνῳ. ..... Ἤρξατο οὖν ἡ Εὐπραξία ἀσιτεῖν, καὶ διετέλεσε πᾶσαν τὴν ἑβδομάδα, καὶ οὔτε τῆς λειτουργίας ἀπελιμπάνετο, οὔτε τῆς ὑπηρεσίας τῶν ἀδελφῶν ὑστέρησεν, ὥστε θαυμάζειν πάσας τὰς ἀδελφὰς τὴν ὑπομονὴν τῆς Εὐπραξίας, ἣν ἐνεδείκνυτο ἐν τοιούτῳ κάλλει καὶ νεότητι. Ἔλεγον δέ τινες τῆς συνοδίας, ὅτι ἔχομεν ἐνιαυτὸν τηροῦντες τὴν Εὐπραξίαν, καὶ οὐκ εἴδομεν αὐτὴν καθεσθεῖσαν τῇ ἡμέρᾳ, οὔτε ἐν τῇ νυκτί, εἰ μὴ μόνον ὅταν ἔλθῃ εἰς τὴν κοίτην αὐτῆς ἀναπαύσασθαι, οὐ γὰρ ἐκαθέσθη ποτὲ καὶ ἔφαγεν ἄρτον. Πᾶσαι οὖν αἱ ἀδελφαὶ ἠγάπων τὴν Εὐπραξίαν, ὅτι οὕτως ἐταπείνου ἑαυτήν, καὶ μετὰ προθυμίας ἐξυπηρέτει τοσαύταις, καὶ ἐθεράπευσεν αὐτάς, καὶ μάλιστα αἵματος ὑπάρχουσα βασιλικοῦ· καὶ ἐκτενῶς ἱκέτευον τὸν Θεὸν ἵνα σωθῇ.

Ὅρος
καρτερίας, πάνσεμνε,
ἀνεδείχθης μέγα,
στῦλός τε καὶ θρόνος
τῆς ταπεινοφροσύνης,
νηστείαν γὰρ ἀσκοῦσα
ἀτύφως, ἀοίδιμε,
Χριστῷ ἐλάτρευσας πιστῶς
ἔργοις χειρῶν
καὶ θείοις ὕμνοις ἀεί.

Νόσου
φθονερᾶς εὑράμενος
ὁ τοῦ φθόνου ἄρχων
ὄργανον κακίας
τὴν παθοῦσαν φθόνον
τιτρώσκειν ἐπειρᾶτο
τὴν ἄτρωτον ὕβρεσι
τοῖς λοιδοροῦσιν ἐμπαθῶς,
ἥττηται δὲ
τῇ ταπεινώσει αὐτῆς.

73-82 *Vita*, 20, l.c., 731B-D: Ἦν δέ τις εἰς αὐτὰς ὀνόματι Γερμάνα, ἣν ἔλεγον ἀπόδουλον εἶναι· καὶ φθόνῳ βαλλομένη κατὰ τῆς Εὐπραξίας..... Λέγει ἡ Γερμάνα πρὸς αὐτήν· « Ἐπιθέτρια καὶ πάσης φαυλότητος πεπληρωμένη, τίς οὐκ οἶδεν ὅτι ἐν φαυλότητι ταῦτα πράττεις, ἵνα μετὰ τὴν κοίμησιν τῆς Μεγάλης σὺ διαδέξῃ τὴν ἀξίαν ταύτην; Πιστεύω εἰς τὸν Θεὸν ὅτι οὐ μὴ ἀξιωθήσῃ ἐλθεῖν εἰς τὴν ἡγεμονίαν ταύτην ». Ἀκούσασα δὲ ταῦτα ἡ Εὐπραξία, ῥίπτει ἑαυτὴν εἰς τοὺς πόδας αὐτῆς, καὶ λέγει πρὸς αὐτήν· « Συγχώρησόν μοι, δέσποινά μου, ἥμαρτον εἰς τὸν θεόν, καὶ εἰς σέ ». Μαθοῦσα δὲ ταῦτα ἡ διάκονος, μετεκαλέσατο ἐπὶ πάντων τὴν Γερμάναν καὶ λέγει αὐτῇ· « Δούλη πονηρὰ καὶ τοῦ Θεοῦ ἀλλοτρία, τί σὲ ἠδίκησεν τὸ κοράσιον Εὐπραξία, ὅτι ἐσπούδασας ἐκκόψαι τὴν προθυμίαν αὐτῆς; Ἀλλοτρία ὑπάρχεις τῆς ἀδελφότητος..... ». Πολλὰ δὲ κατεδέετο αὐτῆς ἡ Εὐπραξία, ἵνα συγχωρήσῃ αὐτῇ, καὶ οὐκ ἔπεισεν αὐτήν, ἕως οὗ ἐπληρώθησαν ἡμέραι λʹ..... Προσκαλεῖται οὖν τὴν Γερμάναν ἐπὶ πάντων ἡ διάκονος, καὶ λέγει αὐτῇ· « Ἀθλία οὐκ αἰδέσθης ἐν τῇ καρδίᾳ σου ἐκκόψαι τὴν προθυμίαν αὐτῆς, οὔτε ἐνεθυμήθης, ὅτι συγκλητικὴ οὖσα καὶ αἵματος βασιλικοῦ, ἐταπείνωσεν ἑαυτήν, καὶ δουλεύει σοι διὰ τὸν Θεόν; ». Καὶ πασῶν ἱκετευσασῶν διηλλάγη τῇ Γερμάνᾳ.

---

66 Ex. 13,21-22; I Tim. 3,15

θεοτ. * Ἤισε
παρθενίᾳ τίκτειν σε
ὁ προφήτης πάλαι
ἄχρονον ἐν χρόνῳ
καὶ ὑπὲρ λόγον λόγον,
τὸν ἕνα τῆς τριάδος,
υἱὸν ὁμοούσιον
πατρὶ καὶ πνεύματι ὁμοῦ,
διπλοῦν τὸν ἁπλοῦν
οὐδαμῶς πεφυρμένον.

ᾠδὴ δʹ. *Ἐν πνεύματι προβλέπων,*
προφῆτα Ἀββακούμ,

Ἐπάρασα πρὸς ὕψος
τὰς χεῖράς σου, σεμνή,
εὐχομένη ἵστασο
αἰθέριος αὐτὴ
καὶ ὑπὲρ λόγον
ἐντείνασα τοὺς ἀγῶνας,
τοὺς ἀσωμάτους
μετὰ σώματος θηλείας
ᾔσχυνας, τὸν δρόμον τελέσασα.

83-92 θεοτ. ETh 27 87 λόγον om. ETh 89-92 υἱὸν usque ad πεφυρμένον] Χριστὸν τὸν Θεὸν ἡμῶν / οὗπερ ἡ ἐκκλησία μήτηρ, / ἁγνή, τιμᾷ τὰ σύμβολα ETh
heirm. δʹ EE 11, n. 15, Andreae

93-101 *Vita*, 21, l.c., 731D-E: Ὁ δὲ διάβολος οὐκ ἐπαύετο πολεμῶν τὴν Εὐπραξίαν σφοδρῶς. Ἐν μιᾷ οὖν νυκτί, κοσμικῇ φαντασίᾳ πλανήσας αὐτήν, χαλεπῶς ἐτάραξεν. Ἀναπηδήσασα δὲ καὶ κατασφραγισαμένη, ἐξεπήδησεν ἔξω τῆς τέγης, καὶ στᾶσα εἰς τὸν ἀέρα ἐξέτεινεν τὰς χεῖρας εἰς τὸν οὐρανόν, ἱκετεύουσα τὸν Θεὸν ἵνα ἀποστήσῃ τὸν διάβολον ἀπ' αὐτῆς..... Πληρωθεισῶν δὲ τῶν μʹ ἡμερῶν, ἄλλας πέντε ἐστάθη μετὰ τὰς μʹ.

83-85 Is. 7,14 101 II Tim. 4,7

Ὑμνοῦμέν σε, ὁσία,
ἐν ὕμνοις ψαλμικοῖς·
σκεπομένη γὰρ χειρὶ
Χριστοῦ τῇ δεξιᾷ
οὐ κατερράγης
πτωθεῖσα φθόνῳ δαιμόνων,
ἀλλὰ ῥυσθεῖσα
ἀβλαβῶς ἐκ τῶν ὑδάτων,
ὤφθης διπλασίως ὑδρεύουσα.

Πληγῇ πληγὴν συμπήξας
καὶ τραύματι τραῦμα

107 πτωθεῖσαν cd.: cfr. PSALTES, 227; MITSAKIS, 67

104-110 *Vita*, 22, l.c., 731F-732A: Ἰδὼν οὖν ὁ διάβολος τὴν τοσαύτην αὐτῆς ὑπομονήν, οὐκ ἔτι προσῆλθεν πειράσαι αὐτήν, ἀλλ' ἐβουλήθη συντόμως ἀπολέσαι αὐτήν. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν κατελθούσης αὐτῆς ἐν τῷ φρέατι ἀντλῆσαι ὕδωρ, ἁρπάζει αὐτὴν μετὰ τοῦ κεραμείου, καὶ χαλᾷ αὐτὴν ἐν τῷ φρέατι κάτω, ὡς λέγειν τὴν Εὐπραξίαν, ὅτι μέχρι τοῦ πυθμένος τοῦ φρέατος ἤγγισεν ἡ κεφαλὴ αὐτῆς. Ἀναρπασθεῖσα οὖν ὑπὸ τοῦ ὕδατος, καὶ κατασχοῦσα τὰ σχοινία τῆς σίτλας, ἐβόησεν ἐν τῷ φρέατι οὕτως· « Χριστέ, βοήθησόν μοι ». Βοῆς δὲ γενομένης, ὅτι Εὐπραξία κατέπεσεν ἐν τῷ φρέατι, συνδραμοῦσαι αἱ ἀδελφαὶ σὺν τῇ ἡγουμένῃ ἀνέσπασαν αὐτὴν ἐκ τοῦ φρέατος. Ἡ δὲ ἀνελθοῦσα καὶ κατασφραγισαμένη, ἐμειδίασεν καὶ λέγει· « Ζῇ ὁ Χριστός μου, ὅτι οὐ μή με νικήσῃς, διάβολε, οὐ μή σοι παραχωρήσω, ἕως μὲν τῆς σήμερον μίαν ὑδρίαν βαστάζουσα τὸ ὕδωρ ἐν τῷ μαγειρείῳ παρεκόμισα, ἀπὸ δὲ τῆς σήμερον ἡμέρας δύο ὑδρίας βαστάζουσα τὸ ὕδωρ παρακομίσω ». Καὶ ἐποίει οὕτως.

111-119 *Vita*, 23-24, l.c., 732A-D: Ἰδὼν οὖν ὁ διάβολος ὅτι οὐκ ἴσχυσεν αὐτὴν ἀπολέσαι ἐν τῷ φρέατι, ἐπετήρει τὸ πῶς ἀπολέσαι αὐτήν. Ἄλλοτε δὲ πάλιν κατελθούσης αὐτῆς σχίσαι ξύλα, καὶ ἤδη σχισάσης ὀλίγα, παραγίνεται ὁ διάβολος ἐπιτηρῶν. Ὡς οὖν ὕψωσεν τὴν ἀξίνην φέρειν ἐπὶ τὸ ξύλον, συνδεσμεῖ ὁ διάβολος τὰς χεῖρας αὐτῆς, καὶ φέρει τὴν ἀξίνην κατὰ τῆς πτέρνης αὐτῆς, καὶ ἔφθασεν μέχρι τοῦ καλάμου. Ἡ δὲ ὁρῶσα τὴν πληγὴν δεινὴν οὖσαν, καὶ τὸ αἷμα σφοδρῶς ἐκχυόμενον, ῥίψασα τὴν ἀξίνην καὶ ὀλιγοψυχήσασα, κατέπεσεν εἰς τὸ ἔδαφος..... Ἡ δὲ ἡγουμένη .....δήσασα τὸν πόδα αὐτῆς ῥάκος τρίχινον ἤγειρεν αὐτήν, καὶ δοῦσα αὐτῇ χεῖρα ἔφερεν αὐτὴν εἰς τὸ μοναστήριον. Ἡ δὲ περιβλεψαμένη, καὶ ἰδοῦσα τὰ ξύλα ἐρριμμένα, λέγει ταῖς ἀδελφαῖς· « Ζῇ Κύριος ὁ Θεός μου, ἐὰν μὴ συλλέξω τὰ ξύλα καὶ πληρώσω τὰς ἀγκάλας μου, οὐ μὴ ἀνέλθω ». Λέγει αὐτῇ ἡ Ἰουλία· « Μή, Κυρία μου ἀδελφή, οὐ δύνασαι· ἄφες· ἐγὼ συλλέγω τὰ ξύλα ». Ἡ δὲ οὐ συνεχώρησεν, ἀλλὰ πληρώσασα τὰς ἀγκάλας αὐτῆς τῶν ξύλων οὕτως ἀνήρχετο. Ὁ δὲ διάβολος οὐκ ἐφείσατο αὐτῆς. Ἀνελθοῦσα οὖν τῶν ἄνω βαθμῶν τῆς κλίμακος, περιετράπη, τοῦ διαβόλου ὑποσκελίσαντος αὐτήν, καὶ πατήσασα τὸ ἄκρον τοῦ στιχαρίου αὐτῆς, ἔπεσεν ἐπάνω τῶν ξύλων, ὧν ἐβάσταζεν· καὶ πήγνυται ξύλον κατὰ τῆς ὄψεως αὐτῆς..... Ἔλαβον οὖν τὸ ξύλον ἐξ αὐτῆς, καὶ σφοδρῶς αἵματος ῥύσις ἐγένετο ..... Ἡ δὲ Ἰουλία πάλιν φησὶν πρὸς αὐτήν· « Ὕπαγε, ἀδελφή μου, εἰς τὴν κοίτην σου καὶ ἀναπαύου, κἀγὼ ποιῶ τὴν ὑπηρεσίαν ταῖς κυρίαις ταῖς ἀδελφαῖς ». Ἡ δὲ μακαρία Εὐπραξία λέγει· « Ζῇ Κύριος ὁ Θεός μου, οὐ μὴ ἀναπαύσωμαι μέχρις οὗ πληρώσω τὴν ὑπηρεσίαν μου »..... (§ 24) Πάλιν ἐν ἄλλῃ βολῇ ἀνελθούσης αὐτῆς μετὰ τῆς Ἰουλίας ἐν τῷ τριστέγῳ, ἁρπάσας αὐτὴν ὁ διάβολος, κρημνίζει ἄνωθεν κάτω..... Ἀκούσασα οὖν ἡ ἡγουμένη ὅτι ἀπὸ τηλικούτου ὕψους πεσοῦσα οὐδὲ ἐβλάβη, ἐδόξασεν τὸν Θεὸν καὶ λέγει αὐτῇ· « Ὕπαγε, τέκνον, εἰς τὸ ἔργον σου, καὶ ἔσται ὁ Θεὸς μετὰ σοῦ ».

ἐπειρᾶτο λύειν σου
τὸν τόνον ὁ ἐχθρός,
ἀλλὰ τῷ πόθῳ
σωτῆρος τοῦ σοῦ νυμφίου
f. 104 ‖ δυναμουμένης,
οὐ κρημνὸς οὐδὲ ἀξίνη
στῆσαί σου τὸν πόθον δεδύνηται.

θεοτ. Μητρὸς ἐξ ἀπειράνδρου,
ἀπάτωρ ἐπὶ γῆς,
ὁ ἀμήτωρ ἄνωθεν
γεννᾶται υἱὸς
ἐπισκιάσει
τοῦ πνεύματος τοῦ ἁγίου,
διπλοῦς τῇ φύσει
ἐν μιᾷ δὲ ὑποστάσει,
εἷς θεός, βροτὸς ὑπερτέλειος.

ᾠδὴ ε'. *Τὸ φαεινὸν ἡμῖν ἐξανάτειλον*
φῶς τὸ ἀΐδιον
τοῖς ὀρθρίζουσιν ἐπὶ τὰ κρίματα
τῶν ἐντολῶν σου,
δέσποτα φιλάνθρωπε,
Χριστὲ ὁ θεὸς ἡμῶν.

Ἀνδρείαν ἔχουσα, παμμακάριστε,
φρένα ἐν σώματι
θηλείας, ᾔσχυνας ὄφιν γαστρίμαργον

123 syllaba desideratur: forte <ὁ> υἱὸς
heirm. ε' EE 13, n. 16, Andreae vv. 2-6 heirm. in margine add.

καὶ ἀλαζόνα,
τοῦτον συμπατήσασα
ποσὶν ἐγκρατείας στερρῶς.

Ξένα τὰ ἔργα σου τῆς ἀσκήσεως
καὶ ὑπὲρ ἄνθρωπον·
ἡ γὰρ αἰθέριος καὶ πολυήμερος
τῆς προσευχῆς σου
στάσις ὑπερβέβηκε
τοὺς ὅρους τῆς φύσεως.

Ἰσχὺς ἁγίου σοι ἐπιλάμψασα
πνεύματος, ἔνδοξε,
πνευμάτων δύναμιν πᾶσαν ἐδίωξε
τῶν ἀκαθάρτων,
ὅθεν καὶ θαυμάτων σοι
ἡ χάρις ἐκκέχυται.

θεοτ. Ἐν τῇ κυήσει σου, μήτηρ ἄχραντε,
χαίρει τὰ σύμπαντα·
θεὸς γὰρ ἥλιος ἡμῖν ἐπέφανεν,
ἁμαρτημάτων
λύων τὰ δεσμὰ ἡμῶν,
ὡς μόνος φιλάνθρωπος.

ᾠδὴ ϛ'. *Τὸν προφήτην Ἰωνᾶν*
ἐκμιμούμενος βοῶ·
« τὴν ζωήν μου, ἀγαθέ,
ἐλευθέρωσον φθορᾶς

---

heirm. ϛ' EE 12, n. 15, Andreae heirm. vv. 2-7 in margine add.

135-140 Cfr. notas ad vv. 93-101.
141-146 Cfr. notas ad vv. 160-166, 167-173.

καὶ σῶσόν με,
σωτὴρ τοῦ κόσμου,
τῇ εὐσπλαγχνίᾳ σου ».

Νόσῳ φθόνου τὴν ψυχὴν
φθειρομένη χαλεπῶς,
ἡ ἀσύνετος γυνὴ
θρασυνθεῖσα λειτουργεῖν
τὴν πάσχουσαν,
τῆς τολμητίας
ἄξιον εὗρε μισθόν.

Θαυμαστός σου ὁ βίος
τῆς ἀσκήσεως, σεμνή·
παρειμένον γὰρ παῖδα

---

heirm. 7 κράζοντα δόξα σοι EE 158 τολμητία pro τόλμησις in lexicis deest

---

153-159 *Vita*, 26,28-29, l.c., 732F-733C: Ἦν δέ τις ἐν τῷ μοναστηρίῳ ἐκείνῳ γυνὴ πασχικὴ ἐκ παιδόθεν, προσαχθεῖσα τῷ μοναστηρίῳ χάριν ἰάσεως· εἶχεν δὲ πνεῦμα ἀρχοντικόν, δεδεμένη τοὺς πόδας καὶ τὰς χεῖρας, καὶ ἦν ἀφρίζουσα καὶ τρίζουσα τοὺς ὀδόντας, καὶ κράζουσα μεγάλα ὥστε πάντας τοὺς ἀκούοντας αὐτῆς καταπτήσσειν τῷ φόβῳ. Πολλάκις οὖν ἡ Μεγάλη σὺν ταῖς πρεσβυτέραις ὑπὲρ τοῦ ἰαθῆναι αὐτὴν εὐξαμένη, οὐκ ἐπέτυχεν..... (§ 28) Πάλιν οὖν ἡ ἡγουμένη, ...λέγει αὐτῇ· « Τέκνον μου Εὐπραξία, θέλω ἵνα τῇ πασχικῇ ταύτῃ, τῇ ἐν τῷ μοναστηρίῳ οὔσῃ, διὰ χειρῶν σου προσενέγκῃς τὸν ἄρτον, ἐὰν μὴ φοβῇ αὐτήν ». Ἡ δὲ Εὐπραξία φησίν· « Οὐχί, Δέσποινα, οὐ φοβοῦμαι αὐτήν» ...... (§ 29) Πάλιν οὖν ἡ Γερμάνα νηττομένη ὑπὸ τοῦ φθόνου διεγείρετο τῇ καρδίᾳ, καὶ ἔλεγε πρὸς τὰς ἀδελφάς· « Εἰ μὴ ἦν ἡ Εὐπραξία, οὐκ ηὑρίσκετο ἄλλη προσφέρουσα αὐτῇ τροφήν; Βάλετε τὸ βρῶμα, κἀγὼ αὐτῇ διακονῶ ». Καὶ δὴ λαβοῦσα τὴν τροφήν, προσέρχεται τῇ πασχικῇ, καί φησιν· « Δέξαι, ἀδελφή, καὶ φάγε ». Ἡ δὲ εὐθέως ἐπιπηδήσασα αὐτῇ διέρρηξε τὰ ἱμάτια αὐτῆς, καὶ συντρίψασα αὐτὴν ἔρριψεν εἰς τὸ ἔδαφος, καὶ ἐπιπεσοῦσα αὐτῇ ἤρξατο καταμάσασθαι τὰς σάρκας αὐτῆς. Βοῆς δὲ γενομένης καὶ μηδεμιᾶς τολμώσης ἐγγίσαι, δραμοῦσα Ἰουλία εἰς τὸ μαγειρεῖον, λέγει τῇ Εὐπραξίᾳ· « Σπούδασον, Κυρία, ὅτι Γερμάνα σπαράττεται ὑπὸ τῆς πασχικῆς ». Δραμοῦσα οὖν ἡ Εὐπραξία καὶ κρατήσασα τὰς χεῖρας τῆς πασχικῆς καὶ τὸν λάρυγγα, ἐξήλατο ἐξ αὐτῆς τὴν Γερμάναν ἡματωμένην καὶ τετραυματισμένην.

160-166 *Vita*, 27, l.c., 732F-733A: Ἐγένετο δὲ ἐν μιᾷ τῶν ἡμερῶν εἰσελθοῦσα ἡ θυρωρὸς λέγει τῇ διακόνῳ· « Γυνή τις ἤνεγκεν παιδίον καὶ ἵσταται ἔξω τῆς πύλης κλαίουσα· ἔστιν δὲ τὸ παιδίον ὡς ἐτῶν η', παραλυτικόν, κωφὸν καὶ ἄλαλον ». Ἰδοῦσα δὲ ἡ Μεγάλη ὅτι χάριτος ἠξιώθη ἡ Εὐπραξία κατὰ δαιμόνων, λέγει τῇ θυρωρῷ· « Κάλεσόν μοι τὴν Εὐπραξίαν ». Παραγενομένης δὲ αὐτῆς, φησὶν ἡ Μεγάλη· « Ὕπαγε, λάβε τὸ παιδίον παρὰ τῆς μητρὸς αὐτοῦ καὶ φέρε ὧδε ». Ἡ δὲ ἐξελθοῦσα

δεξαμένη ταῖς χερσίν,
f. 104v || ἀπήλλαξας
Χριστοῦ σφραγῖδι
τοῦτον τῆς νόσου πιστῶς.

Εὐσπλαγχνίαν θεϊκὴν
μιμουμένη εὐσεβῶς,
δαιμονῶσαν χαλεπῶς
ἐλυτρώσω συμπαθῶς,
ἀοίδιμε,
τὴν συνασκοῦσαν
τῇ ταπεινώσει σου.

θεοτ. Νόμοι φύσεως, ἁγνή,
καταλύονται ἐν σοί,
ὅτι ὅλη καθαρὰ
καὶ ἀπείρανδρος οὖσα,

καὶ ἰδοῦσα τὸ παιδίον παραλελυμένον καὶ τρέμον, ἐσπλαγχνίσθη ἐπ' αὐτῷ, καὶ στενάξασα συμπαθῶς ἐσφράγισεν τὸ παιδίον, καὶ λέγει· « Ὁ δημιουργήσας σε Θεὸς ἰᾶταί σε, τέκνον ». Καὶ λαβοῦσα αὐτό, ἐπορεύετο πρὸς τὴν Μεγάλην. Τὸ δὲ παιδίον βασταζόμενον ὑπὸ τῆς Εὐπραξίας ἰάθη, καὶ ἀναβοῆσαν τὴν μητέρα ἐκάλει. Ἰδοῦσα δὲ ἡ Εὐπραξία ὅτι τὸ παιδίον ἤρξατο λαλεῖν, φοβηθεῖσα ἔθηκεν αὐτὸ εἰς τὸ ἔδαφος. Τὸ δὲ παιδίον εὐθέως ἀναστάν, ἔδραμεν ἐπὶ τὴν πύλην ζητοῦν τὴν μητέρα.

167-173 *Vita*, 30-31, l.c., 733D-734A: ..... καταλαβούσης δὲ τῆς νυκτός, ἐδέετο τοῦ Θεοῦ ἡ Εὐπραξία, ἵνα ἰαθῇ ἡ πάσχουσα (cfr. notas ad vv. 153-159), λανθάνουσα τὰς ἀδελφάς. Ὄρθρου δὲ γενομένου, μεταστειλαμένη ἡ διάκονος τὴν Εὐπραξίαν, λέγει αὐτῇ· « Ἵνα τί ἔκρυψάς μοι, τέκνον, δεήσεις τῷ Κυρίῳ προσφέρουσα ὑπὲρ τῆς πασχούσης; Εἰ ἐφανέρωσάς μοι, πάντως κἀγὼ εἶχον συναγωνίσασθαί σοι ». Λέγει ἡ Εὐπραξία· « Συγχώρησον, δέσποινα, ἰδὼν αὐτὴν ἀσχημονοῦσαν εὐσπλαγχνίσθην ἐπ' αὐτῇ ». Ἡ διάκονος λέγει· « Ἔχω σοί τι ἀναγγεῖλαι, καὶ βλέπε μή σε πειράσῃ ὁ σατανᾶς, καὶ ἔπαρσίς σοι γένηται. Ἰδοὺ ὁ Χριστός σοι δέδωκεν ἐξουσίαν κατὰ τοῦ δαίμονος τούτου, ἵνα ἐκβάλῃς αὐτόν ». Ἀκούσασα δὲ ταῦτα ἡ Εὐπραξία ἔβαλεν τέφραν ἐπὶ τῆς κεφαλῆς αὐτῆς, καὶ ῥίψασα ἑαυτὴν εἰς τὸ ἔδαφος, ἐβόα λέγουσα· « Τίς εἰμι ἐγὼ ἡ ἀκάθαρτος ἵνα τοιοῦτον ἀπελάσω δαίμονα, ὃν ὑμεῖς πρὸ τοσούτου χρόνου μέχρι νῦν οὐκ ἠδυνήθητε; ». Λέγει αὐτῇ ἡ διάκονος· « Τέκνον μου, σὲ ἔμενεν τὸ ἔργον τοῦτο, ὅτι μέγας ἐστὶν ὁ μισθός σου ἐν τοῖς οὐρανοῖς». (§ 31) Εἰσελθοῦσα οὖν ἡ Εὐπραξία εἰς τὸ εὐκτήριον, ῥίπτει ἑαυτὴν εἰς τοὺς πόδας τοῦ Σωτῆρος ἱκετεύουσα ἐπινεῦσαι τῇ δεήσει αὐτῆς, καὶ δοῦναι βοήθειαν ἐξ ὕψους. Καὶ ἐγερθεῖσα ἀπὸ τοῦ ἐδάφους, καὶ εὐξαμένη, πάλιν ἐπορεύετο πρὸς τὴν πασχικὴν κατὰ κέλευσιν τῆς διακόνου. Πᾶσα δὲ ἡ συνοδία ἐπηκολούθει αὐτῇ θεωρῆσαι τὰ γενησόμενα. Προσελθοῦσα οὖν λέγει αὐτῇ· « Ἰάσεταί σε ὁ Κύριός μου Ἰησοῦς Χριστὸς ὁ κτίσας σε ». Καὶ εὐθέως τὸ σημεῖον τοῦ σταυροῦ ἐποίησεν ἐπὶ τοῦ μετώπου αὐτῆς. Ὁ δὲ δαίμων ἐβόα ἐπὶ πάντων ..... Ἡ δὲ Εὐπραξία ἐναγώνιος γεναμένη ἐπὶ τῇ τοῦ δαίμονος ἀντιστάσει, ἀναβλέψασα εἰς

γεγέννηκας
σαρκὶ τὸν λόγον
δίχα τροπῆς καὶ φυρμοῦ.

Κάθισμα.

Ἦχος δ'. *Κατεπλάγη Ἰωσήφ*

Ἀραμένη τὸν σταυρὸν
ἐπὶ τῶν ὤμων τοῦ Χριστοῦ,
ἠκολούθησας αὐτῷ
διὰ τῶν ἔργων εὐσεβῶς
τῶν τῆς ἀσκήσεως, ἀοίδιμε Εὐπραξία,
καὶ πάσαις ταῖς σὺν σοὶ
ἐνασκουμέναις εἰκὼν
ἐδείχθης ἀρετῶν,
σεμνὴ παρθένε Χριστοῦ,
ἀλλὰ τοῖς θείοις πόνοις σου τὰ ἄνω
ἀπολαβοῦσα βασίλεια,
αὐτῷ πρεσβεύειν
μὴ διαλίπῃς
τοῦ σωθῆναι τὴν ποίμνην σου.

ᾠδὴ ζ'. *Τοὺς ἐν καμίνῳ παῖδάς σου, σωτήρ,*

Ἀθλητικῇ ψυχῇ καὶ λογισμῷ
τὴν ἄσκησιν
πᾶσαν ἐκτελέσασα καλῶς,

---

heirm. καθ. MR I, 233
heirm. ζ' EE 12, n. 15, Andreae   Τῶν ..... παίδων EE

τὸν οὐρανὸν λέγει· « Κύριε Ἰησοῦ Χριστέ, μὴ καταισχύνῃς με ἐν τῇ ὥρᾳ ταύτῃ· μὴ νικήσῃ με ὁ ἀκάθαρτος οὗτος δαίμων ». Καὶ εὐθέως ὁ δαίμων ἀφρίσας καὶ κράξας φωνῇ μεγάλῃ, ἐξῆλθεν ἐκ τοῦ γυναίου, καὶ ἰάθη ἀπὸ τῆς ὥρας ἐκείνης.

181-188 Cfr. notas ad vv. 213-220.

εὗρες μισθὸν
τῶν ἱερῶν σου πόνων μέγαν,
τῷ Χριστῷ παρίστασθαι
σὺν ἀσωμάτων χοροῖς
καὶ μετὰ θάνατον.

Πιαινομένη ἔργοις ἀρετῶν
κατάκαρπος
ὤφθης ὡς ἐλαία εὐσεβῶς
ἐν ταῖς αὐλαῖς
τοῦ Ἰησοῦ πεφυτευμένη,
Εὐπραξία, ψάλλουσα·
« εὐλογητὸς ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Εὐσυνειδήτως πᾶσαν τὴν ζωὴν
τελέσασα
διὰ τῆς ἀσκήσεως, σεμνή,
οἶκος θεοῦ
ἡ ἱερὰ ὤφθη ψυχή σου,
Εὐπραξία πάνσοφε,
ὡς θαυμαστή, ὡς ἁγνή,
ὡς καθαρά, ὡς λαμπρά.

θεοτ. Τὸν τοῦ παντὸς τροφέα καὶ θεόν,
πανάχραντε,
f. 105 ‖ γάλακτι πῶς τρέφεις ὡς υἱὸν
λέγε, ἁγνή,
τὸ ὑπὲρ νοῦν θαῦμα καὶ πρᾶγμα·
« θεὸς ἔνθα βούλεται,
ἐκεῖ νικᾶται », φησίν,
« τάξις τῶν φύσεων ».

196 πατέρων ἡμῶν om. cd. 212 τάξεις cd.

184 ss. Cfr. Matth. 5,12 190-193 Ps. 51,10; Hos. 14,7

ᾠδὴ η´. *Ὃν φρίττουσιν ἄγγελοι*

Τῶν πόνων προεῖδέ σου
ἐντεῦθεν τὸν μισθὸν
ἡ πίστει προάρχουσα
ὡς μήτηρ εὐσεβῶς·
δοξάζει γὰρ ὄντως
ὁ θεὸς τοὺς αὐτὸν
δοξάζοντας ἔργοις
εἰς πάντας τοὺς αἰῶνας.

Ῥοαῖς τῶν δακρύων σου
καὶ ῥείθροις εὐσεβῶν
ἱδρώτων σου, πάνσοφε,
τὰ πάθη τῆς σαρκὸς
κατέκλυσας πάντα
καὶ παρθένον σαυτὴν

heirm. η´ EE 12, n. 15, Andreae

213-220, *Vita*, 32-33, l.c., 734[B-E]: Ἐν μιᾷ δὲ τῶν ἡμερῶν ὁρᾷ ὀπτασίαν ἡ διάκονος, καὶ ἐταράχθη σφόδρα, καὶ ῥίπτει ἑαυτὴν ἐν τῷ εὐκτηρίῳ μετὰ δακρύων, καὶ οὐδενὶ ἐφανέρωσεν· εὐλαβοῦντο δὲ καὶ αἱ πρεσβυτέραι ἐπερωτῆσαι αὐτήν. Ὡς δὲ καθεκάστην τοῦτο ἐποίει, προσῆλθον αὐτῇ ἱκετεύουσαι· « Ἀνάγγειλον ἡμῖν, Κυρία ἡ Μεγάλη ... ». ... Ἡ διάκονος λέγει· « ..... Εὐπραξία καταλιμπάνει ἡμᾶς, αὔριον γὰρ τελευτᾷ..... (§ 33) Ἐθεώρουν ὅτι δύο τινὲς ἄνδρες εὐσχήμονες, ἐνταῦθα παραγενόμενοι, ἐζήτουν τὴν Εὐπραξίαν λαβεῖν, λέγοντές μοι· "Ἀπόστειλον αὐτήν, ὅτι ζητεῖ αὐτὴν ὁ Βασιλεύς". Πάλιν δὲ καὶ ἄλλοι ἐλθόντες λέγουσίν μοι ὅτι· "σὺ παραλαβοῦσα τὴν Εὐπραξίαν φέρε πρὸς τὸν δεσπότην". Εὐθέως οὖν λαβοῦσα αὐτὴν ἐπορεύθημεν σὺν αὐτοῖς· καὶ ὡς ἐφθάσαμεν μέχρι πύλης τινός, ἧς οὐ δύναμαι τὴν δόξαν διηγήσασθαι, αὐτοματὶ ἠνοίγη, καὶ εἰσήλθομεν, καὶ ὁρῶμεν ἐκεῖ ⟨δόξαν⟩ ἀνεκδιήγητον, παλάτιον ἐπουράνιον, νυμφῶνα ἀκατάλυτον, παστάδα ἀχειροποίητον· κἀγὼ μὲν οὐκ ἠδυνήθην ἐσωτέρως προσεγγίσαι, τὴν δὲ Εὐπραξίαν λαβόντες οἱ ἅγιοι προσήνεγκαν τῷ δεσπότῃ, καὶ κατεφίλει τοὺς ἀχράντους αὐτοῦ πόδας. Καὶ εἶδον ἐκεῖ μυριάδας Ἀγγέλων καὶ πλήθη Ἁγίων ἀναρίθμητα, καὶ πάντες εἱστήκεισαν θεωροῦντες· καὶ εἶδον, καὶ ἰδοὺ ἡ Μήτηρ τοῦ Κυρίου λαβοῦσα τὴν Εὐπραξίαν, ἐπεδείκνυεν αὐτῇ τὸ παλάτιον, τὸν νυμφῶνα, τὴν παστάδα, καὶ τὸν στέφανον τὸν ἡτοιμασμένον αὐτῇ· καὶ ⟨ἤκουσα⟩ φωνῆς λεγούσης τῇ Εὐπραξίᾳ οὕτως· "Ἰδοὺ ὁ μισθός σου, καὶ ἡ ἀνάπαυσίς σου· νῦν οὖν πορεύθητι, καὶ μετὰ δέκα ἡμέρας ἐλεύσεις, καὶ ἀπολαύσεις τούτων εἰς τοὺς ἀτελευτήτους αἰῶνας". Ἰδοὺ οὖν θ´ ἡμέρα σήμερον, ἀφ' οὗ τὴν ὅρασιν εἶδον, ὥστε οὖν αὔριον τελευτᾷ ἡ Εὐπραξία ».

217-219 Cfr. I Regn. 2,30

ἐφύλαξας ὅλην,
Χριστῷ ὡς νυμφευθεῖσα.

Ὡς πρᾶος, ὡς ἥσυχος
καὶ ὅλη ταπεινὴ
ὑπάρχουσα πνεύματι,
κυρίου τὰς ὁδοὺς
ἐξεῦρες, ὁσία,
διὰ πράξεως
καὶ ὤφθης ἀξίως
ἐν βίῳ μακαρίᾳ.

θεοτ. Ὁ πάσης τῆς κτίσεως
δωμήτωρ καὶ θεὸς
ἠνέσχετο ἄνθρωπος
ὀφθῆναι ἐπὶ γῆς,
ἐκ σοῦ, παναγία,
ἀσυγχύτως τεχθείς,
ἵνα τὴν πεσοῦσαν
εἰκόνα ἀναστήσῃ.

ᾠδὴ θ'. *Τὴν φωτοφόρον νεφέλην,*
ἐν ᾗ ὁ πάντων δεσπότης
ὡς ὑετὸς ἐξ οὐρανοῦ
ἐπὶ πόκον κατῆλθε
καὶ ἐσαρκώθη δι' ἡμᾶς,
γενόμενος ἄνθρωπος
ὁ ἄναρχος,
μεγαλύνωμεν πάντες
ὡς μητέρα
τοῦ θεοῦ ἡμῶν ἁγνήν.

Ἐν ἀρεταῖς, Εὐπραξία,
ὤφθης σαφῶς φερωνύμως·
ἀποθεμένη γάρ, σεμνή,
τὴν τοῦ πλούτου σου δόξαν

227 ὅλη cd.
heirm. θ' EE 14, n. 17, Andreae   vv. 2-10 heirm. in margine cd. add.

229 Cfr. I Petr. ep. 3,4

καὶ τὴν εὐγένειαν ὁμοῦ,
πτωχείας ἐν πνεύματι
ὑπέταξας
σεαυτὴν τῷ κυρίῳ
καὶ ἐδείχθης
εὐγενὴς καὶ ἀκλινής.

Λόγοις θεοῦ τρεφομένη,
βρῶσιν παθῶν οὐκ ἐγεύσω·
διὸ τὸν νοῦν σὺν τῇ ψυχῇ
καὶ τῷ σώματι ἁγνὸν
ἐν προσευχαῖς τῷ λυτρωτῇ
προσάγουσα, ἔτυχες
τῆς στάσεως
τῆς μεγάλης ἐκείνης,
Εὐπραξία,
τῆς τριάδος λειτουργέ.

Ὡς θαυμαστός σου ὁ βίος,
ὡς εὐσεβής σου ὁ δρόμος,
νύμφη Χριστοῦ ὑπερκαλλής,
Εὐπραξία ὁσία,
f. 105v || μοναζουσῶν ὡς ἀληθῶς
τὸ θεῖον καλλώπισμα
καὶ ἔρεισμα
καὶ κανὼν μοναζόντων,
ὑπερεύχου
τῶν τιμώντων σε πιστῶς.

θεοτ. * Σωματωθέντα τὸν λόγον
ἀλλ' οὐ τραπέντα γινώσκω,
ὅθεν ὑμνῶ αὐτοῦ πιστῶς
δύο μὲν τὰς οὐσίας,
τὴν δὲ ὑπόστασιν, ἐν ᾗ
σαφῶς καθωράθη μοι
ὡς ἄνθρωπος,
μίαν αὖθις καὶ ταύτην
δογματίζων,
τὴν ᾠδὴν ἀποπληρῶ.

275-284 θεοτ. ETh 29   277 αὐτοῦ] αὐτὸν ETh

IN SANCTAM MARTYREM PARASCEVEM

Synaxarium (*): Αὕτη ἦν ἐπὶ τῆς βασιλείας ᾽Αντωνίνου, ἐκ τῶν ὁρίων τῆς πρεσβυτέρας ῾Ρώμης, χριστιανῶν γονέων θυγάτηρ μονογενής. Σχολάσασα δὲ ἐν τοῖς ἱεροῖς γράμμασι, τῶν γονέων αὐτῆς τελευτησάντων, αὕτη διανείμασα τὰ ὄντα τοῖς πτωχοῖς, καὶ κατὰ μοναχοὺς ἀποκαρεῖσα, ἐξῆλθεν ἀποστολικῶς κηρύττουσα τὸν Χριστόν· καὶ πολλοὺς πρὸς θεογνωσίαν ἐπιστρέφουσα, διεβλήθη ὑπὸ ᾽Ιουδαίων πρὸς τὸν βασιλέα ᾽Αντωνῖνον. ῾Ο δὲ τῷ βήματι αὐτοῦ παραστήσας αὐτήν, ἐπεὶ μήτε κολακείαις, μήτε ἀπειλαῖς ἀρνήσασθαι τὸν Χριστὸν ἐβουλήθη, κασίδαν πεπυρακτωμένην κατὰ κεφαλῆς δέχεται, καὶ εἰς λέβητα χαλκοῦν, ἐλαίου καὶ πίσσης μεστόν, σφοδρῶς ἐκκαέντα ἐκβάλλεται· καὶ παραδόξως ἐκ τούτων ῥυσθεῖσα, καὶ θαυματουργήσασα, τὸν βασιλέα ᾽Αντωνῖνον σὺν τοῖς περὶ αὐτὸν πρὸς τὴν εἰς Χριστὸν ἐκκαλεῖται πίστιν. Κἀκεῖθεν ἀπολυθεῖσα, ἐξῆλθεν αὖθις εἰς ἑτέρας πόλεις, κηρύττουσα τὸν Χριστόν. Καὶ ἐξελθοῦσα εἴς τινα πόλιν, ἐν ᾗ ἐβασίλευεν ᾽Ασκληπιός τις, παρέστη τῷ βήματι αὐτοῦ. ῾Ο δὲ ἰδὼν τὸ ἀμετάθετον τῆς γνώμης αὐτῆς, ἔπεμψεν αὐτὴν πρὸς τὸν ἐμφωλεύοντα ἔξω τῆς πόλεως φοβερώτατον δράκοντα, εἰς τὸ διασπαραχθῆναι ὑπ᾽ αὐτοῦ. Τῆς δὲ τοῦτον τῷ σημείῳ τοῦ σταυροῦ διαρραγῆναι εἰς δύω ποιησαμένης, ὁ βασιλεὺς καὶ οἱ σὺν αὐτῷ ἐπίστευσαν τῷ Χριστῷ. Καὶ πάλιν ἀπολυθεῖσα ἡ ἁγία, διήρχετο πᾶσαν πόλιν καὶ χώραν, κηρύττουσα τὴν εὐσέβειαν. Καὶ εἰσελθοῦσα εἰς πόλιν, ἐν ᾗ ἐβασίλευεν ἕτερος βασιλεύς, τοὔνομα Ταράσιος, παρέστη κἀκείνου τῷ βήματι, καὶ τὸν Χριστὸν ἀνεκήρυξεν. ῾Ο δὲ πολλαῖς καὶ δειναῖς βασάνοις ἐτάσας αὐτήν, ἐπεὶ μὴ ἔσχεν αὐτὴν καταπεισθῆναι τὸν Χριστὸν ἐξομώσασθαι, ξίφει τὴν τιμίαν αὐτῆς ἀπέτεμε κεφαλήν.

Crypt. Δ.α. XI = Co. ff. 108-111

* *᾽Ανθολόγιον ... νεωστὶ διαταχθὲν κατὰ τὰ ὑπὸ τοῦ πανοσιοελλογίμου Βαρθολομαίου Κουτλουμουσιανοῦ ἐξακριβωθέντα Μηναῖα* (Βενετία, Φοῖνιξ, 1882), 479.

῾Ο κανὼν φέρων ἀκροστιχίδα·
Σεπτοῖς ἐπαίνοις τὴν Παρασκευὴν στέφω.

῏Ηχος δ′.

ᾠδὴ α′. *῎Αισομαί σοι, κύριε ὁ θεός μου,*

Σὲ τὴν τρισυπόστατον θεαρχίαν,
πάτερ, υἱὲ μονογενῆ
καὶ πνεῦμα τὸ ἅγιον,
λιτάζω δεόμενος
δοθῆναί μοι φῶς γνώσεως.

῎Ελαμψεν ὡς ἥλιος ἡ σὴ μνήμη
πανευκλεής, Παρασκευή,
καὶ κόσμον ἐφώτισε
τῇ αἴγλῃ τῆς ἀσκήσεως
καὶ φέγγει τῆς ἀθλήσεως.

Πυρὸς ἐνεργέστερον κτησαμένη
ἔρωτα, μάρτυς, θεϊκόν,
τὴν σάρκα ἐμίσησας
καὶ μόνον ἐπόθησας
τὸ ὄντως ὂν ἐράσμιον.

θεοτ. Τέτοκας ἀφθόρως τὸν πρὸ αἰώνων,
παρθενομήτωρ Μαριάμ,
διό σοι νεάνιδες
θερμῶς ἠκολούθησαν
ἁγνείᾳ φαιδρυνόμεναι.

tit. Εἰς τὸν ὄρθρον κανὼν τῆς ἁγίας μάρτυρος παρασκευῆς· φέρων ἀκροστιχίδα .... cd.
heirm. α′ EE 103, n. 146, Germani   2 μονογενῆ pro μονογενές: cfr. PSALTES, 152

18-20 Cfr. Cant. 1,3

ᾠδὴ γ΄. *Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα*

Ὁ τοῦ Χριστοῦ σε πόθος ἀναφλέξας,
Παρασκευὴ πανεύφημε,
καταφρονεῖν πάντων τῶν φθαρτῶν
παρεσκεύασε καὶ μόνα
ἐπιποθεῖν τὰ μένοντα
καὶ δόξαν τὴν ἀμάραντον.

Ἵνα τοῦ θείου κάλλους ἀπολαύσῃς
τοῦ ἐραστοῦ σου, ἔνδοξε,
ὥσπερ χρυσέοις ἐν κροσσωτοῖς
σεαυτὴν πεποικιλμένην
ταῖς ἀρεταῖς ἀνέδειξας
καὶ τοῦ σκοποῦ ἐπέτυχες.

Σωματικῷ τῷ κάλλει ἀραρότως
f. 108v τὸ τῆς ψυχῆς ‖ ἀντήστραπτεν,
ὅθεν ἠράσθη σου τῆς ψυχῆς
ὁ ὡραῖος παρὰ πάντας
υἱοὺς βροτῶν καὶ δόξης σε
συμμέτοχον εἰργάσατο.

θεοτ. Ἐν γυναιξὶ σὺ μόνη ἀνεδείχθης
παρθένος μετὰ γέννησιν,
μέγα τεράστιον καὶ πιστόν·
ὁ γὰρ πάντων τῶν θαυμάτων
τερατουργὸς γεγέννηται
ἐκ σοῦ, θεονύμφευτε.

---

heirm. γ΄ EE 104, n. 147, Andreae

29-30 Ps. 44,14 36-37 Ps. 44,3

Κάθισμα.

Ἦχος δ΄. *Κατεπλάγη Ἰωσήφ*

Τὴν ἀμνάδα τοῦ Χριστοῦ
καὶ ὀλετῆρα τοῦ ἐχθροῦ,
τὴν σεμνὴν καὶ ἱερὰν
καὶ παγκαλλῆ περιστερὰν
Παρασκευὴν τὴν ἀοίδιμον καὶ μακαρίαν
ἀξίως, οἱ πιστοί,
ἀνευφημήσωμεν
καὶ ᾄσμασιν αὐτὴν δοξολογήσωμεν,
ἵνα πταισμάτων εὕροιμεν τὴν λύσιν
καὶ νοσημάτων τὴν ἴασιν·
αὐτῆς πρεσβείαις,
σωτὴρ τοῦ κόσμου,
φώτισον τὰς ψυχὰς ἡμῶν.

ᾠδὴ δ΄. *Ἀκήκοεν ὁ προφήτης*

Παρασκευάσασα θείαν
ἡ καλλιμάρτυς τράπεζαν τὴν τῶν ἀγώνων
συγκαλεῖται τοὺς θεόφρονας·
δεῦτε πάντες,
πίστει ἐντρυφήσωμεν
τῶν ἄθλων αὐτῆς
καὶ τῆς τῶν θαυμάτων πηγῆς.

Ἀποσκοποῦσα πρὸς μόνα,
Παρασκευὴ πολύαθλε, τὰ τοῖς δικαίοις
ἀγαθὰ ἐναποκείμενα
πρὸς στρεβλώσεις

---

heirm. καθ. MR I, 233
heirm. δ΄ TR 66

καθ. 4 Cant. 2,10.13 45-47 Prov. 9,1-6

καὶ πρὸς αἰκισμοὺς καὶ πρὸς πῦρ
νεανικῶς
σαυτὴν παρεσκεύασας.

Ἰσχὺν τὴν ἄμαχον, μάρτυς,
ὡς κεκτημένη, ἔτρεψας τὸν ἀλαζόνα,
τῇ μαχαίρᾳ δὲ τοῦ πνεύματος
ἐν ἐκστάσει
πάσας κεφαλὰς δυναστῶν
τῶν πονηρῶν
πνευμάτων διέκοψας.

θεοτ. Νομοθεσίας με θείας
f. 109 καταφρονοῦντα, πάναγνε, || καὶ ἀσωτείᾳ
κακοφρόνως βιοτεύοντα
οἴκτειρόν με,
πάντων ἡ βοήθεια,
καὶ πρὸς ζωῆς
ὁδὸν καθοδήγησον.

ᾠδὴ ε′. *Ἀνάτειλόν μοι, κύριε,*
τὸ φῶς τῶν προσταγμάτων σου

« Οὐ θλίψεις, οὐδὲ μάστιγες
χωρίσαι με δυνήσονται
τῆς ἀνεκφράστου ἀγαπήσεως
Χριστοῦ τοῦ ἐραστοῦ μου,
οὔτε δόξα μάταιος,
οὐ βροτοί, οὐκ ἄγγελοι »,
ἀνεβόα ἡ σεμνή.

Ἰχῶρες τῶν τραυμάτων σου
ὡς λίθοι πολυτίμητοι
καὶ οἱ σταγόνες τῶν αἱμάτων σου
λαμπροὶ ὡς μαργαρῖται,

heirm. ε′ EE 106, n. 149, Andreae 82 οἱ σταγ. pro αἱ σταγ. 83 λαμπροὶ pro λαμπραὶ

61-65 Cfr. Ps. 151,7; Ephes. 6,17 67-68 Cfr. Luc. 15, 13

ἀθλοφόρε, γέγοναν,
ψυχικὴν εὐπρέπειαν
ἐμποιοῦντές σοι, σεμνή.

Σαρκὸς καταφρονήσασα
καὶ πόνους ὑπομείνασα
ὑπὲρ Χριστοῦ τοῦ ἀθλοθέτου σου,
σωμάτων μαλακίας
παρ᾽ αὐτοῦ κεκλήρωσαι
θεραπεύειν, πάνσεμνε,
καὶ ἰᾶσθαι τοὺς βροτούς.

θεοτ. Τοὺς νόας ὑπερβέβηκας,
τοὺς νόμους παραβέβηκα⟨ς⟩
τοὺς ἀνθρωπίνους, παναμώμητε,
ἡ τῶν κατερραγμένων
ἀρραγὴς ἀνόρθωσις,
δεξιάν μοι ἔκτεινον
καὶ ὁδήγησον πρὸς φῶς.

ᾠδὴ ϛ′. *Ζάλη με*
λογισμῶν καταλαβοῦσα

Ἤνθησας
ὥσπερ κρίνον ἐν κοιλάσιν,
πόνοις τῆς ἀσκήσεως
λαμπρυνομένη, παρθένε,
καὶ ὡς εὔοσμον ῥόδον εὐπρεπῶς
τῷ λύθρῳ τῶν αἱμάτων
φαιδρυνομένη, πανεύφημε.

Νόμιμον
τὸν ἀγῶνα ἐκτελοῦσα,

95 παραβέβηκα cd.
heirm. ϛ′ EE 107, n. 150, Andreae

101-102 Cant. 2,1 108-114 Cfr. II Tim. 4,7-8

τὴν πίστιν τετήρηκας,
ἀμόλυντον τὸν χιτῶνα
τῆς ἁγνείας φυλάξασα, σεμνή,
διό σε καὶ στεφάνοις
ὁ ἀθλοθέτης ἐκόσμησεν.

f. 109v || Πρώην μὲν
Ἰωνᾶς διετηρήθη
ἐν τῷ κήτει ἄφθορος·
σὺ δὲ ἐν μέσῳ καμίνου
ἀκατάφλεκτος ἔμεινας, φρικτῶς
Χριστοῦ τερατουργοῦντος,
Παρασκευὴ ἀξιύμνητε.

θεοτ. Ἅγιος
ὁ ναός σου, θεοτόκε,
καὶ πανυπερθαύμαστος,
ἐν πλήθει δικαιοσύνης
ἁγιάζων τοὺς πίστει ἐν αὐτῷ
καὶ πόθῳ προσκυνοῦντας
τὴν τῆς μορφῆς σου ἐμφέρειαν.

Κοντάκιον.

Ἦχος γ΄. *Ἡ παρθένος σήμερον*

Τοῖς τῶν ἄθλων στίγμασι
τὴν ἐκκλησίαν φαιδρύνεις,
....

⟨Οἱ οἶκοι⟩· *Τὴν Ἐδὲμ Βηθλεὲμ*

α΄) Ὡς τεκοῦσα τὸ φῶς,
φωτοχυῆτορ δέσποινα
....

κοντάκ. et οἶκ. ed. in GIB 249-250

116-117 Ion. 2,1-11

β΄) Διελθοῦσα τὸ πῦρ
τῶν ἡδονῶν, πανόλβιε,
f. 110 ....

γ΄) Ἡ ὡραία τρυγών,
ἡ ἀηδὼν ἡ εὔλαλος,
....

ᾠδὴ ζ΄. *Μὴ παραδώῃς ἡμᾶς εἰς τέλος*

Ῥήσεσι θείαις Χριστοῦ πεισθεῖσα,
Παρασκευὴ ὁσία,
ἐνώπιον ἀρχόντων
καὶ βασιλέων γῆς
θεὸν ὡμολόγεις καὶ βασιλέα
τὸν σταυρὸν καὶ θάνατον
δι' ἡμᾶς καθυπομείναντα,
διόπερ καὶ αὐτῷ συνεδοξάσθης.

Ἀγαλλιάσθω ἡ γῆ καὶ πάντα
τὰ ἐν αὐτῇ σκιρτάτω
καὶ πᾶσαι αἱ δυνάμεις
αἱ ὑπερκόσμιοι
σήμερον τῇ μνήμῃ τῆς ἀθλοφόρου
ἐπιχορευέτωσαν
καὶ βοάτωσαν « τρισάγιε »,
τὸν ὕμνον τῷ θεῷ τῷ ἐν τριάδι.

Συνανυψώθης Χριστοῦ τῇ δόξῃ,
Παρασκευὴ ἁγία,
ὡς ἐξομοιωθεῖσα
τούτῳ τοῖς πάθεσι
f. 110v || καὶ ὑπὸ ἁπάσης πνοῆς τιμᾶται
τὸ σεπτὸν μνημόσυνον

heirm. ζ΄ EE 106, n. 149, Andreae

τῆς ἐνδόξου σου ἀθλήσεως
καὶ ἄφεσιν πταισμάτων χορηγεῖται.

θεοτ.
Κυριοτόκε ἁγνὴ Μαρία,
κατακυριευθέντα
ὑπὸ τῆς συνηθείας
τῶν ἀκαθάρτων με
παθῶν καὶ παγίδων τοῦ ἀλλοτρίου
τῇ θερμῇ πρεσβείᾳ σου
ἐλευθέρωσον καὶ ποίησον
υἱόν με κατὰ χάριν τοῦ υἱοῦ σου.

ᾠδὴ η'. *Πάντα τὰ ἔργα τοῦ θεοῦ*

Ἔρωτι θείῳ τὴν ψυχὴν
πυρπολουμένη
ἡ ἀθλοφόρος ἔκραζε·
« νυμφίε
καὶ ποιμὴν τῶν πραέων προβάτων σου,
ποῦ κοιτάζεις δεῖξον ἐμοὶ τῇ σὲ ποθούσῃ ».

Ὑψόθεν ἐβόα ὁ σωτὴρ
τῇ ἐρωμένῃ·
« ὦ σεμνὴ καλλιπάρθενε,
ὡραία
περιστερὰ καὶ χρυσῆ τὰ μετάφρενα,
ἐν τοῖς οὐρανίοις με σκοποῦσα, δεῦρο πρός με ».

Ἡ μάρτυς, ἀκούσασα φωνῆς
τῆς τοῦ νυμφίου,
τοῦ πυρὸς κατετόλμησεν,

---

152 ἄφεσι cd.
heirm. η' EE 107, n. 150, et EE 109, n. 152, Andreae, sed cfr. etiam TR 412 et in hoc volumine p. 400

164-166 Cfr. Cant. 1,7   170-171 Cfr. Ps. 67,14; Cant. 2,10.13

νέφη δὲ
ὁ τιθεὶς τὴν ἐπίβασιν πέπομφεν
ἄνωθεν νεφέλην αὐτῇ ὀμβροτοκοῦσα.

θεοτ.
Νενεκρωμένην τὴν ψυχὴν
ταῖς ἁμαρτίαις
περιφέρων, κραυγάζω σοι,
παρθένε,
ἡ ζωὴν τῶν ἁπάντων κυήσασα,
δεῖξον εὐσπλαγχνίαν πολλήν, ἀνάστησόν με.

ᾠδὴ θ'. *Ὁ τόκος σου ἄφθορος ἐδείχθη,*
θεὸς ἐκ λαγόνων σου προῆλθε
σαρκοφόρος ὡς ὤφθη
ἐπὶ γῆς καὶ τοῖς ἀνθρώποις συναναστράφη,
σέ, θεοτόκε,
διὸ πάντες μεγαλύνομεν.

Στιγμάτων τοῖς κάλλεσιν ἀνθοῦσα,
αἱμάτων δὲ ῥεύμασι κομῶσα
καὶ φαιδρῶς γεγηθῶσα
τῇ χλανίδι τῆς ἁγνείας, παρθενομάρτυς,
f. 111 στέφος || ἐδέξω
κορυφῇ σου τὸ ἀμάραντον.

Τῷ ξίφει σφαγεῖσαν ὡς ἀμνάδα,
εἰς εὐπρεπεστάτην σε παστάδα,
ἐν χερσὶ τὴν λαμπάδα
τῆς ἀθλήσεως κρατοῦσαν, ὁ ζωοδότης
εὐφραινομένην,
ἀθλοφόρε, εἰσῳκίσατο.

---

heirm. θ' EE 102, n. 144, Cosmae

176-177 Ps. 103,3   189-190 Cfr. I Petr. ep. 5,4   192-196 Cfr. Matth. 25,1-13

Εὑροῦσα τοῦ πόθου σου τὸ τέλος
καὶ βλέπουσα ἄφθορον τὸ κάλλος
τοῦ νυμφίου σου, μάρτυς,
τῶν τελούντων σου τὴν μνήμην μνήσθητι πάντων,
νόσων ποικίλων
καὶ πταισμάτων ἀπαλλάττουσα.

τριαδ. Φωτὶ τρισηλίῳ αὐγασθέντες,
τριφώτῳ λαμπάδι τε λαμφθέντες
νοῦν καὶ λόγον καὶ πνεῦμα,
ὀρθοφρόνως μελῳδοῦντες ἀναβοῶμεν·
« δόξα πατρί τε
καὶ υἱῷ καὶ θείῳ πνεύματι ».

θεοτ. Ὡς πάντων ἀνθρώπων ἀνωτέρα
καὶ πάντων ἀγγέλων ὑπερτέρα
τοὺς θεοῦ σε μητέρα
εὐσεβῶς ὁμολογοῦντας ῥῦσαι κινδύνων
καὶ νοσημάτων,
θεοτόκε, καὶ κολάσεως.

---

199 τῷ νυμφίῳ σου cd.

IN SANCTAM MARTYREM PARASCEVEM

Vat. gr. 1193	= Vz,	ff. 131v-145
Vat. gr. 1573	= Wb,	ff. 121v-127v
Vallic. gr. E 55	= Ec,	ff. 124v-125v, 104 (bis)rv, 100 rv
Mess. gr. 140	= O,	ff. 73v-75v
Crypt. Δ.α. XXVII	= Cv,	ff. 83-85
Vat. gr. 2110	= Vc,	f. 22rv
Crypt. Δ.γ. XII	= Dk,	ff. 62v-64v

Canon secundum traditionem	Vat. gr. 1193	= Vz (*)
	Vat. gr. 1573	= Wb
	Vallic. gr. E 55	= Ec
	Mess. gr. 140	= O
	Crypt. Δ.α. XXVII	= Cv
	Vat. gr. 2110	= Vc

Ὁ κανών.
⟨Ἐν τῇ θ' ᾠδῇ⟩· Ἰωσήφ.

(*) De traditione canonis in cdd. cfr. commentarium p. 631 s.

tit. ἕτερος κανὼν τῆς ἁγίας et in margine sigla Ἰωσήφ refert Vz, qui alternatis odis tres canones refert: primum in Deiparam, inc. Πολλοῖς συνεχόμενος πειρασμοῖς, cfr. IHG III, 342; secundum quem hic edimus; tertium item in S. Parascevem, inc. Τῇ αἴγλῃ τοῦ παναγίου πνεύματος, ineditum   ἕτερος κανὼν τῆς ἁγίας ὁσιομάρτυρος παρασκευῆς Wb, qui in diem XXIV iulii memoriam martyris constituit una cum S. Christina, cui prior canon dicatur: etiam in hoc cd. canones alternatis odis traduntur   ἕτερος κανὼν τῆς ἁγίας, et in margine sigla Παρασκευῆς praebet Ec, ubi alternatis odis et in disiunctis foliis traduntur canon in S. Hermolaum, inc. Ὕμνοις τὴν φωτοφόρον, ed. MR VI, 226, et hic in S. Parascevem, uterque quinta et sexta ode mutilus   ὁ κανὼν ποίημα Ἰωσήφ O   initium canonis usque ad v. 58 deest in Cv tantum κανὼν Vc, ubi initium canonis usque ad v. 53 invenimus   praeter Vz et O nomen auctoris om. ceteri cdd.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

Ἐσκοτισμένην ἡδοναῖς καρδίαν μου
κάθαρον, δέομαι,
θεοῦ πατρὸς λόγε,
καὶ σοφίαν ἔμπνευσον
τὴν σήν, ὅπως ὑμνήσαιμι
παρθενόαθλον κόρην
Παρασκευήν, πολυέλεε,
σὲ τὴν ὁλικῶς ἀγαπήσασαν.

Ὁσιομάρτυς τοῦ Χριστοῦ πανεύφημε,
Παρασκευὴ εὐκλεής,
μὴ διαλείπῃς πόθῳ
τοῦ πρεσβεύειν πάντοτε
ὑπὲρ τῶν ἀνυμνούντων σε
τοῦ ῥυσθῆναι κινδύνων
καὶ θλίψεων ταῖς πρεσβείαις σου,
ὅπως ἐπαξίως γεραίρω σε.

---

heirm. α' EE 219, n. 314, Joannis 1 Ἐσκοτισμένον ἡδοναῖς τοῦ σώματος Vz Ἐσκοτισμένη Dk 2 κάθαρον] φώτισον Vc 3 λόγος Vz Wb 4 καὶ σοφίας ἔμπλησον Vz 4-8 καὶ σοφίας ἔνθεος / ταύτην ὅπως ὑμνῆσαι γὰρ / παρθενόαθλον κόρην / παρασκευήν τε τὴν μάρτυρα / λόγε τοῦ θεοῦ ὑπεράγαθε Wb 5 ὑμνῆσαι μοι Vz 5-8 τὴν σὴν ὅπως ὑμνήσειεν / παρθενόαθλον κόρην / παρασκευὴν τὴν ἀοίδιμον / ὅπως ἐπαξίως ὑμνήσω σε Ec O, τὴν σὴν ὅπως ἐπάξιον / προσκομίσω τὸν ὕμνον / παρασκευῇ τῇ σῇ μάρτυρι / καὶ ταύτην ἀξίως ὑμνήσωμαι Vc, τὴν σὴν ὅπως ὑμνήσιεν / παρθενόαθλον κόρην / παρασκευεῖν ἱκετεύω σε / ὅπως ἐν ενέσει ὑμνήσω σε Dk 8 ὁλοικω Vz 9-16 troparium om. Ec O 9 πανεύφημε] πανένδοξε Wb, πανόλβιε Vc 11 διὰ λίπης Wb, πόθῳ] ὅπως Vz, σεμνὴ Wb, qui extra metrum add. σὲ δυσωποῦμεν 13-16 ὑπὲρ τῶν ἀνυμνούντων σου / τὴν πανένδοξον μνήμην / τοῦ λυτρωθῆναι κολάσεως / πάντας τοὺς πιστῶς σε γεραίροντας Vc 15-16 καὶ πάσης ἄλλης κακώσεως / καὶ πυρατηρίων τοῦ ὄφεως Vz 16 γεραίρω σε] ὑμνήσουμεν σε Dk

Σὺ τὰς τοῦ κόσμου ἡδονὰς ἐξέφυγες,
f. 132 ὁσιο||μάρτυς σεμνή,
καὶ τὸν σταυρὸν ἐπ' ὤμων
τοῦ κυρίου ἄρασα,
αὐτῷ ἐπηκολούθησας,
παρθενίαν ἀσκοῦσα,
Παρασκευὴ ἀξιάγαστε,
καὶ ἀληθεστάτην ταπείνωσιν.

θεοτ. * Δεδοξασμένα περὶ σοῦ λελάληνται
ἐν γενεαῖς γενεῶν,
ἡ τὸν θεὸν λόγον
ἐν γαστρὶ χωρήσασα,
ἁγνὴ δὲ διαμείνασα,
θεοτόκε Μαρία,
διό σε πάντες γεραίρομεν
τὴν μετὰ θεὸν προστασίαν ἡμῶν.

---

18 ὁσιομάρτυς χριστοῦ Wb, παρθενομάρτυς σεμνὴ Vc ἐπ' ὤμων] ὅμοις O 20 τοῦ χριστοῦ ἀράμενη Wb 21 κατηκολούθησας Vc 22 παρθενίας ἄκουσα Vz, ἐγκρατείας ἀσκήσει Wb, ἐγκρατήαν ἀσκοῦσα Dk 23 Παρασκευὴ ἀξιάγαστε] ἀγάπην τε καὶ πραότητα Ec O 24 ἀληθεστάτης Vz post v. 24 add. Ec O troparium, quod cfr. etiam in traditione Dk (2), vv. 25-32, p. 500:

Βεβυθισμένος ἁμαρτίαις πάντοθεν
ὁ ἀσυνείδητος
καὶ πειρασμῶν (πειρασμῷ O) σάλῳ
τὴν ψυχὴν κλονούμενος,
Παρασκευῆς τῆς μάρτυρος
ἱκεσίαις μοι δίδου
μετάνοιαν ὡς φιλάνθρωπος,
μόνε πολυέλεε κύριε.

25-32 θεοτ. ed. in MR I, 27 et alibi: cfr. IHG I, 273 pro hoc θεοτ. substituit Wb: Σωματωθέντα δι' ἡμᾶς, πανάμωμε, ed. in MR VI, 298, ineditum autem videtur θεοτ. in Ec O:

Ὁ πρὸ αἰώνων γεννηθείς, προάναρχε
λόγε θεοῦ, ἐκ πατρὸς
καὶ ἐπ' ἐσχάτων αὖθις
ἐκ μητρὸς σαρκούμενος
ἁγνῆς, ἧς ταῖς ἐντεύξεσιν
αἰωνίων βασάνων
καὶ τῶν μελλόντων κολάσεων
λύτρωσαι ἡμᾶς, ὡς φιλάνθρωπος.

25 λελάληται Vc Dk 28 χωρέσασα Vc 31 γεραίρομεν] δοξάζομεν Dk 32 προστασία Vz

f. 132v ‖ ᾠδὴ γ΄. *Ὁ στερεώσας κατ᾽ ἀρχὰς*

f. 133 ‖ Δεῦτε συνέλθωμεν, πιστοί,
ἐν τῷ τεμένει αἰσίως,
φιλομάρτυρες, ἐν πίστει καὶ πόθῳ·
καὶ γὰρ βρύει ἀληθῶς
ἰάματα παράδοξα
Παρασκευῆς ἡ θήκη,
παθῶν ἡμᾶς ἀπαλλάττουσα.

Σὺ ἀπὸ βρέφους, ὦ σεμνή,
ἠρνήσω κόσμον καὶ πάντα,
καὶ Χριστῷ ἀκολουθήσασα πίστει,
τοῦ ἀλάστορος ἐχθροῦ
καθεῖλες τὰ φρυάγματα,
Παρασκευὴ ὁσία,
ὅθεν σαφῶς σε κατέστεψεν.

Σὺ τὰ κρυπτά μου τῆς ψυχῆς
ἐπίστασαι, πανοικτῖρμον,
σοὶ προστρέχω ἐν θερμῇ μετανοίᾳ·
ἱκεσίαις, ὁ θεός,
Παρασκευῆς τῆς μάρτυρος
πρὸ τελευτῆς μοι δίδου
εὐαρεστεῖν σοι, φιλάνθρωπε.

---

heirm. γ΄ EE 219, n. 314, Joannis 33 συνελθῶμεν Wb 34 ἐν ..... αἰσίως] ὁσίας ἐν τω τεμένει Vz αἰσίως] ὁσίας Wb 35 ἐν πόθω καὶ πίστει Vc, ἐν φόβω καὶ πίστει Dk 36 ἀληθῶς] ποταμοὺς Wb 37 παράδοξα] πανάγαστα O Vc, πανάγαθ ... Dk, ubi supra lineam emendatur in πανένδοξα 39 ἡμᾶς παθῶν Wb 41 ἀρνήσω πάντα τὸν κόσμον Vz, ἠρνήσω κόσμου εἰδέα Wb 42 χριστὸν Vz, αὐτῶ Dk πίστει om. Vz 45-46 παρθενομα⟨ρτυ⟩ς κόρη/ὅθεν ἐν πίστει ὑμνοῦμεν σε O 45 ὁσία] ἁγία Wb 46 σαφῶς σε] σε δόξη Vc σε] καὶ Wb σε κατέστεψεν] σὲ κατέστρεψεν Vz, ἐκατέστεψεν Dk 47 κρυτὰ Vz 48 πανοικτῖρμον] θεοῦ λόγε Wb Dk 49 σοὶ προσπίπτω Wb μετανοίας Vz 52 πρὸ τελευτῆς μοι δίδου] κατάνοιξίν μοι δίδου Ec, πυρὸς τοῦ αἰωνίου O Vc μοι] μου Wb 53 εὐαρεστεῖν σοι, φιλάνθρωπε] ἐβαρεστήσεσι δέσποινα Vz, ῥύσαι καὶ σῶσον με κύριε O, ῥύσαι με μόνε φιλάνθρωπε Vc, ubi reliqua pars canonis deest

θεοτ. * Τῶν χερουβὶμ καὶ σεραφὶμ
ἐδείχθης ὑψηλοτέρα,
θεοτόκε· σὺ γὰρ μόνη ἐδέξω
τὸν ἀχώρητον θεὸν
ἐν σῇ γαστρί, ἀμόλυντε,
διὸ πιστοί σε πάντες
ὕμνοις, ἁγνή, μακαρίζομεν.

f. 133v Κάθισμα.

Ἦχος α΄. *Τὸν τάφον σου, σωτήρ,*

Τὰ θαύματα, σεμνή,
εὐφημοῦμέν σου πάντες·
τυράννων γὰρ σαφῶς
τὸν ὑψαύχενα τῦφον
εἰς γῆν καταβέβληκας
καὶ εἰς τέλος ἠφάνισας,

54-60 θεοτ. ed. in MR III, 281 et alibi: cfr. IHG IV, 359, pro hoc substituit Wb θεοτ., inc. Πύλη ἐδείχθης νοητή, ed. in MR VI, 298 et alibi: cfr. IHG III, 379 vv. 56-60 post σὺ γὰρ μόνη orationem detruncat Dk 56 ἐδέξω] ἐδείχθης Ec 58 ex verbis <γα>στρὶ ἀμόλυντε invenimus in Cv canonem initio mutilum ἀμόλυντε] χωρήσασα Ec 59-60 ... ὕμνοις / πάντες ... O

κάθ. et θεοτ. in Vz relata, om. OCv Dk, pro his alia substituunt Wb Ec: cfr. infra

heirm. καθ. PeR 59 2 ἐφημοῦμεν σε Vz 6 εἰς τέρος ἐφάνισας Vz post κάθ. add. Vz δόξα τὸ αὐτὸ καὶ νῦν θεοτ. ed. in MR II, 444 et alibi: cfr. IHG IV, 224

κάθ. in Wb simile videtur illi ed. in MR I, 240, S. Theclae dicato:

Κάθισμα.

Ἦχος πλ. δ΄. *Τὴν σοφίαν τοῦ λόγου ἐν σῇ γαστρὶ* (MR I, 68)

Εἰς ἀνδρεῖον τὸ θῆλυ δι᾽ ἀρετῶν
μεταγαγοῦσα τῷ πόθῳ τῷ εἰς Χριστόν,
θεοῦ οἰκητήριον
ἀμφοτέρωθεν γέγονας·
τῶν γὰρ παθῶν τὸν γνόφον
ἀσκήσει ἐμάρανας,
μαρτυρικῶς δεχθεῖσα

ὅθεν, πάνσοφε,
καὶ τὴν ἁγίαν μορφήν σου
ἀσπαζόμεθα
καὶ σχετικῶς προσκυνοῦμεν
ὡς στήλην τῆς πίστεως.

Θεοτ. ὅμοιον.

Τῶν πάντων ποιητὴν
καὶ υἱόν σου καὶ κτίστην,
. . . .

ἀθλήσεως καύχημα,
ὅθεν, ἀθλοφόρε,
κἂν τῷ σώματι θνήσκεις,
τῷ πνεύματι ἔζησας
καὶ κυρίῳ παρίστασαι·
διὰ τοῦτο δεόμεθα
[Παρασκευὴ ἀξιάγαστε] (extra metrum)
« πρέσβευε Χριστῷ τῷ θεῷ
τῶν πταισμάτων <ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
τὴν ἁγίαν μνήμην σου> ».

post κάθ. add. Wb θεοτ. ὅμοιον, inc. Χαῖρε, θρόνε πυρίμορφε τοῦ θεοῦ, ed. in MR II, 332 et alibi (cfr. IHG V.1., 55) et σταυροθεοτ. ὅμοιον, inc. Ἐν τῷ ξύλῳ ὁρῶσα τῷ σταυρικῷ, ed. in MR I, 406 et alibi (cfr. IHG I, 473)

post odem γ′ tradit Ec κάθ. in S. Hermolaum, inc. Σκεῦος ἔντιμον τῆς ἐγκρατείας et ἄλλο in S. Parascevem, quod retractatum videtur ex κονταχ. in S. Agatham, ed. in HC 416 et PAS I, 643:

Κάθισμα.

Ἦχος δ′. *Ἐπεφάνης σήμερον* (HR 169)

Τὴν ἁγνείαν αἵμασι
τοῦ μαρτυρίου
θεοφρόνως ἔστεψας,
Παρασκευὴ θαυματουργέ,
καὶ σὺν ἀγγέλοις ἀγάλλεσαι,
ὅθεν παρέχεις
νοσοῦσιν ἰάματα.

f. 134 ‖ ᾠδὴ δ′. *Σύ μου ἰσχύς,*

Χαίροις, σεμνὴ
Παρασκευὴ ἀξιάγαστε,
χαίροις ὄντως,
μάρτυς πανναοίδιμε,
ὅτι ὑπήνεγκας ἀνδρικῶς
σχήματι γυναίου
τῶν παρανόμων τὰ ἔνεδρα,
αἰκίας καὶ στρεβλώσεις,
τῷ Χριστῷ μελῳδοῦσα·
« τῇ δυνάμει σου δόξα, φιλάνθρωπε ».

Τίς ἐξειπεῖν
δύναται ὄντως τοὺς πόνους σου,
οὓς ἐδείξω
καὶ πρὸ τῆς ἀθλήσεως,
Παρασκευή, τὴν ὑπομονὴν
καὶ τὴν ἐγκράτειαν,
ἣν ἐνεδείξω ὡς ἄσαρκος;
ἐντεῦθεν καὶ καθεῖλες
τοῦ τυράννου τὸ θράσος
τῇ δυνάμει Χριστοῦ τοῦ θεοῦ ἡμῶν.

Ἆρόν σου νῦν
τοὺς ὀφθαλμούς, ἀξιάγαστε,
θεωροῦσα
τὰ τέκνα σου σήμερον,

---

heirm. δ′ EE 219, n. 314, Joannis   heirm. 1 ἰσχύς] Χριστὲ EE Ec O Cv Dk   61 Χαίρους Vz, Χαῖρε Wb Dk   65 ὅτι δεινὰ φέρουσα στερρῶς Ec   66 γυναίῳ Wb   67 τὰ ἔνεδρα] τὰς μάστιγας Wb   68 αἰκίαις Vz Dk, αἰκήσεις Wb, αἰκίσεις O   αἰκ. καὶ στρεβλ.] ἐνίκησας καὶ στρέβλας Ec   70 v. abrumpunt Wb Ec Cv   71-80 troparium om. Cv   71-73 Τίς ἐξειπεῖν σου καταξίαν δυνήσεται / ἣν εδείξω Vz   72 ὄντως] μάρτυς Wb   73 ἐδέξω Wb   77 ἣν ἐνεδείξω] ἥνπερ ἀνέπλης Vz, ἥνπερ ἐδέξω Wb   78 καὶ] γὰρ Wb   79-80 τοῦ usque ad ἡμῶν] τὸν ἀλάστορα ὄφιν / τὸν πτερνίσαντα εὔαν τὸ πρότερον Vz Wb   82 ἀξιάγαστε] καλλιπάρθενε Cv   83 θεωροῦσα] καὶ κατάθροι Vz, καὶ κατεῖδε Wb, καὶ κατίδε O, καὶ θεάσαι Cv Dk   84 σήμερον τὰ τέκνα σου Vz

σεσυνηγμένα ἐν τῇ σορῷ
τῶν σῶν παναγίων
λειψάνων τοῦ ἀνυμνῆσαί σε,
καὶ πρέσβευε ἀπαύστως
f. 134v || τῷ σωτῆρι τῶν ὅλων
τοῦ ῥυσθῆναι κινδύνων τοὺς δούλους σου.

θεοτ. Μόνη θεὸν
τέτοκας, παρθενομῆτορ ἁγνή,
μόνη ὤφθης
πάντων ὑπερέχουσα
τῶν ποιημάτων θεοπρεπῶς·
διὸ τὰ ὑλώδη
ψυχῆς μου πάθη κατάφλεξον
καὶ δεῖξον καρποφόρον
ἀρεταῖς, παναγία,
ἵνα πίστει καὶ πόθῳ δοξάζω σε.

f. 135 || ᾠδὴ ε'. *Ἵνα τί με ἀπώσω*

Ἐπὶ βήματος ἔστης,
μάρτυς παναοίδιμε, Χριστὸν κηρύττουσα

85 σεσυνηγμένα O: cfr. PSALTES, 208] συνημένα Vz, τὰ συνηγμένα Wb, συναθροισμένα Ec, σεσηνηγμένα Cv Dk 86 τῶν σῶν] τῇ τῶν Vz, σοῦ τῶν Wb Dk 87 τοῦ] σοῦ Vz 89-90 τῷ σωτῆρι ..... δούλους σου] ὅπως εὕρωμεν χάριν / ἐν ἐκείνῃ τῇ ὥρα τῆς κρίσεως Wb 90 τοὺς δούλους σου] καὶ θλίψεων Ec σου om. Cv 91-100 pro hoc aliud θεοτ. refert Wb, inc. Νέος Ἀδὰμ διὰ τὸν πρῶτον σὺ γέγονας, ed. MR VI, 299 94 ὑπεραίρουσα O 95 θεοπρεπῶς] ὑπερφυῶς Vz 100 πόθω καὶ πίστ<ει> Dk

odas ε' et ς' om. Ec

heirm. ε' EE 219, n. 314, Joannis 101-108 troparium unus Vz tradit, pro hoc aliud, quod similiter inc., in O invenimus:

Ἐπὶ βήματος ἔστης,
μάρτυς παναοίδιμε, τῶν παρανόμων ἐχθρῶν,
καὶ ψυχῆς τὸ ὄμμα
τῷ θεῷ τῶν ἁπάντων διάρασα,
αὐτῷ ἀνεβόας·
« σύ μου γενοῦ
σωτὴρ καὶ ῥύστης,
ποιητά μου, καὶ σῶσόν με, δέομαι ».

θαρσαλέῳ γνώμῃ
καὶ τυράννων τὰς φρένας ἐξέστησας,
διὸ μετὰ ἀγγέλων
ἐν οὐρανοῖς
στεφανηφόρος
τῷ δεσπότῃ τῶν ὅλων παρίστασαι.

Ἐκταθῆναι κελεύει,
μάρτυς, σὲ ὁ τύραννος ἐν τῷ θεάτρῳ δεινῶς
καὶ βουνεύροις ὄντως
σὲ αἰκίζεσθαι τάττει ὁ ἄνομος·
f. 135v || σὺ δέ, καλλιμάρτυς
Παρασκευή,
οὐδ' ὅλως ὄντως
ἐξηρνήσω Χριστὸν τὸν νυμφίον σου.

Μετὰ πεῖραν τῆς πρώτης,
μάρτυς, ἡττηθεὶς ὁ πανώλης καὶ βάσκανος,
ἐγκατάκλειστόν σε
ἐν φρουρᾷ διατάττει, πανόλβιε,
σὺ δέ, καλλιμάρτυς
Παρασκευή,
ἐγκαρτεροῦσα,
τῷ Χριστῷ καὶ θεῷ εὐηρέστησας.

103 γνώμῃ scripsi: ἀγνώμων (?) Vz 106 ἐν οὐρανοὶ Vz 109-116 troparium om. O 109 Ἐκτανθῆναι cdd. 110 μάρτυς ὁ παράνομος ἐν τῶ θεάτρω σε Vz τύραννος] ἄνομος Wb 111 καὶ βουν. ὄντ.] καὶ ὠμοῖς βουνεύροις Vz 112 σὲ ..... ἄνομος] καταικίζειν προστάτει ὁ δείλαιος Vz, κατατύπτεσθαι τάττει ὁ δήλαιος Wb 115-116 οὐδ' ὅλως ..... σου] τρανῶς ἐβόας / οὐκ ἀρνούμε χριστῶ τῶ νυμφίω μου Wb 117 τὴν πρώτην Vz 120 ἐν] τῇ Vz 121 καλλιμ.] καὶ ἡ μάρτυς O 121-124 σὺ usque ad εὐηρέστησας] σὺ εἰδῶς ὦ μάρτυς / παρασκευῆ χριστῶ ἐβόας / οὐκ ἀρνοῦμε χριστῶ τῶ νυμφίω μου Wb 123 τοῦτον νικῶσα O Cv

post v. 124 hoc aliud troparium add. Wb O Cv:

Ὦ ψυχὴ παναθλία,
τί ἐν ἀμελείᾳ καὶ ὄκνῳ κατάκεισαι;
δεῦρο μετανοίᾳ
καὶ δεήσει Χριστὸν ἐξιλέωσαι,
ὅπως ταῖς πρεσβείαις
Παρασκευῆς
τῆς ἀθληφόρου
ἐκ πυρός σε γεέννης λυτρώσηται (ἐκ πυρὸς τοῦ ἀσβέστου σε ῥύσεται O).

θεοτ. Ἀπειράνδρως, παρθένε,
λόγον τὸν ἀΐδιον σὺ ἀπεκύησας
ἐν δυσὶν οὐσίαις
καὶ θελήσεσι τοῦτον ἀσύγχυτον,
ὃν ἀεὶ δυσώπει
ὑπὲρ λαοῦ
ἡμαρτηκότος
τῆς μελλούσης ῥυσθῆναι κολάσεως.

f. 136 ᾠδὴ ς′. *Τὴν δέησιν ἐκχεῶ πρὸς κύριον*

f. 136v ‖ Διήνυσας ἀνδρικῶς σου τὸν δρόμον,
ἐν Χριστῷ δυναμουμένη, ὦ μάρτυς,
καὶ τοῦ ἐχθροῦ
κατεπάτησας ὄντως
τὸ πολυμήχανον θράσος τὸ ἄνομον,
ἀοίδιμε Παρασκευή,
τῶν πιστῶν ἡ ἐλπὶς καὶ βοήθεια.

Τὰς στρέβλας καὶ τὰς πεινὰς τῶν τυράννων
καρτερῶς ἐνεγκαμένη, θεόφρον
Παρασκευή,
ἐκομίσω ἀξίως
τὸν ἀφθαρτόπλοκον στέφανον, ἔνδοξε·
διὸ μὴ παύσῃ πρὸς θεὸν
τοῦ πρεσβεύειν σωθῆναι τοὺς δούλους σου.

125-132 pro hoc θεοτ. substituit Wb: Οἱ σὲ τεῖχος πλουτοῦντες, ed. in MR III, 270 et alibi: cfr. IHG III, 62   126 σὺ ἐσωμάτησας Cv   127-128 ἐν ..... ἀσύγχυτον] ἐν δυσὶ τελείαις / ὄντα φύσεσι τοῦτον γινώσκωμεν O Cv

heirm. ς′ EE 219, n. 314, Joannis   133-139 troparium om. O   133 Δυνήσας Vz, Διήνυξας Wb, Διήνοισας Cv   σου τὸν δρόμον] τὸν ἀγῶνα Vz   134 ὦ] ὡς Wb   137 τὸ ἄνομον] καὶ ἄθεον Vz   138-139 ἀοίδιμε ... βοήθεια] ἀοίδημε μάρτυς χριστοῦ / κραταιὸν τῶν πιστῶν καταφύγιον Wb, διὸ καὶ ἐν τοῖς οὐρανοῖς / τῷ δεσπότῃ θυσία πρόσήνεξαι Cv   140-146 troparium om. Cv   140 τὰς (2. l.) om. Vz   141 καρτερικῶς Wb   ἐγκαμένη ὄφρον Vz   143 ἀξίως] γενναίως Wb O   145-146 ... πρεσβεύειν / πρὸς θεὸν... Vz   146 τοῦ ... σου] τοὺς πιστῶς ἐκτελοῦντας τὴν μνήμην σου Wb

---

132 Cfr. Matth. 25,46

Πανάσπιλε ἀθλοφόρε κυρίου,
νῦν σου ἆρον ὀφθαλμοὺς καὶ κατάθρει
ἐν τῇ σορῷ
τῶν σεπτῶν σου λειψάνων
συνηθροισμένα τὰ τέκνα σου σήμερον
καὶ πρέσβευε ὑπὲρ ἡμῶν
τῷ σωτῆρι τῶν ὅλων σωθῆναι ἡμᾶς.

θεοτ. Συνέλαβες ἐν γαστρί σου ἀσπόρως
τὸν ἐν κόλποις τοῦ πατρὸς ἀχωρίστως
καὶ ἐν ταῖς σαῖς
χωρητὸν νῦν ἀγκάλαις
ἀπεριγράπτως, παρθένε, ἐβάστασας
ὃν αἴτησαι ὑπὲρ λαοῦ
ἐπταικότος ῥυσθῆναι κολάσεως.

147-153 pro hoc tropario substituit Wb aliud eductum ex canone in SS. Cirycum et Iulittam, ed. in MR VI, 131:

Ἠλόγησας πολυπλόκων βασάνων
καὶ τρυγὼν ὡραιοτάτη ἐδείχθης,
Παρασκευή, (σὺν νεοττῷ MR)
ἀναπτᾶσα καὶ πάντων
ὑπεραρθεῖσα παγίδων τοῦ ὄφεως,
πανεύφημε, καὶ εἰς μονὰς
οὐρανίους πανσόφως κατέπαυσας.

148 κατάθρει] θέασαι O, θεάσαι Cv   151 ἐνσυνηγμένα O, σεσυνηγμένα Cv   τὰ om. Vz   153 post ὅλων add. Vz θεῷ   post v. 153 add. O troparium:

Ἀθάνατε, ἡ ζωὴ τῶν ἁπάντων,
σοὶ κραυγάζω ἐν θερμῇ μετανοίᾳ,
Παρασκευῆς
τῆς σεπτῆς ἱκεσίαις
ἐκ τοῦ πυρὸς τοῦ ἀσβέστου με λύτρωσαι,
μετάνοιάν με χορηγῶν
πρὸ τοῦ τέλους, Χριστὲ ὁ θεὸς ἡμῶν.

154-160 pro hoc tradit Wb θεοτ., inc. Προρρίζους τῷ τμητικῷ σου δρεπάνῳ, ed. in MR VI, 131 (ex eodem canone quam troparium supra relatum) et alibi: cfr. IHG III, 357   155 τὸν] καὶ Vz   157 χωρητὸν νῦν] παναγία O, μητρικές σου Cv

f. 137 || Κοντάκιον.

Ἦχος γ΄. *Ἡ παρθένος σήμερον*

Τῆς ὁσίας ἔλαμψεν
ἡ πανᾳοίδιμος μνήμη,
συγκαλοῦσα ἅπαντας
μετ᾽ εὐφροσύνης ἐνθέου
ᾄσμασιν
ἀκαταπαύστως ἀνευφημῆσαι
χαίροντες
τοὺς [ἱεροὺς] αὐτῆς ἄθλους
καὶ ἐκβοῆσαι·
« διὰ τοῦτο ἠξιώθης
στεφάνων θείων,
Παρασκευή, τοῦ Χριστοῦ ».

Ὁ οἶκος. <*Τὴν Ἐδὲμ Βηθλεὲμ*>

Τρικυμίαις πολλαῖς
δεινῶς με κινδυνεύοντα
ταῖς τοῦ βίου, σωτήρ,
αὐτὸς μόνος ἀνάστησον,
ἀνάστασις πέλων
πάντων ⟨τῶν⟩ ἀνθρώπων,
f. 137ᵛ || καὶ δός μοι λόγον,
ὡς ὑπεράγαθος,
τρανοῦντα τὴν γλῶττάν μου
εἰς τὸ ἰσχῦσαι λέγειν ἐπάξια

κοντάκ. et οἶκ. desunt in Cv Ec O

heirm. κονταχ. HR 164, MR II, 666 2 μνήμη σου Wb 6 ἀκαταπαύστοις ἀνευφημεῖν σε Wb 8 ἱερούς, ἱερεῖς Wb, extra metrum ἄθλους] πόνους Wb v. 9 om. Wb 10 ἠξιώθη Wb 12 Παρ. τοῦ Χρ.] παρὰ τοῦ πάντων θεοῦ Wb

heirm. οἴκ. MR II, 667 2 κινδυνεύβουσας Vz, κινδυνέβοντας Wb 3 ταῖς] τῆς Wb vv. 5-6 om. Vz 6 τῶν om. Wb 9-17 τρανοῦντα ..... πάντων θεοῦ] ἰσχύσω λόγοις νῦν ἐπαξίως / παρασκευῆν τὴν σὴν ὑμνῆσαι παρθενομάρτυς τοῦ χριστοῦ / καὶ στεφανηφόρε ἀληθῶς / τῶν παρθένων γὰρ κλέος εδείχθης / καὶ μοναζόντων δόξα / καὶ ἀθληφόρος θεία στεφάνον / θείον παρασκεβῆ τοῦ χριστοῦ Vz

σοὶ τῷ ποιητῇ πάντα εὐάρμοστα,
Παρασκευήν τε τὴν σὴν ὑμνήσω
ὁσιομάρτυρα, Χριστέ,
τὴν στεφηφόρον ἀληθῶς,
τῶν παρθένων τὸ κλέος·
διὰ τοῦτο ἠξιώθη
στεφάνων θείων
παρὰ τοῦ πάντων θεοῦ.

f. 142 || ᾠδὴ ζ΄. *Θεοῦ συγκατάβασιν*

Ἀνδρείως ὑπήνεγκας
τῶν παρανόμων
τὰ κολαφίσματα,
ἀθλοφόρε κυρίου,
μαρτύρων κλέος,
Παρασκευὴ εὐκλεής,
ἀναβοῶσα
Χριστῷ τῷ νυμφίῳ σου·
« εὐλογητὸς ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ἐν μέσῳ ἀνέκραζες
τῶν παρανόμων,
ὦ καλλιμάρτυς σεμνή·
« τίς δυνήσεται ὅλως
ἐμὲ χωρίσαι
ἐκ τῆς ἀγάπης Χριστοῦ;
οὐ πῦρ, οὐ ξίφος,
οὐ τροχοί, οὐ μάχαιρα,

---

15 post κλέος add. Wb extra metrum: καὶ μοναζόντων τὴν θείαν δόξαν ex ode ζ΄ usque ad finem canonem invenimus in Ec

heirm ζ΄ EE 219, n. 314, Joannis 164 ἀθληφόρε Wb 165 κλέος] δόξα Vz 166 εὐκλεὴς] εὐκεῆς Vz, παγκαλῆς Wb, ἐκλεκτὴ Ec O 168 v. om. Vz 169-170 post εὐλογητὸς cetera om. Wb Ec v. 170 om. Vz O Cv 173 ὠ μάρτυς ἔνδοξε Vz, ὦ καλλημάρτυς χριστοῦ Wb, ὦ καλλιπάρθενε Cv 174 τίς] οὐ Wb ὅλης Vz 174-176 τίς δυνήσει χωρίσαι ἐκ τῆς ἀγάπης με τοῦ νυμφίου χριστοῦ Ec O 176 τῆς τοῦ θεοῦ ἀγάπης Cv 178 οὐ (I l.) om. Wb οὐ τροχοὶ] οὐ θῆρες Vz

οὐκ ἄλλη βάσανος
χωρίσαι δύναται ».

Μὴ παύσῃ πρεσβεύουσα
ὑπὲρ λαοῦ σου,
μάρτυς πανάριστε,
τοῦ ῥυσθῆναι κινδύνων
καὶ ὀφλημάτων
λαβεῖν συγχώρησιν,
ἀναβοῶσα
Χριστῷ τῷ ⟨σὲ⟩ στέψαντι·
« εὐλογητὸς ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

θεοτ. Ἀρρήτως ἐκύησας
τὸν πρὸ αἰώνων

179-180 οὐκ ἄλλη βάσανος δεινῆς / ουδε πληρῶν αἱ φοραὶ Vz 180 χωρ. δύν.] οὔτε θηρίων ὁρμαὶ Ec O 181-190 troparium, quod unus Vz refert, om. Cv, aliud substituunt Wb Ec O:

Ἰδὼν ὁ παράνομος (Εἰδὼς ὁ παγκάκιστος Wb)
τὸ τῆς ψυχῆς σου
ἀνδρεῖον φρόνημα,
σοῦ τὴν κάραν κελεύει
ἀποτμηθῆναι,
σὺ δὲ ἐκραύγαζες·
« τιμώρει, σφάττε·
ἐμὲ γὰρ οὐδέποτε
θύειν εἰδώλοις γλυπτοῖς
πείσεις (πείσης Wb πείση Ec O), παράνομε ».

188 syllaba v. caret 191-200 pro hoc alia θεοτ. substituunt Wb Ec O Cv: θεοτ. in Wb, inc. Μαρίαν τὴν ἄχραντον, ed. MR III, 271; θεοτ. in Ec O Cv (in Ec nonnullis verbis carens propter folium recisum) ineditum videtur:

Νῦν ἴδε τὴν θλῖψίν μου,
παρθενομήτωρ,
ἥνπερ (ἥν μοι O) ἐπήγαγε
τῶν κακῶν μου τὸ πλῆθος,
καὶ τῆς φλογός με (καὶ τῆς γεέννης Cv),
κόρη, ἐξάρπασον (παρθένε, ῥῦσαί με, Cv)
Χριστῷ ἀπαύστως
τῷ υἱῷ σου κράζοντα (ψάλλοντι Cv)·
« εὐλογητὸς ὁ θεός,
ὁ τῶν πατέρων ἡμῶν ».

υἱὸν καὶ λόγον θεοῦ
ἐπ' ἐσχάτων τῶν χρόνων
ἐπισκιάσει
τοῦ θείου πνεύματος,
ὃν ἐκδυσώπει
ὑπὲρ τῶν κυρίως σε
ὁμολογούντων ἀεὶ
θεογεννήτριαν.

f. 143 ‖ ᾠδὴ η'. *Ἑπταπλασίως κάμινον*

Ἡ παναγία θήκη σου
ἀναβλύζει ἰάματα
τοῖς προσερχομένοις ἐν αὐτῇ ἐκ πίστεως,
ῥωννύουσα ἅπαντας
τοὺς εὐσεβῶς πελάζοντας
καὶ ἐν κατανύξει τῷ Χριστῷ μελῳδοῦντας·
« οἱ παῖδες, εὐλογεῖτε,
ἱερεῖς, ἀνυμνεῖτε,
λαός, ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Μὴ διαλείπῃς πάντοτε
τοῦ πρεσβεύειν πρὸς κύριον
ὑπὲρ τοῦ λαοῦ, Παρασκευὴ πανόλβιε,
ῥυσθῆναι τοὺς δούλους σου
ἐκ πειρασμῶν καὶ θλίψεων,
ἐξ ἐπιδρομῆς τε ἀλλοφύλων βαρβάρων,
Χριστῷ τῷ σῷ νυμφίῳ
ἀνενδότως βοῶντας·

---

heirm. η' EE 219, n. 314, Joannis 203 ἐν αὐτῇ] ἐν τῇ Vz, πρὸς αὐτὴν Wb 204-205 ῥωννύουσα... πελάζοντας] φωτίζουσα ἅπαντα τῶν πιστῶν συστήματα Wb 206 κατὰ νὺξ Vz τῷ θεῷ Ec O μελωδοῦντες Vz, μελωδοῦντα Wb, μελωδοῦσα O 207-210 post παῖδες cetera om. Wb Cv, οἱ παῖδες εὐλογείται / καὶ ὑπερυψοῦτε / εἰς πάντας τοὺς Vz vv. 208-210 om. Ec O 211-220 troparium om. Cv, ut tertium praebent Ec O, qui hoc ordine strophas tradunt: 201-210, 221-230, 211-220, 231-240 211 διάλίπης Wb 213 τοῦ] σοῦ Wb πανόλβιε] πολύαθλε Vz 214 τοὺς δούλους σου] κακώσεων Vz 216 τε om. Vz, τῶν Wb 218 κραυγάζων Vz, βοῶσα Wb, βοῶντα Ec

« λαός, ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

Βεβυθισμένος πάντοτε
ἁμαρτίαις ὁ δείλαιος,
νῦν πρὸς τὸν λιμένα τὸν καλὸν προσέδραμον·
ἱλάσθητι, κύριε,
καὶ ὡς τὴν πόρνην σῶσόν με
ταῖς τῆς ἀθλοφόρου ἱκεσίαις, οἰκτῖρμον,
βοῶντα ἀνενδότως·
« ἱερεῖς, ἀνυμνεῖτε,
λαός, ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

θεοτ. Ἡ φῶς τεκοῦσα ἄδυτον
f. 143v τοῖς ἐν σκότει, ‖ πανάμωμε,
νῦν τὴν σκοτισθεῖσαν ἡδοναῖς καρδίαν μου
καθάρισον, δέομαι,
καὶ ἐκ φλογὸς ἐξάρπασον
τῆς ἀποκειμένης μοι σαφῶς ἐκβοῶντι·
« οἱ παῖδες, εὐλογεῖτε,
ἱερεῖς, ἀνυμνεῖτε,
λαός, ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

219-220 ιερεῖς ανυμνείτε λαὸς ὑπερυ ..... Vz, post λαὸς cetera om. Ec 220 εἰς πάντας] αὐτὸν εἰς O 221 πάντοτε] πάθεσιν Wb, πάντοθεν Cv 222 ἁμαρτίας Vz 223 νῦν] σοῦ Vz προσέδραμον] καθόρμησον Ec O, προσόρμησον Cv 224 ἱλάσθητί μοι κύριε Cv κύριε] δέσποτα Wb 225 σῶσόν με] οἴκτειρον Vz, δέξαι με Wb 226 v. om. Vz ἀθληφόρου Wb O Cv 227 βοώσης Vz, βοῶσα Wb 228 εὐλογεῖτε Wb Ec vv. 229-230 om. Wb Ec O Cv 230 v. om. Vz 231-240 pro hoc substituit Wb θεοτ., inc. Θεογεννῆτορ πάναγνε, ed. in MR III, 272 et alibi: cfr. IHG II, 117 231 ἄδυτος Vz 232 πανάμωμε] πανύμνειται Vz 234 δέομαι] δέσποινα Ec ex v. 236 finem strophae sic praebet Vz: τοῖς ἀπὸκειμένης τοῖς χρείοις οἰκέταις / ἐν πίστει ἀνυμνών σε / καὶ δοξολογῶν σε τὴν κεχαριτωμένην 236 πιστῶς ἐκβοῶντας Cv 237-240 tantum λαὸς ὑπ ..... Ec, qui cetera om., post παῖδες cetera om. Cv 235-240 post λαὸς cetera om. O

---

225 Cfr. Luc. 7,37 ss.

f. 144v ‖ ᾠδὴ θ'. *Ἔφριξε
πᾶσα ἀκοή*

Ἴδετε,
ἅπαντες λαοί,
τὰ ἐξαίσια τεράστια σήμερον
τῆς καλλιμάρτυρος
καὶ φόβῳ, πίστει
Χριστὸν δοξάσωμεν
τὸν δεδωκότα τῇ αὐτοῦ
μάρτυρι χαρίσματα
βλύζειν ἰάματα
τοῖς προστρέχουσιν αὐτῇ
μετὰ πίστεως.

Ὢ θαῦμα,
πῶς μετὰ ταφὴν
ἀναβλύζει σου ἡ λάρναξ τὸ ἔλαιον,
μάρτυς πανόλβιε,
καὶ νῦν πηγάζεις
ἡμῖν ἰάματα,
τυφλοῖς διδοῦσα βλέπειν φῶς,
παραλύτους σφίγγουσα,
λεπροὺς καθαίρουσα
καὶ ψυχῶν τὴν σωτηρίαν
βραβεύουσα.

Σῶμα δὲ
νοῦν καὶ τὴν ψυχὴν
κατερρύπωσα ἐκ πλήθους πταισμάτων μου

---

heirm. θ' EE 222, n. 317, Joannis 243 τεράστια] θαυμάσια Vz τεράστια σήμερον] καὶ θεία τεράστεια Wb 244 τῆς καλλιμάρτυς Vz 246 δοξάσατε Vz, δοξάζομεν O 247-251 τὸν δεδοκότα τοῖς αὐτοῦ προστρέχουσιν / αὐτοῖς μετὰ πίστεως Vz 247-248 τὸν δεδωκότα τῆς αὐτοῦ / μάρτυρος χαρίσματα Wb 249 βρύειν Wb 253 ταφῆς Wb O 254 ἀναβλύζει σου] ἀναβλύζουσα Cv τὸ ἔλαιον] ἰάματα Wb Cv 256 καὶ διασώζεις Wb, καὶ θεραπεύης Cv v. 257 τοὺς σοὶ προστρέχοντας Wb Cv 258 τυφλοὶ Vz 260 καθέρου Vz 263-273 troparium om. Wb Cv 263-264 Σῶμα καὶ ψυχὴν καὶ νοῦν Vz, Σῶμα μου / νῦν καὶ ... O 265 κατερρύπω Vz

ὁ ἀσυνείδητος,
καὶ νῦν προστρέχω
ἐν μετανοίᾳ βοῶν·
« ἱλάσθητί μοι, ἀγαθέ,
καὶ ὥσπερ τὸν ἄσωτον
δέξαι με, κύριε,
ταῖς λιταῖς Παρασκευῆς,
ὡς φιλάνθρωπος ».

* Ἤθροισται
σήμερον λαός,
ἐν αἰνέσει μεγαλύνων τὸν κύριον
τὸν μεγαλύναντα
σοῦ τὴν ἁγίαν
ταύτην πανήγυριν,
ἐν ᾗ μνημόνευε ἡμῶν
τῶν μνημονευόντων σου,
παρισταμένη Χριστῷ
τῷ θεῷ, Παρασκευή,
καὶ νυμφίῳ σου.

---

267 καὶ νῦν] νυν δὲ Vz προστρέχων O 268 βοῶν] καὶ κράζω σοι Vz, βοῶ O 269 ἀγαθὲ] ὁ θεὸς Vz 271 δέξαι καὶ σῶσον με Vz 272 ταῖς τῆς μάρτυρος εὐχαῖς Vz O 274-284 troparium, quod om. Cv, ed. invenimus in MR IV, 384, in canone Ioseph Hymnographi in S. Elisabeth; pro eodem tropario aliud simile substituit Wb:

Ἤθροισται
σύστημα πιστῶν
τῷ τεμένει τῆς ὁσίας καὶ μάρτυρος
Παρασκευῆς τοῦ Χριστοῦ,
βοῶντες ταύτῃ (ταύτης cd.)·
« σῶζε πρεσβείαις σου,
πρὸς τὸν φιλάνθρωπον θεὸν
ἀεὶ ἀναπέτασαι,
ὅπως ῥυσθῆναι ἡμᾶς
ἐξ ἐθνῶν ἐπιδρομῆς
τοὺς ἱκέτας σου ».

277 μεγαλύνοντα Ec O 278-279 σοῦ τὴν σεπτὴν ἁγίαν πανήγυριν Vz 283-284 τῷ νυμφίῳ σου / σεμνὴ παμμακάριστε MR Vz 284 ἀξιάγαστε O

---

270 Cfr. Luc. 15,13

θεοτ. * ⟨Φ⟩ρίττω σου,
μόνε βασιλεῦ,
τὴν δευτέραν παρουσίαν καὶ δέδοικα
ὅλος κατάκριτος
ἠπορημένος
ὑπάρχων, κύριε,
διὸ πρὸ τέλους σοι βοῶ
f. 145 ‖ διὰ τῆς τεκούσης σε·
« φεῖσαι καὶ σῶσόν με,
ἐλεῆμον, ἀγαθὲ
καὶ φιλάνθρωπε ».

285-295 θεοτ., ed. in PaR 667 et alibi (cfr. IHG V. 1,22), unus Vz praebet, alia substituunt ceteri cdd.: Wb Ec O habent θεοτ., inc. Φεῖσαί μου, σῶτερ ὁ τεχθείς, ed. in MR I, 410 et plurimis aliis in locis (cfr. IHG V. 1, 7); Cv tradit Φώτισον, πύλη τοῦ φωτός, ed. in MR VI, 311 et alibi (cfr. IHG V. 1, 41) 289 ηπαρημένος Vz

26 IUL. *CANON* XXXVII (2)

IN SANCTAM MARTYREM PARASCEVEM

Canon secundum traditionem Crypt. Δ.γ. XII = Dk, ff. 62ᵛ-64ᵛ

Ὁ κανών.

Ἦχος πλ. δ'.

ᾠδὴ α'. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε*

1-8 Ἐσκοτισμένην ἡδοναῖς καρδίαν μου
.... = Vz 1-8

9-16 Ὁσιομάρτυς τοῦ Χριστοῦ πανεύφημε,
f. 63 .... = Vz 9-16

17-24 Σὺ τὰς τοῦ κόσμου ἡδονὰς ἐξέφυγες,
.... = Vz 17-24

Βεβυθισμένος ἁμαρτίαις πάντοτε
ὁ ἀσυνείδητος
καὶ πειρασμῶν σάλῳ
τὴν ψυχὴν κλονούμενος,
Παρασκευῆς τῆς μάρτυρος
ἱκεσίαις μοι δίδου
μετάνοιαν, ὡς φιλάνθρωπος,
καὶ πλημμελημάτων συγχώρησιν.

θεοτ. 33-40 Δεδοξασμένα περὶ σοῦ λελάληται
.... = Vz 25-32

tit. μηνὶ νοεμβρίω θ' κανὼν τῆς ἁγίας μάρτυρος παρασκευῆς cd.
heirm. α' EE 219, n. 314, Joannis 25-32 cfr. varias lectiones in app. crit. traditionis Vz (1) p. 483 26 ὁ ἀσυνείδοτος cd. 33 λελάληται: cfr. varias lectiones in Vz (1) p. 483.

ᾠδὴ γ'. *Ὁ στερεώσας κατ' ἀρχὰς*

41-47 Δεῦτε συνέλθωμεν, πιστοί,
.... = Vz 33-39

48-54 Σὺ ἀπὸ βρέφους, ὦ σεμνή,
.... = Vz 40-46

55-61 Σὺ τὰ κρυπτά μου τῆς ψυχῆς
f. 63ᵛ .... = Vz 47-53

θεοτ. 62-68 Τῶν χερουβὶμ καὶ σεραφὶμ
.... = Vz 54-60

ᾠδὴ δ'. *Σύ μου, Χριστέ,*
κύριος, σύ μου καὶ δύναμις

69-78 Χαῖρε, σεμνὴ
.... = Vz 61-70

79-88 Ἆρόν σου νῦν
.... = Vz 81-90

Δεῦρο, ψυχὴ
τάλαινα, δεῦρο καὶ πρόσπεσον,
τῷ κυρίῳ,
« ἥμαρτόν σοι » κράζουσα,
« τῷ ἀγαθῷ τε καὶ κραταιῷ,
καὶ ὥσπερ τὴν πόρνην
προσεδέξω, ἀθάνατε,
κἀμὲ μετανοοῦντα,
ἱκεσίαις με σώζων
τῆς ὁσίας καὶ μάρτυρος, κύριε ».

θεοτ. 99-108 Μόνη θεὸν
f. 64 .... = Vz 91-100

heirm. γ' EE 219, n. 314, Joannis
heirm. δ' EE 219, n. 314, Joannis heirm. 2 κύριε cd.

94 Cfr. Luc. 7,37 ss.

ᾠδὴ ε΄. *Τὸν ζόφον τῆς ψυχῆς μου*

Εἰσέρχεται ἐν μέσῳ
τῆς φλογὸς ὡς εἰς θάλαμον χαίρουσα
ἡ ἀδαμάντινος κόρη·
τῆς ψυχῆς δὲ τὸ ὄμμα
διάρασα πρὸς θεόν,
τὴν παρ' αὐτοῦ συμμαχίαν
συντόμως κομίζεται.

Χρυσὸς ἐν τῇ καμίνῳ
εἰσελθών, δοκιμώτερος γίνεται·
Παρασκευὴ δὲ ἡ μάρτυς,
ἐν φλογὶ βεβλημένη,
φθορᾶς ἁπάσης ἐκτὸς
διαμεμένηκε Χριστῷ
καὶ χαίρουσα ἤθλησεν.

Ὡς ἵστατο ἐν μέσῳ
τῆς φλογὸς ἡ ὁσία ὁρῶσα πιστῶς,
ἦχος ἐγένετο ἄφνω
καὶ νεφέλη ἐπῆλθεν
ὑδάτων πλήρης πολλῶν,
καὶ δροσοβόλον τὸ πῦρ δὲ
ἅπασιν ἀνέδειξεν.

θεοτ. Τὸ θαῦμα ὑπὲρ θαῦμα
τὸ ἐν σοὶ πεπραγμένον ὑπάρχει, ἁγνή·
σὺ γὰρ τριάδος τὸν ἕνα
ἐν γαστρὶ συλλαβοῦσα,
ἐκύησας τὸν αὐτὸν
θεὸν καὶ ἄνθρωπον,
μὴ διαφθείραντα σοῦ τὴν νηδύν.

---

heirm. ε΄ EE 228, n. 327, Andreae

116-117 Prov. 17,3; 27,21; Sir. 2,5 123-129 Cfr. Dan. 3,49-50

ᾠδὴ ς΄. *Τὸν Ἰωνᾶν*
ἐν τῷ κήτει, κύριε,

« Τὸν Ἰσαὰκ
ἐλυτρώσω, κύριε,
μαχαίρας πατρικῆς, ὁ θεός·
ἐμὲ δὲ
πάντων τῶν παγίδων
ἐξάρπασον τοῦ ἐχθροῦ
τῇ σῇ δυνάμει »,
ἡ μάρτυς ἐδέετο.

« Ἠλίαν μέν »,
εὐχομένη ἔλεγες,
« ἐν ἅρματι ἀνέλαβες·
ἐμοῦ δὲ
δέξαι ἐν εἰρήνῃ
τὸ πνεῦμά μου, ὁ θεός,
καὶ δικαίων
χοροῖς συναρίθμησον ».

Τὴν χάριν σου
δεξαμένη ἄνωθεν,
ἡ μάρτυς νῦν ἀγάλλεται
καὶ στᾶσα
μέσον τῶν τυράννων,
ἐκήρυττεν τὸν Χριστόν,
διὰ πολλῶν
μαστίγων ξεομένη.

64v θεοτ. ‖ Τὸν ἐκ πατρὸς
πρὸ αἰώνων, ἄχραντε,
τεθέντα καὶ σκηνώσαντα

---

heirm. ς΄ EE 240, n. 343, Eliae 144 ἐνδέετο cd.

137-138 Cfr. Gen. 22,1-12 145-147 IV Regn. 2,11

ἀσπόρῳ
μήτρᾳ σου, παρθένε,
τεκοῦσα τοῦτον θεὸν
ἄνευ σπορᾶς,
ἱκέτευε τοῦ σωθῆναι ἡμᾶς.

ᾠδὴ ζ′. *Τῶν Χαλδαίων ἡ κάμινος*

Ἐν χορ⟨οῖς⟩ τῶν μαρτύρων σου
καὶ σκηναῖς τῶν δικαίων
ἀπολαύουσα, φέριστε,
τοῦ καλλίστου νυμφίου,
αὐτὸν ὑπερδυσώπησον
ὑπὲρ τιμώντων ἐν γῇ
ῥυσθῆναι πάσης ὀργῆς.

Πανδαισίαν ἡτοίμασεν
ἡμῖν ἡ καλλιμάρτυς,
ὦ πιστοί, καὶ ἀκήρατον
μυστικὴν θυμηδίαν·
τὴν μνήμην τῶν ἄθλων σου
πνευματικῶς οἱ πιστοὶ
πανηγυρίσομεν.

Ἰατρεῖον ἀνέδειξε
ψυχῆ⟨ς⟩ τῶν ἀλγηδόνων
ὁ θεὸς τὴν σεβάσμιον
μνήμην τῆς ἀθληφόρου,
τοῖς πίστει προστρέχουσι
τῶν ἀνιάτων παθῶν
ῥῶσιν παρέχουσα⟨ν⟩.

θεοτ. Ὃν ἐκύησας, ἄχραντε,
θεὸν σεσαρκωμένον

---

heirm. ζ′ EE 228, n. 327, Andreae

---

170 Cfr. Luc. 16,9 176-179 Cfr. Prov. 9,1-6

δυσωποῦσα, ὡς ἔχουσα
παρρησίαν, μὴ παύσῃ
ῥυσθῆναι τὴν ποίμνην σου
ἐκ πάσ⟨ης κακώσ⟩εως
καὶ πολεμίων ἐχθρῶν.

ᾠδὴ η′. *Ἑπταπλασίως κάμινον*

Τὴν τῶν τυράννων ἤνεγκας
ἀπόνοιαν, ἀοίδιμε,
τεθωρακισμένη τῷ σταυρῷ τοῦ κυρίου,
δυνάμει τοῦ πνεύματος
τοῦ παναγίου πάσας αὐτῶν
καὶ τὰς πολυτρόπους μηχανὰς κα⟨ὶ ἀπει⟩λάς·
οἱ παῖδες, εὐλογεῖτε,
ἱερεῖς, ἀνυμνεῖτε,
λαός, ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὑπὲρ νυμφίου πάσχουσα
ἀθανάτου, πολύ⟨αθλε⟩,
παστὸν μιαιφόνον, ἀπειλὰς οὐ δέδοικας,
διὸ τοῦ ἀφράστου νῦν
καὶ ἀϊδίου κάλλους αὐτοῦ
σὺ ἐν εὐφροσύνῃ ἀπολαύουσα ⟨βοᾷς·
« οἱ παῖδες, εὐλογεῖτε,
ἱερεῖς, ἀνύμνεῖτε,
λαός, ὑπερυψοῦτε⟩
εἰς πάντας τοὺς αἰῶνας ».

. . . .

---

v. 195 minime legitur
heirm. η′ EE 219, n. 314, Joannis vv. 201-216 non facile leguntur
post v. 216 deest reliquus canon in Dk, fine mutilo.

IN SANCTOS HERMOLAUM HERMIPPUM ET HERMOCRATEM MARTYRES NICOMEDIAE

Synaxarium 843: Ἄθλησις τοῦ ἁγίου μάρτυρος Ἑρμολάου καὶ τῶν σὺν αὐτῷ Ἑρμίππου τε καὶ Ἑρμοκράτους. Οὗτοι ὑπῆρχον ἐκ τοῦ κλήρου τῆς Νικομηδείας ἁγίας ἐκκλησίας πρεσβύτεροι, περιλειφθέντες ἐκ τῶν καυθέντων ἁγίων ἐν τῇ ἐκκλησίᾳ ὑπὸ Μαξιμιανοῦ τοῦ τυράννου. Κρυπτόμενοι δὲ ἐν δωματίῳ τινί, ἐπεὶ ὁ ἅγιος Παντελεήμων συνελήφθη, καὶ παρά τίνος τὰ τῶν χριστιανῶν ἐμυήθη, πρὸς τοῦ Μαξιμιανοῦ ἐρωτώμενος ἐκεῖνος, μὴ εἰδὼς ψεύδεσθαι, παρ' Ἑρμολάου εἶπε τοῦ πρεσβυτέρου, αὐτίκα πέμπονται οἱ τοῦτον ὡς τὸν Μαξιμιανὸν ἄξοντες, καὶ σὺν αὐτῷ καὶ τοὺς περὶ αὐτὸν οἱ στρατιῶται ἤγαγον. Ἐρωτηθέντες οὖν οἱ ἅγιοι καὶ παρρησίᾳ τὸν Χριστὸν Θεὸν εἶναι ἀληθῆ καὶ προαιώνιον κηρύξαντες καὶ τὰ μιαρὰ εἴδωλα καὶ τοὺς σεβομένους αὐτὰ μυκτηρίσαντες, ξίφει τὰς κεφαλὰς ἀποτέμνονται, οὕτω περὶ τούτων δόξαν τῷ Μαξιμιανῷ.

Sinait. gr. 625	= Σν,	ff. 127-130v
Crypt. Δ.α. XXIII	= Cn,	ff. 132v-134
Sinait. gr. 627	= Σο,	ff. 103v-105v
Vindob. Theol. gr. 33	= Wz,	f. 139rv

Ὁ κανὼν φέρων ἀκροστιχίδα·
Τοὺς Παντελεήμονος αἰνῶ συμπόνους.
⟨Ἐν δὲ τοῖς θεοτοκίοις⟩· Γεωργίου.

Ἦχος β'.

ᾠδὴ α'. Δεῦτε, λαοί,
ᾄσωμεν ᾆσμα Χριστῷ τῷ θεῷ

f. 127v ‖ Τοὺς νοητοὺς
σήμερον φωστῆρας, ἅπαντες
οἱ τῷ φωτὶ τῆς χάριτος
καταυγαζόμενοι
τοῦ ἡλίου τῆς δόξης,

tit. ὁ κανὼν γεωργίου· φέρων ἀκροστιχίδα· Τοὺς παντελεήμονος ὑμνῶ συνπόνους Σν tantum ὁ κανὼν Cn Wz, qui acrostichidem et nomen auctoris in rubrica om. nomen auctoris in rubrica om. Σο ex theotociis nomen Γεεωργίου patet
heirm. α' EE 37, n. 51, Cosmae 3 οἱ] ἐν Σν

ᾠδαῖς ἐπινικίοις
ἀνευφημήσωμεν.

Ὁ ὑπὲρ νοῦν
ἔρως σε Χριστοῦ, Ἑρμόλαε,
θέλγων ἐκ βρέφους εἵλκυσε
πρὸς γνῶσιν ἔνθεον
τῆς αὐτοῦ εὐσπλαγχνίας
καὶ συγκαταβάσεως,
ᾗ ἐλειτούργησας.

Ὑπερφαεῖ
χάριτι καταυγαζόμενοι
τῇ τῆς τριάδος, ἅγιοι,
σκότος πολύθεον
τῆς εἰδωλομανίας
γενναίως ἐναθλοῦντες
ἀπεσοβήσατε.

θεοτ. Γνόντες θεόν,
δέσποινα, τὸν σαρκωθέντα ἐκ σοῦ
δι' ἄκραν ἀγαθότητα,
πλάνης ἐρρύσθημεν
ἀθεΐας καὶ πόθῳ
κυρίως σε ὑμνοῦμεν
θεοκυήτορα.

ᾠδὴ β'. Θεὸς ἀληθινὰ
τὰ ἔργα αὐτοῦ

υνέτριψαν θηρῶν
νοητῶν κάρας
οἱ ἅγιοι,
ἐναθλοῦντες γενναίως.

13 καὶ τῆς συγκαταβάσεως Cn 14 ᾗ om. Cn, ὃ Σο, ἧς Wz 15 Ὑπερφυεῖ Σο Wz 19 τῆς εἰδώλων μανίας Σν 24 ἀγαθότητος Wz 25 ἐρρύσθησαν Cn, ἐρρύσατο Wz 27 κυρίω Σν
oden β' om. Cn Wz
heirm. β' EE 44, n. 59, Germani

29-30 Cfr. Ps. 73,13

Προθεὶς τὰς ἀρετὰς
κλίμακα, μάρτυς
῾Ερμόλαε,
πρὸς Χριστὸν ἀνηνέχθης.

᾿Ανέστησαν ἐκ γῆς
οἱ ἀθλοφόροι
πρὸς οὐρανὸν
πτέρυξι μαρτυρίου.

Νεκρὸν τὸν νοητὸν
ὄφιν ἀθλοῦντες
f. 128 || ἐδείξατε,
ἀθλοφόροι γενναῖοι.

θεοτ. ᾿Ελύθημεν ἀρᾶς
τῶν προπατόρων
τῷ τόκῳ σου,
παναγία παρθένε.

ᾠδὴ γ΄. *Στερέωσον ἡμᾶς*
ἐν σοί, κύριε,

Τοῖς νάμασιν, σοφέ,
Παντελεήμονα
τῆς υἱοθεσίας ἀναγεννήσας,
τῷ Χριστῷ υἱὸν ἐν χάριτι
ἐναθλοῦντα παρέστησας, ῾Ερμόλαε.

---

33 Πρόσθεις Σο
heirm. γ΄ EE 39, n. 53, Cosmae 49 νάμασιν] ἄσμασιν Σν v. 51 τὸν μέγαν / τῆς υἱοθεσίας (ἀναγεννήσας om.) Cn 52 υἱὸν om. Σν, δι' οὗ Cn, υἱῷ Σο 53 παρέστης Σν

---

34 Cfr. Gen. 28,12 41-42 Gen. 3,1 ss. 51 Cfr. Rom. 8,15; 9,4; Gal. 4,5; Eph. 1,5

᾿Εσείσθησαν βωμοὶ
καὶ ἀφιδρύματα
εἰδώλων κατέπεσον τῇ ἐνστάσει
τῶν ἁγίων ἀθλοφόρων Χριστοῦ,
καὶ ἀσάλευτος ἔμεινεν ἡ πίστις αὐτῶν.

Λατρεύων τῷ Χριστῷ
ἁγνῶς, ῾Ερμόλαε,
προσῆξας θύματα λογικὰ τούτῳ,
οὓς ἐνθέοις λόγοις ηὔξησας
ἐν τῇ πίστει αὐτοῦ, ἁγίους μάρτυρας.

θεοτ. ᾿Ελύθη τῆς ἀρᾶς
τὸ ἐπιτίμιον
τῆς πάλαι, παρθένε, τῶν προπατόρων·
διὰ σοῦ καὶ εὐλογίας αὐτοῖς
ἀσφαλῶς ἀπεγράφη τὰ ἐνέχυρα.

ᾠδὴ δ΄. *Εἰσακήκοα, κύριε,*
τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας

᾿Εν ἐσόπτρῳ, ῾Ερμόλαε,
δόξαν τὸ πρὶν ἣν ἔβλεπες τοῦ κτίστου,
τρανοτέρως ταύτην νῦν σὺν ἀγγέλοις ὁρᾷς.

---

vv. 54-58 ut tertium troparium, post vv. 59-63, praebet Wz 54 ᾿Εσείσαν Σο 55 ἐφηδρύματα Wz 56 κατέπεσαν Σο 57 Χριστοῦ] σου Cn 58 αὐτοῦ Wz 59 τῶ θεῶ Wz 61 λογικὰ θύματα Σο 62 οἷς Wz λόγοις om. Wz 67 εὐλογίως Wz 68 ἀσφαλοὺς Σο Wz
heirm. δ΄ MR I, 96 71 τρανοτέρους Cn

54-58 LATYŠEV, *Menol.* II, 215: Τῶν δὲ μηδαμῶς εἰπόντων προτεθυμῆσθαι τοῦτο ποιεῖν, μᾶλλον δὲ σπεύδειν καὶ αὐτοὺς τοῖς ἴσοις ἐκείνῳ κοσμηθῆναι τοῦ μαρτυρίου καλοῖς, σεισμὸς γίνεται μέγας, καὶ ὁ βασιλεὺς πρὸς αὐτοὺς « ῾Ορᾶτε », λέγει, « πῶς οἱ θεοὶ τὴν γῆν ὀργισθέντες ἐφ' οἷς λέγετε σείουσι; » καὶ οἱ ἅγιοι· « Εἰ δὲ καὶ αὐτοὶ τῷ σεισμῷ τῇ γῇ κατέπεσον οἱ θεοί, πῶς θεοὶ νομισθήσονται; » καὶ εὐθὺς ἧκέ τις ὡς τὸν τύραννον, « Οἱ θεοὶ » λέγων, « βασιλεῦ, προσκαταβληθέντες τῇ γῇ συνετρίβησαν ». τότε θυμῷ ληφθεὶς ὁ πανόλης ἀσχέτῳ τὸν μὲν ἅγιον καὶ μέγαν Παντελεήμονα τῇ φυλακῇ παραδίδωσι, τούτων δὲ ξίφει τὰς κεφαλὰς ἐκτμηθῆναι κελεύει.

---

61 Cfr. I Petr. ep. 2,5 69 s. Cfr. Sap. 7,26

Ἡ ἀγάπη τοῦ κτίσαντος
f. 128v τῆς ἐπικήρου || σχέσεως τεμοῦσα
ὑμᾶς, ἀθλοφόροι, ἀγγέλους ἔδειξεν.

Μυριάσιν ἀντέστητε
τῶν διωκτῶν, γενναῖοι ἀθλοφόροι,
τριάδος τῇ χάριτι δυναμούμενοι.

Ὁ πυρσὸς τῶν χαρίτων σου,
Παντελεῆμον, σήμερον ἐκλάμπων,
προμηνύει πᾶσι τὴν θείαν μνήμην σου.

θεοτ. Ὡραιότατος ἥλιος
ἐκ σοῦ, ἁγνή, Χριστὸς διανατείλας,
αὐτοῦ ἐπιγνώσει ἡμᾶς ἐφώτισεν.

ᾠδὴ ε'. *Ὁ τοῦ φωτὸς χορηγὸς*

Νόμους θεοῦ μελετῶν
καὶ διαγγέλλων τοῖς λαοῖς, ἔνδοξε,
πρὸς τὴν αὐτοῦ
γνῶσιν καὶ ἀγάπην
ὡδήγησας αὐτούς,
διό σε ἀξίως
τιμῶμεν, Ἑρμόλαε.

Οἱ τῶν αἱμάτων κρουνοὶ
τῶν ἀθλοφόρων τοῦ Χριστοῦ ἔπλυναν
εἰδωλικὰ
λύθρα καὶ ἀνθρώποις
διέπνευσαν ὀσμὴν
θείας εὐωδίας
θεοῦ ἐπιγνώσεως.

75-77 troparium om. Wz 78-80 troparium om. Cn 83 ἐφώτισας Σο
heirm. ε' EE 38, n. 51, Cosmae v. 94 ῥεῖθρα καὶ ἀνθρώπους Cn
95 διέπνευσας Σο

95-96 Cfr. Philip. 4,18

Στερεωθέντες, σοφοί,
ἐν τῇ ἀγάπῃ τοῦ Χριστοῦ, ἄσειστον
τὴν εἰς αὐτὸν
πίστιν ἐν βασάνοις
καὶ πόνοις καρτεροῖς
καὶ ἐν τρικυμίαις
ἐχθρῶν ἐτηρήσατε.

θεοτ. Ῥάβδος ἰσχύος ἡμῖν
παρασχεθεῖσα ἐκ θεοῦ, ἄχραντε,
τοὺς νοητοὺς
καὶ τοὺς ὁρωμένους
f. 129 || ἐχθροὺς τῇ κραταιᾷ
τροποῦσαι δυνάμει
τοῦ σὲ χαριτώσαντος.

ᾠδὴ ϛ'. *Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος*

Ἀρετὰς ἀναβάσεις προθέμενος,
πρὸς τὸ τῆς ἀθλήσεως ὕψος ἀνέδραμες
καὶ τῷ Χριστῷ προσήγγισας,
πανaοίδιμε μάρτυς Ἑρμόλαε.

Ἰσχυρῶς συμπλακέντες, ἀοίδιμοι
μάρτυρες, ἐχθρὸν ἐν σταδίῳ, ἐρρίψατε
τοῦτον εἰς γῆν, δοξάζοντες
τὸν ὑμᾶς δυναμοῦντα Χριστὸν τὸν θεόν.

Νοητῆς θυμηδίας πληρούμεθα,
σοῦ προεορτάζοντες τὴν μνήμην σήμερον,

---

102 καρτερῶς Σο 104 ἐκρατήσατε Wz 105 Ῥάβδον Cn 106 παρασχεθεῖσαι Σο 110 τροποῦσαι pro τροποῖ: cfr. PSALTES, 209 τροποῦσα Wz
heirm. ϛ' EE 34, n. 46, Joannis 112 Ἀρετῶν Cn 116 συμπλακέντας Σο ἀοίδιμε Σν 117 ἐχθρῶν Σν 120-123 troparium om. Cn
120 πληρούμενοι Σο

---

105 Cfr. Ex. 4,3 ss.; Num. 17,23; Ps. 109,2

Παντελεῆμον ἔνδοξε,
προσδεχόμενοι πίστει τὴν χάριν σου.

θεοτ. Γεωθεῖσαν τὴν φύσιν τοῦ γένους ἡμῶν
τῇ τῶν χαμαιζήλων ἀγάπῃ, πανάχραντε,
οὐράνωσας τῷ τόκῳ σου
τὰ νοούμενα μόνα ποθοῦσαν ἀεί.

ᾠδὴ ζʹ. *Εἰκόνος χρυσῆς*

Ὡς μύστης θεοῦ
μυστηρίων γεγονὼς χάριτι θείᾳ,
τοὺς συναθλοῦντάς σοι, Ἑρμόλαε,
ἐμυσταγώγησας πίστεως
τῆς εἰλικρινοῦς τοῦ κυρίου
λόγους ἐνθέους καὶ ἔκραζες·
« εὐλογητὸς εἶ, ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Σοφίας θεοῦ,
ἀθλοφόροι, ἀληθῶς πεπληρωμένοι,
λόγους ἀπάτης ἐξηλέγξατε
f. 129v || καὶ ἐκρατύνατε δόγματα
τοῦ δημιουργοῦ τῶν ἁπάντων
καὶ εὐχαρίστως ἐκράζετε·
« εὐλογητὸς εἶ, ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Ὑμνοῦντες θεὸν
τῶν ἁπάντων ποιητήν, φωνὰς ἀσήμους

124-127 pro hoc θεοτ. refert Cn inc. Ἀπειράνδρως, παρθένε, ἐκύησας (et cetera om.), quod illud videtur ed. in MR I, 481 et alibi: cfr. IHG I, 146 125 ἀγάπῃ] ἀπάτῃ Σν 126 οὐρανώσας Σο 127 τὰ usque ad ἀεὶ] καὶ ποθεῖν τὰ νοούμενα ἔπεισας Wz ποθοῦσα Σο

post odem ςʹ refert Wz κάθ. Ἱερῶς τὴν ζωήν σου διατελῶν, ed. in MR VI, 227

heirm. ζʹ EE 39, n. 53, Cosmae 128 χριστοῦ Σο 130 νῦν ἑρμόλαε Σο 132 τοὺς εἰλικρινῶς Cn τῷ κυρίῳ Σο 133 λόγοις ἐνθέοις καὶ ἔψαλλες Wz vv. 134-135, 142-143, 150-151 varie interrumpunt cdd. 136 Σοφία Cn Σο 138 ἐξηλάσατε Wz 144-151 troparium om. Wz

τῆς ἀθεΐας κατεπαύσατε
καὶ ἐναθλοῦντες ἠθροίσατε
εἰς δοξολογίαν καὶ αἶνον
ἀνθρώπους, ἅγιοι, κράζοντες·
« εὐλογητὸς εἶ, ὁ θεὸς
ὁ τῶν πατέρων ἡμῶν ».

Μυρίπνουν ἡμῖν
εὐωδίαν νοητὴν τῶν χαρισμάτων
τῶν σῶν προτρέπει ἡ ἐτήσιος,
Παντελεῆμον πανεύφημε,
μνήμη σου τοῖς πόθῳ καὶ πίστει
προεορτάζουσιν ἅπασι
ταύτην καὶ αἴνεσιν Χριστῷ
ἀπαύστως μέλπουσιν.

θεοτ. Ἰσχὺς τοῦ ἐχθροῦ
ἐξησθένησεν εἰς τέλος καὶ ἐπαύθη,
τῷ θείῳ κράτει, θεονύμφευτε,
τοῦ σοῦ υἱοῦ καὶ θεοῦ ἡμῶν
ἐκπολεμηθεῖσα καὶ πάντες
οἱ ἀσθενεῖς ἀνερρώσθησαν,
σὲ θεομήτορα ἀεὶ
πόθῳ δοξάζοντες.

ᾠδὴ ηʹ. *Τὸν ἐν καμίνῳ τοῦ πυρὸς*

Περιφραχθέντες νοητοῖς,
ἀθλοφόροι τοῦ Χριστοῦ,
πίστεως ὅπλοις,
παρατάξεις ἀπίστων
ἐπολεμήσατε

---

